# ΑΠΟΛΛΩ ΝΙΟΥ ΤΟΥ ΡΟΔΙΟΥ ΑΡΓΟ ΝΑΥΤΙΚΑ, ΜΕΤΑ ΤΩΝ

παλαιῶν τε, καὶ πάνυ ὠφε-
λίμων σχολίων.

BIBLIOTHEQUE PUBLIQUE ORLEANS

# APOLLO NII RHODII ARGONAVTI

ca, antiquis unà, & optimis cum
commentarijs.

FRANCOFORTI EX OFFICINA
Petri Brubacchij. Anno Domini

M. D. XLVI.

# ΓΕΝΟΣ ΑΠΟΛΛΩΝΙΟΥ ΡΟΔΙΟΥ ΤΟΥ ΤΩΝ ἀργοναυτικῶν ποιητοῦ.

Ἀπολλώνιος ὁ τῶν ἀργοναυτικῶν ποιητὴς, τὸ μὲν γένος ἦν ἀλεξανδρεὺς, υἱὸς δὲ Σιλλέως, ὡς δέ τινες Ἰλλέως, φυλῆς πτολεμαΐδος. ἐγένετο δὲ ἐπὶ τῶν πτολεμαίων. καλλιμάχου μαθητής. τὸ μὲν πρῶτον συνὼν καλλιμάχῳ τῷ ἰδίῳ διδασκάλῳ. ὀψὲ δὲ ἐπὶ τὸ ποιεῖν ποιήματα ἐξετράπετο. τοῦτον λέγεται ἔτι ἔφηβον ὄντα ἐνδείξασθαι τὰ ἀργοναυτικὰ, καὶ κατεγνῶσθαι. μὴ φέροντα δὲ τὴν αἰσχύνην τῶν πολιτῶν, καὶ τὸ ὄνειδος καὶ τὴν διαβολὴν τῶν ἄλλων ποιητῶν, καταλιπεῖν τὴν πατρίδα, καὶ μετεληλυθέναι εἰς ῥόδον. κἀκεῖ αὐτὰ ἐξέσαντα διορθῶσαι. καὶ οὕτως ἐνδείξασθαι καὶ ὑπερευδοκιμῆσαι. διὸ καὶ ῥόδιον ἑαυτὸν ἐν τοῖς ποιήμασιν ἀναγράφει. ἐπαίδευσε δὲ λαμπρῶς ἐν αὐτῇ καὶ τῆς ῥοδίων πολιτείας καὶ τιμῆς ἠξιώθη. καὶ τὰ μὲν τοῦ γένους ταῦτα. ἡ δὲ ὑπόθεσις τῶν ἀργοναυτικῶν Ἀπολλωνίου τοῦτον ἔχει τὸν τρόπον.

Τυρὼ

Τυρὼ ἡ σαλμωνέως θυγάτηρ ἔτεκεν ἐκ ποσειδῶνος νηλέα, καὶ πελίαν. εἶτα γαμεῖται κρηθεῖ τῷ αἰόλου παιδί. καὶ τίκτει ἐξ αὐτοῦ αἴσονα, φέρητα, ἀμυθάονα. καὶ γίνεται ἐκ μὲν αἴσονος ἰάσων. ἐκ δὲ φέρητος ἄδμητος. ἀπὸ δὲ ἀμυθάονος, μελάμπους. καὶ ὁ μὲν ἰάσων ἐκδίδοται χείρωνι τρέφεσθαι, καὶ τὴν ἰατρικὴν μανθάνειν, αἴσονος τοῦ πατρὸς αὐτοῦ τὴν βασιλείαν τῷ ἰδίῳ ἀδελφῷ πελίᾳ καταλιπόντος. καὶ κρατεῖν τῆς θετταλίας κελεύοντος ἕως ἂν ὑποστραφῇ ὁ ἰάσων ἀπὸ χείρωνος. χρησμὸν δὲ ἦν εἰληφὼς παρὰ τοῦ ἀπόλλωνος ὁ πελίας φυλάττεσθαι τὸν ἐπιόντα πρὸς αὐτὸν μονοπέδιλον. τεθνήξεσθαι γὰρ δι' αὐτόν. ὁ δὲ ἰάσων αὐξηθεὶς, ἔρχεται πρὸς τοὺς ἀδελφοὺς τοῦ πατρὸς μεθέξων καὶ αὐτὸς τῆς τοῦ πατρὸς βασιλείας. γενόμενος δὲ ἐν τῷ ἀναύρῳ ποταμῷ (ἔστι δὲ οὗτος θετταλίας) καὶ βουλόμενος παρελθεῖν, εὑρίσκει ἐπὶ τῆς ὄχθης τὴν ἥραν γραῒ ὁμοιωθεῖσαν, δὴ περᾶσαι μὲν βουλομένην, φοβουμένην δὲ καὶ ἑστῶσαν. λαβὼν δ' αὐτὴν ὁ ἰάσων, ὑπὲρ τῶν ὤμων διασώζει κατὰ μέσον τοῦ ποταμοῦ τὸν ἓν πέδιλον καταλιπὼν ὑπὸ τοῦ πηλοῦ. εἶτα ἀπέρχεται εἰς τὴν πόλιν μονοπέδιλος. καὶ εὑρίσκει πανήγυριν δημοσίαν. καὶ θυσίαν ἀγομένην τοῖς θεοῖς παρὰ πελίου. θεασάμενος οὖν τὸν ἰάσονα μονοπέδιλον ὁ πελίας, ὑπεμιμνήσκετο τοῦ χρησμοῦ. εὐλαβούμενος δὲ αὐτὸν ἀνελεῖν, ἆθλον αὐτῷ προστάσσει τοιοῦτον εἰπών. ὅτι ἀπελθὼν εἰς τὴν σκυθίαν, τὸ χρυσόμαλλον δέρας κόμισαι, καὶ λήψῃ τὴν βασιλείαν τοῦ σοῦ πατρός. τοῦτο δὲ προσέταττεν, οὐχ ὡς τοῦ κωδίου τοῦ χρυσοῦ δεόμενος, ἀλλ' οἰόμενος αὐτὸν ἐν τῇ ἀλλοδαπῇ ἀναιρεθήσεσθαι ὑπό τινος. ἢ ἐν τῇ θαλάσσῃ

ναυαγήσειν. τὸ δὲ κατὰ τὸ χρυσόμαλλον δέρας, ὧδέ πως ἔχει.

Ἀθάμας υἱὸς αἰόλου, ἀδελφὸς κρηθέως πρότερον γυναῖκα ἐσχηκὼς νεφέλην, δύο παῖδας ἐκ ταύτης φρίξον καὶ ἕλλην ἐγέννησεν. ἀποθανούσης δὲ τῆς νεφέλης, δευτέραν ἠγάγετο γυναῖκα ἰνώ. ἥτις ἐπιβουλεύουσα τοῖς τῆς νεφέλης παισί, περιέπεισε τὰς τῶν ἐγχωρίων γυναῖκας φρύγειν τὰ σπέρματα. ἡ γῆ δὲ πεφρυγμένον τὸν σπόρον δεχομένη, καρποὺς ἐτησίους οὐκ ἀπεδίδου. πέμψας δὲ εἰς δελφοὺς ἀθάμας περὶ τῆς ἀφορίας ἐπυνθάνετο. θεωροῖς δὲ πείθουσα ἰνὼ τοὺς πεμφθέντας, ὑπέθετο αὐτοῖς εἰπεῖν ὑποστρέψασιν, ὡς ἀνεῖλεν ὁ θεὸς ἕλλην καὶ φρίξον σφαγιασθῆναι εἰ θέλοιεν ἀπαλλαγὴν τῆς ἀφορίας ἔσεσθαι. πεισθεὶς οὖν ὁ ἀθάμας, ἕλλην καὶ φρίξον τῷ βωμῷ παρέστησεν. ἀλλ᾽ ἐκείνους μὲν κατοικτείραντες οἱ θεοί, διὰ τοῦ χρυσομάλλου κριοῦ ἐναερίους ἀφήρπασαν. ὅθεν ἕλλη μὲν αὐτέχειν μὴ δυναμένη, εἰς τὸν ἀπ᾽ ἐκείνης κληθέντα ἑλλήσποντον καταπίπτει. φρίξος δὲ εἰς τὴν κολχικὴν διασώζεται γῆν. ἔνθα θύει μὲν τὸν κριὸν διῒ φυξίῳ. ὅτι διέφυγε τὴν ἐπιβουλὴν τῆς μητρυιᾶς. γαμεῖ δὲ χαλκιόπην τὴν θυγατέρα αἰήτου τοῦ σκυθῶν βασιλέως. καὶ γεννᾷ ἐξ αὐτῆς παῖδας τέσσαρας. ἄργον, κυτίσσωρον, μέλανα, φόντιν. καὶ οὕτως ἐκεῖσε τελευτᾷ.

## Ἄλλως Ἀπολλωνίου βίος:

Ἀπολλώνιος ὁ ποιητὴς τὸ μὲν γένος ἦν ἀλεξανδρεύς. πατρὸς δὲ σιλλέως, ἢ ἰλλέως,

λέως, μητρὸς δὲ Ῥόδης. οὗτος ἐμαθήτευσε Καλλιμάχῳ ἐν Ἀλεξανδρείᾳ ὄντι γραμματικῷ. καὶ συντάξας ταῦτα τὰ ποιήματα ἐπεδείξατο. σφόδρα δὲ ἀποτυχὼν καὶ ἐρυθριάσας μετέρχεται ἐν τῇ Ῥόδῳ. κἀκεῖ ἐπολιτεύσατο, καὶ σοφιστεύει ῥητορικοὺς λόγους. ὅθεν καὶ Ῥόδιον αὐτὸν ἀπεκάλεσαν. ἐνταῦθα ῥίνων διάγων καὶ διορθώσας αὐτοῦ τὰ ποιήματα, εἶτα ἐπιδειξάμενος, σφόδρα εὐδοκίμησεν, ὡς καὶ τῶν Ῥοδίων ἀξιωθῆναι πολιτείας καὶ τιμῆς. τινὲς δέ φασιν ὅτι ἐπανῆλθεν εἰς Ἀλεξάνδρειαν καὶ αὖθις ἐκεῖσε ἐπιδειξάμενος εἰς ἄκρον εὐδοκίμησεν. ὡς καὶ τῶν βιβλιοθηκῶν τοῦ μουσείου ἀξιωθῆναι αὐτόν, καὶ ταφῆναι δὲ σὺν αὐτῷ τῷ Καλλιμάχῳ.

Παράκειται τὰ σχόλια ἐκ τῶν Λουκίλλου Ταῤῥαίου, καὶ Σοφοκλείου, καὶ Θέωνος. Τάῤῥα δὲ πόλις Κρήτης, ὥς φησι Λογγῖνος ἐν τοῖς Φιλολόγοις.

ΤΕΛΟΣ.

# INDEX

A


Ἀβαρνίς 148

ἀγκαῖος 123

ἀθῆναι 241

ἄθως 135

αἶα 182

αἰγαῖον πέλαγος 141

αἰγαῖος 239

αἴγειρος 159

αἰγύπτιοι 225

ἄϊδος κυνή 245

αἰθαλίδης 137

αἱμονία 215

αἰνεύς 149

αἰόλου νῆσοι 203

αἴσηπος 155 αἰσωνίς 129

ἄκαινα 218

ἄκαστος 125

ἀκρίσιος 238

ἀκροστόλιον 155

ἀκταίων 240

ἄκτως 119

ἀλκυονίδων ἡμέραι 154

ἀλκών 120

ἀλόπη 118


ἄλυ

ἅλις 180.195
ἀλωΐδων 130
ἀμαδρυάδων 183
ἀμαράντιοι 217
ἀμαραυτός 181
ἀμαζόνων 180
ἄμυκος 165
ἄμυρος 135 ἀμφίων 139
αὐθεμόεσσα 235
αὐθηδών 163
αὐτιόπη 238
ἀπιδανός 118
ἀραιθυρέα 120
ἀράξης 196
ἀργανθώνειον 159
ἀργώ 117
ἀρήνη 122.130
ἄρης 127
ἀρκάδων 226
ἄρκτων 149
ἅρπυιαι 165
ἄρτεμις λυσιζώνη 127
ἀσία 130
ἀστυπάλαια 193
ἀσωπός 120
ἀταλάντη 142
ἀτέμβειν 168
ἄτλας 243

αὐγικα 122
ἀχέρων 179
ἀχιλλεύς 133, 233
ἄψυρτος 230

B

Βάκχος 240
βαλβίς 218
βιθυνία 172, 178
βίοτος 127
βίστονες 189
βόσπορος 171 βυτόπος 169
βρεμώ 213

Γ

Γλαῦκος 121, 162, 163
γλῶσσας τὸ θύειν ἑρμῆ ἔθος παρὰ τοῖς παλαιοῖς 132
γοργόνες 245
γυρτώνη 118

Δ

Δανάη 238
δευκαλίων 215
δῆλος 128 δίκτη 157
διψάς 157
δόλοπες 119
δόλοψ 134
δρύοπες 162

E

Ελάρη 141
ἐλεασίδες 161

ἑλλάς

ἑλλάσ 129
ἐνδυμίων 222.226
ἐνιπεύσ 118
ἐντυπάσ 126
ἐπιῤῥοθεῖν 199
ἐρατώ 202
ἐρίπναι 182,200
ἔρυξ 235
ἔρως 202
ἐτησίαι 184
εὔβοια 152
εὐρύπυλοσ 245
εὔσωρος 149
ἔχετος 239
ἑψία 150

Z

ζεὺς φύξιοσ 199
ζώνη 118

H

Ηλέκτρα 147
ἡρακλῆσ 145.160.243
ἥφαιστος 145

Θ

Θεμισκύρειοσ ἄκρη 195
θεράπναι 171
θεσσαλία 215
θέστωρ 121
θέτις 233

θησεὺς καὶ πειρίθους 120
θῆσσα 124
θράκη 143
θρινακία 235
θυνίας νῆσος 188

ἰάσων καὶ ἄρητος συγγενεῖς 199
ἰδαῖοι δάκτυλοι 156
ἰδρόν 197 ἱκμαῖος ζεύς 185
ἴμβρασος 123.193
ἴμβρος 148
ἴουλος 150
ἰξίων 203 ἴεις 195
ἴσθμια 217
ἰσθμός 148
ἶσις 227
ἰσμηνός 132
ἰστοῦ μέρη 134
ἴστρος 228
ἰτωνία ἀθηνᾶ 153
ἰτωνίς 138
ἴφικλος 118

Καβείροι 147
κάδμος 216
καινέως λόγος 119
κάνθος 119
κάραμβις 179

κάσιον

κάσσιον πέλαγος 212
κεκροπία 119.124
κέρκυρα 236
κίος 159.164.244
κίρκαιον 182
κίρκη 205
κίρκος 153
κλάρος 128
κλεόπατρα 174
κόλχοι 237
κρωβίαλον 194
κτιμένη 119
κύζικος 153
κύλινδρος 187
κύρβις 227
κυρήνη 184
κύταια 181
κωρύκιον 189

Λ

λάμπεια 121
λάξ 169
λαπίθαι 118
λάρισσα 118
λάτμον 221
λαύρειον 229
λύγγος 124
λύκος 225
λωφῆσαι 183

M


Μάγνησα 134
μαίναλον 121
μάκεις 152. 240
μαειανδινοί 172.179.189
μασύσ 165
μελάμπους 120. μελάντιοι 247
μήδεια 230
μίλητοσ 123
μινόασ 125
μοσύνοικοί 180
μόψοσ 119
μουσῶν εὑρήσεις 202
μυρίνη 135
μύωψ 151.207


N


Ναύπλιος 121
ναῦσ 128. νεῖλοσ 216
νηλεύσ 122
νηπείασ πεδίον 155
νύμφαι 243
νύσα 193


O


Ογχηστόσ 218
οἰνόμαοσ 140
οἶστροσ 161.207
οἰχαλία 119
ὅμαδος 188 ὁμόλη 135


ὀπποῦσ

ὀπoῦς 119.248 ὀργάδων 248
ὄργια 148
ὀρείχαλκος 236
ὀρτυγία 129
ὀρφεύς 117
ὀρχομενός 129 ὄσιρις 227
ὄσσα 135
ὀξηρὴ ἢ αὐτιόπη 180
οὐλοχύται 129 ὀχμάσαι 139

## Π

Πακτωλός 241
παλλήνη ἢ πελλήνη 123.155
παρθένιος 194. παρνασός 189
πείρην 178. πελασγοί 117.134
πέλοψ 140
περιεκτικὰ ῥήματα 117
περκώτη 148 περσεύς 239.244
περσεφόνη 212
πιερία 118
πιμπλιάς 117 πιτύεια 148
πλαγκταὶ πέτραι 235
πληϊάδων 206. πλημμυρίς 187
πλήμμη καὶ πλήσμη 140
πλωταὶ νῆσοι 176
πολυλέκτης 244 πολυδεύκης 153
πολυλήϊος 118
πολύφημος 192 πορθμός 149
πορφύρα 130

πρίαπος 143
πριόλαος 191
προμηθεύς 200
πρόξ 176
πυθώ 124

Ρ

Ρήβας 178. 191
ῥίον 158
ῥοίτειον 148
ῥόμβος 157
ῥυνδακός 157

Σ

Σαγγάριος 189
σαλμυδησσός 172
σαμοθράκη 147
σανίδων 142
σαρματία 181
σαρπηδονία 124
σειρήνων 235
σείριος 185
σελήνη 222
σερβωνὶς λίμνη 200
σηπιάς 134
σήσαμος 194
σίγυννος 229
σικελία 233
σίνδοι 229
σίντιων 135


σινώπη

σινώπη 194
σίσυφος 215
σκίαθος 134
σκύλλη 234
σοωναύτης 190
στόνυξ 247
στροφάδων 176
στυμφαλίδων ὀρνίθων 197
στύμφηλος 197
σύμβολος 145.170
σύρτις 241

Τ

Ταίναρον 217 ταίναρος 120.123
τάλως 246
τάφος 140
τεγέα 122
τηλεβόαι 140
τιβαρηνοί 196
τιτηνίς 223
τιτίας 156.191
τιτυος 141
τραχίν 165
τρινακρία 228
τυφάων 199

Υ

Ὕλας 121.159
ὑλλικὸς λιμὴν 239
ὑπερβόρειοι 188

Φ

Φάσις 182
φοραί 118
φιάλη 167
φίλυρα 200
φίλυρον 181
φινεύς 165.172
φλέγρα 07
φρίξος 126
φύγεθλον 225
φυγία 149
φύλλις 188
φωκεῖς 124

Χ

χάλυβων 164.180
χάρυβδις 233
χείρων 133.200
χέρας 156
χέρνιβα 129
χερρόννησος 149
χρύσεα μῆλα 242
χυτός 151

Ψ

Ψαμμίτιχος 226

Ω

Ωρείθυια 124.

ΤΕΛΟΣ.

# ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΡΟΔΙΟΥ

## ΑΡΓΟΝΑΥΤΙΚΩΝ ΠΡΩΤΟΝ

I Ἀρχόμενος σέο Φοῖβε, παλαιγενέων κλέα φωτῶν
μνήσομαι, οἳ πόντοιο κατὰ στόμα, καὶ διὰ πέτρας
κυανέας, βασιλῆος ἐφημοσύνῃ πελίαο,
χρύσειον μετὰ κῶας ἐΰζυγον ἤλασαν ἀργώ.
τοίην γὰρ πελίης φάτιν ἔκλυεν, ὥς μιν ὀπίσσω
μοῖρα μένει στυγερὴ, τοῦδ' ἀνέρος, ὅν τιν' ἴδοιτο
δημόθεν οἰοπέδιλον ὑπ' ἐννεσίῃσι δαμῆναι.
δηρὸν δ' οὐ μετέπειτα τεὴν κατὰ βάξιν ἰήσων
χειμερίοιο ῥέεθρα κιὼν διὰ ποσσὶν ἀναύρου,
ἄλλο μὲν ἐξεσάωσεν ὑπ' ἰλύος, ἄλλο δ' ἔνερθε
κάλλιπεν αὖθι πέδιλον ἐνισχόμενον προχοῇσιν.
ἵκετο δ' ἐς πελίην αὐτοσχεδὸν ἀντιβολήσων
εἰλαπίνης, ἣν πατρὶ ποσειδάωνι καὶ ἄλλοις
ῥέζε θεοῖς, ἥρης δὲ πελασγίδος οὐκ ἀλέγιζεν.
αἶψα δὲ τόνγ' ἐσιδὼν ἐφράσσατο, καί οἱ ἄεθλον

ἔντυνεν αὐτ' ἐπὶ λίνα πολυκηδέος, ὄφρ' ἐνὶ πόντῳ
ἠὲ καὶ ἀλλοδαποῖσι μετ' ἀνδράσι νόστον ὀλέσσῃ.
νῆα μὲν οὖν οἱ πρόσθεν ἔτι κλείουσιν ἀοιδοὶ
Ἄργον Ἀθηναίης καμέειν ὑποθημοσύνῃσι.
νῦν δ' ἂν ἐγὼ γενεήν τε καὶ οὔνομα μυθησαίμην
ἡρώων, δολιχῆς τε πόρους ἁλός, ὅσσα τ' ἔρεξαν
πλαζόμενοι. μοῦσαι δ' ὑποφήτορες εἶεν ἀοιδῆς.
2 Πρῶτά νυν ὀρφῆος μνησώμεθα, τόν ῥά ποτ' αὐτὴ
καλλιόπη θρήικι φατίζεται εὐνηθεῖσα
οἰάγρῳ σκοπιῆς πιμπληίδος ἄγχι τεκέσθαι.
αὐτὰρ τόν γ' ἐνέπουσιν ἀτειρέας οὔρεσι πέτρας
θέλξαι ἀοιδάων ἐνοπῇ, ποταμῶν τε ῥέεθρα.
φηγοὶ δ' ἀγριάδες, κείνης ἔτι σήματα μολπῆς
ἀκτῇ θρηικίης ζώνης ἔπι τηλεθόωσαι
ἑξείης στιχόωσιν ἐπήτριμοι, ἃς ὅγ' ἐπιπρὸ
θελγομένας φόρμιγγι κατήγαγε πιερίηθεν.
ὀρφέα μὲν δὴ τοῖον ἑῶν ἐπαρωγὸν ἀέθλων
αἰσονίδης χείρωνος ἐφημοσύνῃσι πιθήσας,
δέξατο πιερίῃ βιστωνίδι κοιρανέοντα.
ἤλυθε δ' ἀστερίων αὐτοσχεδόν. ὅν ῥα κομήτης
γείνατο δινήεντος ἐφ' ὕδασιν ἀπιδανοῖο
πειρεσίας ὄρεος φυλληίου ἀγχόθι ναίων.
ἔνθα μὲν ἀπιδανός τε μέγας, καὶ δῖος ἐνιπεύς,
ἄμφω συμφορέονται ἀπόπροθεν εἰς ἓν ἰόντες.
λάρισαν δ' ἐπὶ τοῖσι λιπὼν πολύφημος ἵκανεν
εἰλατίδης. ὃς πρὶν μὲν ἐρισθενέων λαπιθάων,
ὁππότε κενταύροις λαπίθαι ἐπεθωρήσσοντο,
ὁπλότερος πολέμιζε, τότ' αὖ βαρύθεσκέ οἱ ἤδη

γυῖα

γῆρα. μένεν δ' ἔτι θυμὸς ἀρήϊος ὡς τὸ πάρος περ:

3 Οὐ γὰρ μὲν Ἴφικλος φυλάκῃ ἔνι δηρὸν ἔλειπτο
μήτρως αἰσονίδαο. κασιγνήτην γὰρ ὄπυιεν
αἴσων ἀλκιμέδην φυλακηΐδα. τῆς μιν ἀνώγει
πηοσύνη τε κῆδος, ἐνικρινθῆναι ὁμίλῳ.
οὐδὲ φεραῖσ' ἄδμητος ἐϋρρήνεσσιν ἀνάσσων
μίμνεν ὑπὸ σκοπιὴν ὄρεος χαλκωδονίοιο.
οὐδ' ἀλόπῃ μίμνον πολυλήϊοι ἑρμείαο
υἱέες, εὖ δεδαῶτε δόλους, ἔρυτος τε ἐχίων.
τοῖσι δ' ἐπὶ τρίτατος γνωτὸς κίε νισσομένοισιν
αἰθαλίδης. καὶ τὸν μὲν ἐπ' ἀμφρύσοιο ῥοῇσιν
μυρμιδόνος κούρη φθιὰς τέκεν εὐπολέμεια.
τὼ δ' αὖτ' ἐκγεγάτην μενετηΐδος ἀντιανείρης:

4 Ἤλυθε δ' ἀφνειὴν προλιπὼν γυρτῶνα κόρωνος
καινεΐδης. ἐσθλὸς μὲν, ἑοῦ δ' οὐ πατρὸς ἀμείνων.
καινέα γὰρ ζωόν περ ἔτι κλείουσιν ἀοιδοὶ
κενταύροισιν ὀλέσθαι. ὅτε σφέας οἶος ἀπ' ἄλλων
ἤλασ' ἀριστήων. οἱ δ' ἔμπαλιν ὁρμηθέντες
οὔτέ μιν ἐγκλῖναι προτέρω σθένον, οὔτε δαΐξαι,
ἀλλ' ἄρρηκτος ἄκαμπτος ἐδύσετο νειόθι γαίης.
θεινόμενος στιβαρῇσι καταΐγδην ἐλάτῃσιν.
ἤλυθε δ' αὖ μόψος τιταρήσιος. ὃν περὶ πάντων
λητοΐδης ἐδίδαξε θεοπροπίας οἰωνῶν.
ἠδὲ καὶ εὐρυδάμας κτιμένου πάϊς. ἄγχι δὲ λίμνης
ξυνιάδος κτιμένην δολοπηΐδα ναιετάασκεν.
καὶ μὴν ἄκτωρ υἷα μενοίτιον ἐξ ὀπόεντος
ὦρσεν ἀριστήεσσι σὺν ἀνδράσιν ὄφρα νέοιτο.
εἵπετο δ' εὐρυτίων τε καὶ ἀλκήεις ἐρύβωτες.

υἷες ὁ μὲν τελέοντος. ὁ δ' ἴρου ἀκτορίδαο.
ἤτοι ὁ μὲν τελέοντος, ἐϋκλειὴς ἐρυβώτης.
ἴρου δ' εὐρυτίων, σὺν καὶ τρίτος ἦεν ὀϊλεύς.
ἔξοχος ἠνορέην. καὶ ἐπαΐξαι μετόπισθεν
εὖ δεδαὼς δηΐοισιν, ὅτε κλείνωσι φάλαγγας.

5 Αὐτὰρ ἀπ' εὐβοίης κάνθος κίε. τόν ῥα κάνηθος
πέμπεν ἀβαντιάδης λελιημένον. οὐ μὲν ἔμελλε
νοστήσειν κήρινθον ὑπότροπος. αἶσα γὰρ ἦεν
αὐτὸν ὁμῶς μόψον τε δαήμονα μαντοσυνάων
πλαγχθέντας. λιβύης ἐνὶ πείρασι δηϊωθῆναι.
ὡς οὐκ ἀνθρώποισι κακὸν μήκιστον ἐπαυρεῖν,
ὁππότε κἀκείνους λιβύῃ ἔνι ταρχύσαντο,
τόσσον ἑκὰς κόλχων, ὅσσον τέ περ ἠελίοιο
μεσσηγὺς δύσιές τε καὶ ἀντολαὶ εἰσορόωνται.
Τῷ δ' ἄρ' ἔπι κλυτίος τε καὶ ἴφιτος ἠγερέθοντο
οἰχαλίης ἐπίουροι ἀπηνέος εὐρύτου υἷες,
εὐρύτου, ᾧ πόρε τόξον ἑκηβόλος, οὐδ' ἀπόνητο
δωτίνης. αὐτῷ γὰρ ἑκὼν ἐρίδηνε δοτῆρι.
τοῖσι δ' ἐπ' αἰακίδαι μετεκίαθον. οὐ μὲν ἅμ' ἄμφω
οὐδ' ὁμόθεν. νόσφιν γὰρ ἀλευάμενοι κατένασθεν
αἰγίνης. ὅτε φῶκον ἀδελφεὸν ἐξενάριξαν,
ἀφραδίῃ. τελαμὼν μὲν ἐν ἀτθίδι νάσσατο νήσῳ.
πηλεὺς δὲ φθίῃ ἔνι δώματα ναῖε λιασθείς.

6 Τοῖς δ' ἔπι κεκροπίηθεν ἀρήϊος ἤλυθε βούτης
παῖς ἀγαθοῦ τελέοντος, ἐϋμμελίης τε φάληρος.
ἄλκων μιν προέηκε πατὴρ ἑός. οὐ μὲν ἔτ' ἄλλους
γήραος υἷας ἔχεν βιότοιό τε κηδεμονῆας.
ἀλλά ἑ τηλυγετόν περ ὁμῶς καὶ μοῦνον ἐόντα,

πέμπεν

πέμπεν ἵνα θρασέεσσι μετὰ πρέποι ἡρώεσσι.
7 Θησέα δ᾽ ὃς περὶ πάντας ἐρεχθεΐδας ἐκέκαστο,
ταιναρίην ἀΐδηλος ὑπὸ χθόνα δεσμὸς ἔρυκε
πειρίθῳ ἑσπόμενον κείνην ὁδόν. ἦ τέ κεν ἄμφω
ῥηΐτερον καμάτοιο τέλος πάντεσσιν ἔθεντο.
τῖφυς δ᾽ ἀγνιάδης σιφαέα κάλλιπε δῆμον
θεσπιέων. ἐσθλὸς μὲν ὀρινόμενον προδαῆναι
κῦμ᾽ ἁλὸς εὐρείης. ἐσθλὸς δ᾽ ἀνέμοιο θυέλλας
καὶ πλόον ἠελίῳ τε καὶ ἀστέρι τεκμήρασθαι.
αὐτή μιν τριτωνὶς ἀριστήων ἐς ὅμιλον
ὦρσεν ἀθηναίη. μετὰ δ᾽ ἤλυθεν ἐλδομένοισιν.
αὐτὴ γὰρ καὶ νῆα θοὴν κάμε. σὺν δέ οἱ ἄργος
τεῦξεν ἀρεστορίδης κείνης ὑποθημοσύνῃσιν.
τῶ καὶ πασάων προφερεστάτη ἔπλετο νηῶν
ὅσσαι ὑπ᾽ εἰρεσίῃσιν ἐπειρήσαντο θαλάσσης.
φλείας δ᾽ αὖτ᾽ ἐπὶ τοῖσιν ἀραιθυρέηθεν ἵκανεν.
ἔνθ᾽ ἀφνειὸς ἔναιε διωνύσοιο ἕκητι
πατρὸς ἑοῦ πηγῇσιν ἐφέστιος ἀσωποῖο.
ἀργόθεν αὖ ταλαὸς καὶ ἀρήϊος, υἷε βίαντος
ἤλυθον, ἴφθιμός τε λεωδόκος. οὓς τέκε πηρὼ
νηλῆϊς, τῇ δ᾽ ἀμφὶ δύην ἐμόγησε βαρεῖαν
αἰολίδης σταθμοῖσιν ἐν ἰφίκλοιο μελάμπους.
8 Οὐδὲ μὲν οὐδὲ βίην κρατερόφρονος ἡρακλῆος
πευθόμεθ᾽ αἰσονίδαο λιλαιομένου ἀθερίξαι.
ἀλλ᾽ ἐπεὶ ἄϊε βάξιν ἀγειρομένων ἡρώων,
νεῖον ἀπ᾽ ἀρκαδίης λυρκήιον ἄργος ἀμείψας
τὴν ὁδόν. ᾗ ζωὸν φέρε κάπριον, ὅς ῥ᾽ ἐνὶ βήσσῃς
φέρβετο λαμπείης ἐρυμάνθιον ἄμ μέγα τῖφος,

τὸν μὲν ἐνὶ πρώτῃσι μυκηναίων ἀγορῇσι
δεσμοῖς ἰλλόμενον μεγάλων ἀπεθήκατο νώτων,
αὐτὸς δ' ἣ ἰότητι παρὲκ νόον εὐρυσθῆος,
ὡρμήθη. σὺν καί οἱ ὕλας κίεν ἐσθλὸς ὀπάων
πρωθήβης ἰοῦν τε φορεὺς φύλακός τε βιοῖο.
τῷ δ' ἐπὶ δὴ θείοιο κίεν δαναοῖο γενέθλη
ναύπλιος. ἦ γὰρ ἔην κλυτονήου ναυβολίδαο.
ναύβολος αὖ λέρνου. λέρνον γε μὲν ἴδμεν ἐόντα
προίτου ναυπλιάδαο, ποσειδάωνι δὲ κούρη
πρίν ποτ' ἀμυμώνη δαναῒς τέκεν εὐνηθεῖσα
ναύπλιον. ὃς περὶ πάντας ἐκαίνυτο ναυτιλίῃσιν.
Ἴδμων δ' ὑστάτιος μετεκίαθεν, ὅσσοι ἔναιον
ἄργος, ἐπεὶ δεδαὼς τὸν ἑὸν μόρον οἰωνοῖσιν
ἤιε, μή οἱ δῆμος ἐυκλείης ἀγάσαιτο.
οὐ μὲν ὅγ' ἦεν ἄβαντος ἐτήτυμον. ἀλλά μιν αὐτὸς
γείνατο κυδαλίμοις ἐναρίθμιον αἰολίδῃσιν
λητοΐδης. αὐτὸς δὲ θεοπροπίας ἐδίδαξεν
οἰωνούς τ' ἀλέγειν, ἠδ' ἔμπυρα σήματ' ἰδέσθαι,
καὶ μὴν αἰτωλὶς κρατερὸν πολυδεύκεα λήδη
κάστορά τ' ὠκυπόδων ὦρσεν δεδαημένον ἵππων
σπάρτηθεν. τοὺς δ' ἥγε δόμοις ἔνι τυνδαρέοιο
τηλυγέτους ὠδῖνι μιῇ τέκεν, οὐδ' ἀπίθησεν
λισσομένοις. ζηνὸς γὰρ ἐπάξια μήδετο λέκτρων.
οἵ τ' ἀφαρητιάδαι λυγκεὺς καὶ ὑπέρβιος ἴδας
ἀρήνηθεν ἔβαν, μεγάλῃ περιθαρσέες ἀλκῇ
ἀμφότεροι. λυγκεὺς δὲ καὶ ὀξυτάτοις ἐκέκαστο
ὄμμασιν, εἰ ἐτεόν γε πέλει κλέος ἀνέρα κεῖνον
ῥηιδίως καὶ νέρθε κατὰ χθονὸς αὐγάζεσθαι.

Σὺν

10 Σὺν δὲ περικλύμενος νηλήϊος ὦρτο νέεσθαι,
πρεσβύτατος παίδων, ὅσσοι πύλῳ ἐξεγένοντο
νηλῆος θείοιο. ποσειδάων δέ οἱ ἀλκὴν
δῶκεν ἀπειρεσίην. ἠδ' ὅττι κεν ἀρήσαιτο
μαρνάμενος, τὸ πέλεσθαι ἐνὶ ξυνοχῇ πολέμοιο.
καὶ μὴν ἀμφιδάμας, κηφεύς τ' ἴσαν ἀρκαδίηθεν,
οἳ τεγέην καὶ κλῆρον ἀφειδάντειον ἔναιον.
υἷε δύω ἀλεοῦ. τρίτατός γε μὲν ἕσπετ' ἰοῦσιν
ἀγκαῖος. τὸν μέν ῥα πατὴρ λυκόοργος ἔπεμπε.
τῶν ἄμφω γνωτὸς προγενέστερος. ἀλλ' ὁ μὲν ἤδη
γηράσκοντ' ἀλεὸν λίπετ' ἂμ πόλιν ὄφρα κομίζῃ.
παῖδα δ' ἑὸν σφετέροισι κασιγνήτοισιν ὄπασσε,
βῆ δ' ὅγε μαιναλίης ἄρκτου δέρος, ἀμφίτομόν τε
δεξιτερῇ πάλλων πέλεκυν μέγαν. ἔντεα γάρ οἱ
πατροπάτωρ ἀλεὸς μυχάτῃ ἐνέκρυψε καλιῇ,
αἴ κέν πως ἔτι καὶ τὸν ἐρυτήσειε νέεσθαι.

11 Βῆ δὲ καὶ αὐγείης, ὃν δὴ φάτις ἠελίοιο
ἔμμεναι. ἠλείοισι δ' ὅγ' ἀνδράσιν ἐμβασίλευεν
ὄλβῳ κυδιόων, μέγα δ' ἵετο κολχίδα γαῖαν,
αὐτόν τ' αἰήτην ἰδέειν σημάντορα κόλχων.
ἀστέριος δὲ καὶ ἀμφίων ὑπερασίου υἷες
πελλήνης ἀφίκανον ἀχαιΐδος, ἥν ποτε πέλλης
πατροπάτωρ ἐπόλισσεν ἐπ' ὀφρύσιν αἰγιαλοῖο.
ταίναρον αὖτ' ἐπὶ τοῖσι λιπὼν εὔφημος ἵκανε.
τόν ῥα ποσειδάωνι ποδωκηέστατον ἄλλων
εὐρώπη τιτυοῖο μεγασθενέος τέκε κούρη.
κεῖνος ἀνὴρ καὶ πόντου ἐπὶ γλαυκοῖο θέεσκεν
οἴδματος, οὐδὲ θοοὺς βάπτεν πόδας. ἀλλ' ὅσον ἄκροις

ἴχνεσι τεγγόμενος διερῇ πεφόρητο κελεύθῳ.
12 Καὶ δ' ἄλλω δύο παῖδε ποσειδάωνος ἵκοντο
ἤτοι ὁ τὴν πτολίεθρον ἀγαυοῦ μιλήτοιο
νοσφισθεὶς ἐργῖνος. ὁ δ' ἰμβρασίης ἕδος ἥρης
παρθενίης ἀγκαῖος ὑπέρβιος. ἴστορε δ' ἄμφω
ἠμὲν ναυτιλίης. ἠδ' ἄρεος εὐχετόωντο.
οἰνεΐδης δ' ἐπὶ τοῖσιν ἀφορμηθεὶς καλυδῶνος
ἀλκείης μελέαγρος. ἀνήλυθε λαοκόων τε
λαοκόων οἰνῆος ἀδελφεός. οὐ μὲν ἰῆς γε
μητέρος. ἀλλά ἑ θῆσσα γυνὴ τέκε. τὸν μὲν ἄρ' οἰνεὺς
ἤδη γηραλέον κοσμήτορα παιδὸς ἴαλλεν.
ὧδ' ἔτι κουρίζων περιθαρσέα δῦνεν ὅμιλον
ἡρώων. τοῦ δ' οὔτιν' ὑπέρτερον ἄλλον ὀΐω
νόσφιν γ' ἡρακλῆος ἐπελθέμεν. εἴ κ' ἔτι μοῦνον
αὖθι μένων λυκάβαντα μετετράφη αἰτωλοῖσιν.
καὶ μήν οἱ μήτρως αὐτὴν ὁδόν. εὖ μὲν ἄκοντι.
εὖ δὲ καὶ ἐν σταδίῃ δεδαημένος ἀντιφέρεσθαι
θεστιάδης ἴφικλος ἐφωμάρτησε κιόντι.
Σὺν δὲ παλαιμόνιος λέρνου παῖς ὠλενίοιο,
λέρνου ἐπίκλησιν, γενεὴν τε μὲν ἡφαίστοιο.
τοὔνεκ' ἔην πόδα σιφλός. ἀτὰρ δέμας οὐκέ τις
ἠνορέην τ' ὀνόσασθαι. ὃ καὶ μεταρίθμιος ἦεν. (ἔτλη
πᾶσιν ἀριστήεσσιν ἰήσονι κῦδος ἀέξων.
ἐκ δ' ἄρα φωκήων κίεν ἴφιτος ὀρνυτίδαο
ναυβόλου ἐκγεγαώς. ξεῖνος δέ οἱ ἔσκε πάροιθεν.
ἦμος ἔβη πυθῶδε θεοπροπίας ἐρεείνων
ναυτιλίης. τόθι γάρ μιν ἑοῖς ὑπέδεκτο δόμοισιν.
13 Ζήτης αὖ κάλαΐς τε βορήϊοι υἷες ἵκοντο.

οὕς ποτ' ἐρεχθηὶς βορέῃ τέκεν ὠρείθυια
ἐσχατιῇ θρήκης δυσχειμέρου. ἔνθ' ἄρα τήν γε
θρηίκιος βορέης ἀνερέψατο κεκροπίηθεν
ἰλισσοῦ προπάροιθε χορῷ ἔνι δινεύουσαν.
καί μιν ἄγων ἕκαθεν σαρπηδονίην ὅθι πέτρην
κλείουσιν ποταμοῖο παρὰ ῥόον ἐργίνοιο.
λυγαίοις ἐδάμασσε περὶ νεφέεσσι καλύψας.
τὼ μὲν ἐπ' ἀκροτάτοισι ποδῶν ἑκάτερθεν ἐρεμνὰς
σεῖον ἀειρομένω πτέρυγας μέγα θάμβος ἰδέσθαι.
χρυσείαις φολίδεσσι διαυγέας. ἀμφὶ δὲ νώτοις
κράατος ἐξ ὑπάτοιο καὶ αὐχένος ἔνθα καὶ ἔνθα
κυάνεαι δονέοντο μετὰ πνοιῇσιν ἔθειραι.
14 Οὐδὲ μὲν οὐδ' αὐτοῖο πάϊς μενέαινεν ἄκαστος
ἴφθιμος πελίαο δόμοις ἔνι πατρὸς ἑῆος
μιμνάζειν ἀέκητι θεᾶς ὑποεργὸς ἀθήνης.
ἀλλ' ἄρα καὶ τὼ μέλλον ἐνικρινθῆναι ὁμίλῳ.
τόσσοι ἄρ' αἰσονίδῃ συμμήστορες ἠγερέθοντο.
τοὺς μὲν ἀριστῆας μινύας περιναιετάοντες
κίκλησκον μάλα πάντας, ἐπεὶ μινύαο θυγατρῶν
οἱ πλεῖστοι καὶ ἄριστοι ἀφ' αἵματος εὐχετόωντο
ἔμμεναι, ὣς δὲ καὶ αὐτὸν ἰήσονα γείνατο μήτηρ
ἀλκιμέδη κλυμένης μινυηΐδος ἐκγεγαυῖα.
Αὐτὰρ ἐπεὶ δμώεσσιν ἐπαρτέα πάντ' ἐτέτυκτο
ὅσσα περ ἐντύνονται ἐπαρτέες ἔνδοθι νῆες
εὖτ' ἂν ἄγῃ χρέος ἄνδρας ὑπεὶρ ἅλα ναυτίλλεσθαι.
δὴ τότ' ἴσαν μετὰ νῆα δι' ἄστεος, ἔνθα περ ἀκταὶ
κλείονται παγασαὶ μαγνήτιδες. ἀμφὶ δὲ λαῶν
πληθὺς ἐπερχομένων ἄμυδις θέεν. οἱ δὲ φαεινοὶ

ἀστέρες ὣς νεφέεσσι μετέπρεπον. ὧδε δ' ἕκαστος
ἔννεπεν εἰσορόων σὺν τεύχεσιν ἀΐσσοντας.
ζεῦ ἄνα τίς πελίαο νόος. πόθι τόσσον ὅμιλον
ἡρώων γαίης παναχαιΐδος ἔκτοθι βάλλει,
αὐτῆμαρ δὲ δόμους ὀλοῷ πυρὶ δῃώσειαν
αἰήτεω, ὅτε μή σφιν ἑκὼν δέρας ἐγγυαλίξῃ.
ἀλλ' οὐ φυκτὰ κέλευθα, πόνος δ' ἄπρηκτος ἰοῦσιν.
Ω ὣς φάσαν ἔνθα καὶ ἔνθα κατὰ πτόλιν. αἱ δὲ γυναῖκες
πολλὰ μάλα ἀθανάτοισιν ἐς αἰθέρα χεῖρας ἄειρον
εὐχόμεναι νόστοιο τέλος θυμηδὲς ὀπάσσαι.
ἄλλη δ' εἰς ἑτέρην ὀλοφύρετο δακρυχέουσα
δειλὴ ἀλκιμέδη. καὶ σοὶ κακὸν ὀψέ περ, ἔμπης
ἤλυθεν. οὐδ' ἐτέλεσσας ἐπ' ἀγλαΐῃ βιότοιο.
αἴσων αὖ μέγα δή τι δυσάμμορος ἦ τέ οἱ ἦεν
βέλτερον, εἰ τὸ πάροιθεν ἐνὶ κτερέεσσιν ἐλυσθεὶς
νειόθι γαίης κεῖτο κακῶν ἔτι νῆις ἀέθλων.
25 ὡς ὄφελεν καὶ φρίξον, ὅτ' ὤλετο παρθένος ἕλλη
κῦμα μέλαν κριῷ ἅμ' ἐπικλύσαι. ἀλλὰ καὶ αὐδὴν
ἀνδρομέην προέηκε κακὸν τέρας ὥς κεν ἀνίας
ἀλκιμέδῃ μετόπισθε καὶ ἄλγεα μυρία θείη.
αἱ μὲν ἄρ ὣς ἀγόρευον ἐπὶ προμολῇσι κιόντων.
ἤδη δὲ δμῶές τε πολεῖς δμωαί τ' ἀγέροντο.
μήτηρ δ' ἀμφ' αὐτὸν βεβολημένη. ὀξὺ δ' ἑκάστην
δῦνεν ἄχος. σὺν δέ σφι πατὴρ ὀλοῷ ὑπὸ γήρᾳ
ἐντυπὰς ἐν λεχέεσσι καλυψάμενος γοάασκεν.
αὐτὰρ ὁ τῶν μὲν ἔπειτα κατεπρήυνεν ἀνίας
θαρσύνων. δμώεσσι δ' ἀρήια τεύχε' ἀείρειν
πεφραδέειν. οἱ δὲ σῖγα κατηφέες ἠείροντο.

μήτηρ

μήτηρ δ' ὥστα πρῶτ' ἐπιχεύατο πήχεε παιδί.
ὣς ἔχετο κλαίουσ' ἀδινώτερον, ἠύτε κούρη,
οἰόθεν ἀσπασίως, πολιὴν τροφὸν ἀμφιπεσοῦσα
μύρεται, ᾗ οὐκ εἰσὶν ἔτ' ἄλλοι κηδεμονῆες.
ἀλλ' ὑπὸ μητρυιῇ βίοτον βαρὺν ἡγηλάζει.
καί ἑ νέον πολέεσιν ὀνείδεσιν ἐστυφέλιξεν.
τῇ δέ τ' ὀδυρομένῃ δέδεται κέαρ ἔνδοθεν ἄτῃ.
οὐδ' ἔχει ἐκφλύξαι τόσον γόον ὅσον ὀρεχθεῖ,
ὣς ἀδινὸν κλαίεσκεν ἑὸν παῖδ' ἀγκὰς ἔχουσα
Ἀλκιμέδη. καὶ τοῖον ἔπος φάτο κηδοσύνῃσιν.
αἴθ' ὄφελον κεῖν' ἦμαρ ὅτ' ἐξειπόντος ἄκουσα
δειλὴ ἐγὼ Πελίαο κακὴν βασιλῆος ἐφετμὴν,
αὐτίκ' ἀπὸ ψυχὴν μεθέμεν κηδέων τε λαθέσθαι,
ὄφρ' αὐτός με τεῇσι φίλαις ταρχύσαο χερσίν,
τέκνον ἐμόν. τὸ γὰρ οἶον ἔην ἔτι λοιπὸν ἐέλδωρ
ἐκ σέθεν. ἄλλα δὲ πάντα πάλαι θρεπτήρια πέσσω.
16 νῦν γε μὲν ἡ τὸ πάροιθεν ἀχαιϊάδεσσιν ἀγητὴ
δμωῒς ὅπως κεν ἑοῖσι λελείψομαι ἐν μεγάροισι
σεῖο πόθῳ μινύθουσα δυσάμμορος, ᾧ ἔπι πολλὴν
ἀγλαΐην καὶ κῦδος ἔχον πάρος. ᾧ ἔπι μούνῳ
μίτρην πρῶτον ἔλυσα καὶ ὕστατον. ἔξοχα γάρ μοι
εἰλείθυια θεὰ πολέος ἐμέγηρε τόκοιο.
ὤμοι ἐμῆς ἄτης, τὸ μὲν οὐδ' ὅσον οὐδ' ἐν ὀνείρῳ
ὠϊσάμην. εἰ φρίξος ἐμοὶ κακὸν ἔσσετ' ἀλύξας.
ὣς ἥγε στενάχουσα κινύρετο. ταὶ δὲ γυναῖκες
ἀμφίπολοι γοάασκον ἐπισταδόν. αὐτὰρ ὁ τήνην
μειλιχίοις ἐπέεσσι παρηγορέων προσέειπεν.
μή μοι λευγαλέας ἐνιβάλλεο μῆτερ ἀνίας

ὧδε λίην. ἐπεὶ οὐ μὲν ἐρητύσεις κακότητος
δάκρυσιν. ἀλλ' ἔτι κεν καὶ ἐπ' ἄλγεσιν ἄλγος ἄροιο.
πήματα γάρ τ' ἀΐδηλα θεοὶ θνητοῖσι νέμουσιν.
τῶν μοῖραν κατὰ θυμὸν ἀνιάζουσά περ ἔμπης
τλῆθι φέρειν. θάρσει δὲ συνημοσύνῃσιν ἀθήνης
ἠδὲ θεοπροπίῃσιν. ἐπεὶ μάλα δεξιὰ φοῖβος
ἔχρη. ἀτὰρ μετέπειτά γ' ἀριστήων ἐπαρωγῇ.
ἀλλὰ σὺ μὲν νῦν αὖθι μετ' ἀμφιπόλοισιν ἕκηλος
μίμνε δόμοις. μηδ' ὄρνις ἀεικελίη πέλε νηΐ.
κεῖσε δ' ὁμαρτήσουσιν ἔται δμῶές τε κιόντι.
ἦ, καὶ ὁ μὲν προτέρωσε δόμων ἐξῶρτο νέεσθαι.
17 Οἷος δ' ἐκ νηοῖο θυώδεος εἶσιν ἀπόλλων
δῆλον ἀν' ἠγαθέην ἠὲ κλάρον, ἢ ὅγε πυθώ,
ἢ λυκίην εὐρεῖαν ἐπὶ ξάνθοιο ῥοῇσι,
τοῖος ἀνὰ πληθὺν δήμου κίεν. ὦρτο δὲ ἀϋτὴ
κεκλομένων ἄμυδις. τῷ δ' ἤ ξύμβλητο γεραιὴ
ἰφιὰς ἀρτέμιδος πολιηόχου ἀρήτειρα.
καί μιν δεξιτερῆς χειρὸς κύσεν. οὐδ' ἔτι φάσθαι
ἔμπης, ἱεμένη δύνατο προθέοντος ὁμίλου.
ἀλλ' ἡ μὲν λίπετ' αὖθι παρακλιδὸν οἷα γεραιὴ
ὁπλοτέρων. ὁ δὲ πολλὸν ἀποπλαγχθεὶς ἐλιάσθη.
αὐτὰρ ἐπεί ῥα πόληος ἐϋδμήτους λίπ' ἀγυιάς,
ἀκτὴν δ' ἵκανεν παγασηίδα. τῇ μιν ἑταῖροι
δειδέχατ' ἀργώῃ ἄμυδις παρὰ νηΐ μένοντες.
στῆ δ' ἄρ' ἐπὶ προμολῆς. οἱ δ' ἀντίοι ἠγερέθοντο.
ἐς δ' ἐνόησαν ἄκαστον ὁμῶς ἄργον τε πόληος,
νόσφι καταβλώσκοντας. ἐθάμβησαν δ' ἐσιδόντες
πασσυδίῃ πελίαο παρὲκ νόον ἰθύνοντας.

δέρμα

δέρμα δ' ὁ μὲν ταύροιο ποδηνεκὲς ἀμφέχετ' ὤμους
ἄργος ἀρεστορίδης λάχνῃ μέλαν. αὐτὰρ ὁ καλὴν
δίπλακα, ἥν οἱ ὄπασσε κασιγνήτη πελόπεια.
ἀλλ' ἔμπης τὼ μέν τε διεξερέεσθαι ἕκαστα
ἔσχετο. τοὺς δ' ἀγορὴν δὲ συνεδριάασθαι ἄνωγεν.
αὐτοῦ δ' ἰλλομένοισ' ἐπὶ λαίφεσιν ἠδὲ καὶ ἱστῷ
κεκλιμένῳ μάλα πάντες ἐπ' ἰσχυρῷ ἑδριόωντο.
τοῖσιν δ' αἴσονος υἱὸς ἐϋφρονέων μετέειπεν.
ἀλλὰ μὲν ὅσσα τε νηὶ ἐφοπλίσσασθαι ἔοικεν.
πάντα γὰρ εὖ κατὰ κόσμον ἐπαρτέα κεῖται ἰοῦσιν.
τῷ οὐκ ἂν δηναιὸν ἐχοίμεθα τοῖο ἕκητι
ναυτιλίης, ὅτε μοῦνον ἐπιπνεύσουσιν ἀῆται.
ἀλλὰ φίλοι, ξυνὸς γὰρ ἐς ἑλλάδα νόστος ὀπίσσω
ξυναὶ δ' ἄμμι πέλονται ἐς αἰήταο κέλευθοι.
τοὔνεκα νῦν τὸν ἄριστον ἀφειδήσαντες ἕλεσθε
ὄρχαμον ὑμείων, ᾧ κεν τὰ ἕκαστα μέλοιτο
νείκεα συνθεσίας τε μετὰ ξείνοισι βαλέσθαι.
Ὣς φάτο. πάπτηναν δὲ νέοι θρασὺν ἡρακλῆα,
ἥμενον ἐν μέσσοισι. μιῇ δέ ἑ πάντες ἀϋτῇ
σημαίνειν ἐπέτελλον. ὁ δ' αὐτόθεν, ἔνθα περ ἧστο
δεξιτερὴν ἀνὰ χεῖρα τανύσσατο φώνησέν τε.
μή τις ἐμοὶ τόδε κῦδος ὀπαζέτω. οὐ γὰρ ἔγωγε
πείσομαι, ὥστε καὶ ἄλλον ἀναστήσεσθαι ἐρύξω.
αὐτὸς ὅτις ξυνάγειρε καὶ ἀρχεύοι ὁμάδοιο.
ἦ ῥα μέγα φρονέων. ἐπὶ δ' ᾔνεον ὡς ἐκέλευεν
ἡρακλέης. ἀνὰ δ' αὐτὸς ἀρήϊος ὤρνυτ' ἰήσων
γηθόσυνος. καὶ τοῖα λιλαιομένοις ἀγόρευεν.
εἰ μὲν δή μοι κῦδος ἐπιτρωπᾶτε μέλεσθαι

μηκέτ' ἔπειτ' ὡς καὶ πρὶν ἐρητύοιτο κέλευθα.
νῦν γε μὲν ἤδη φοῖβον ἀρεσσάμενοι θυέεσσιν
δαῖτ' ἐντυνώμεσθα παρασχεδόν, ὄφρα δ' ἴωσιν
δμῶες ἐμοὶ σταθμῶν σημάντορες οἷσι μέμηλεν
δεῦρο βόας ἀγέληθεν ἐὺ κρίναντας ἐλάσσαι.
τόφρα κε νῆ' ἐρύσαιμεν ἔσω ἁλὸς, ὅπλα τε πάντα
ἐνθέμενοι πεπάλαχθε κατὰ κληῖδας ἐρετμά.
τείως δ' αὖ καὶ βωμὸν ἐπάκτιον ἐμβασίοιο
θείομεν Ἀπόλλωνος, ὅ μοι χρείων ὑπέδεκτο
σημανέειν δείξειν τε πόρους ἁλὸς εἴ κε θυηλαῖς
οὗ ἕθεν ἐξάρχωμαι ἀεθλεύων βασιλῆϊ.

Ἦ ῥά. καὶ εἰς ἔργον πρῶτος τράπεθ'. οἱ δ' ἐπανέσταν
πειθόμενοι. ἀπὸ δ' εἵματ' ἐπήτριμα νηήσαντο,
λείῳ ἐπὶ πλαταμῶνι. τὸν οὐκ ἐπέβαλλε θάλασσα
κύμασι. χειμερίη δὲ πάλαι ἀπέκλυσεν ἅλμη.
νῆα δ' ἐπικρατέως ἄργου ὑποθημοσύνῃσιν
ἔζωσαν πάμπρωτον ἐυστρεφεῖ ἔνδοθεν ὅπλῳ
τεινάμενοι ἑκάτερθεν, ἵν' εὖ ἀραροίατο γόμφοις
δούρατα, καὶ ῥοθίοιο βίην ἔχοι ἀντιόωσαν.
σκάπτον δ' αἶψα καὶ εὖρος ὅσον περιβάλλετο χῶρος,
ἠδὲ κατὰ πρῶραν ἔσω ἁλὸς ὅσσα τιόν περ
ἑλκομένη χείρεσσιν ἐπιδραμέεσθαι ἔμελλεν.
αἰεὶ δὲ προτέρω χθαμαλώτερον ἐξελάχαινον
στείρης. ἐν δ' ὁλκῷ ξεστὰς στορέσαντο φάλαγγας.
τὴν δὲ κατάντη κλῖναν, ἐπὶ πρώτῃσιν φάλαγξιν
ὥς κεν ὀλισθαίνουσα δι' αὐτάων φορέοιτο.
ὕψι δ' ἄρ' ἔνθα καὶ ἔνθα μεταστρέψαντες ἐρετμὰ
πηχυιον προὔχοντα περὶ σκαλμοῖσιν ἔδησαν

ἂψ δ' ἐναμοιβαδὶς αὐτοὶ ἐνισταθὲν ἀμφοτέρωθεν
στέρνα θ' ὁμοῦ καὶ χεῖρας ἐπήλασαν. ἐν δ' ἄρα Τῖφυς
βήσατο ἵν' ὀξύνει νέους κατὰ καιρὸν ἐρύσσαι.
κεκλόμενος δ' ἤυσε μάλα μέγα. τοὶ δὲ παρ' αὐτοῦ
ᾧ κράτεϊ βρίσαντε μιῇ στυφέλιξαν ἐρωῇ
νειόθεν ἐξ ἕδρης, ἐπὶ δ' ἐρρώσαντο πόδεσσιν
προπροβιαζόμενοι. ἡ δ' ἕσπετο πηλιὰς ἀργὼ.
ῥίμφα μάλ'. οἱ δ' ἑκάτερθεν ἐπίαχον ἀίσσοντες.
αἱ δ' ἄρ' ὑπὸ τρόπιδι στιβαρῇ στενάχοντο φάλαγγες
τριβόμεναι. περὶ δέ σφιν ἀϊδνὴ κήκιε λιγνὺς
βριθοσύνῃ, κατόλισθε δ' ἔσω ἁλός, οἱ δέ μιν αὖθι
ἂψ ἀνασειράζοντες ἔχον προτέρωσε κιοῦσαν.
σκαλμοῖς δ' ἀμφὶς ἐρετμὰ κατήρτυον. ἐν δέ οἱ ἱστὸν
λαίφεά τ' εὐποίητα καὶ ἁρμαλιὴν ἐβάλοντο.
αὐτὰρ ἐπεὶ τὰ ἕκαστα περιφραδέως ἀλέγυναν,
κληῗδας μὲν πρῶτα πάλῳ διεμοιρήσαντο,
ἄνδρ' ἐντυναμένω δοιὼ μίαν. ἐκ δ' ἄρα μέσσην
ᾕρεον ἡρακλῆϊ καὶ ἡρώων ἄτερ ἄλλων
ἀγκαίῳ, τεγέης ὅς ῥα πτολίεθρον ἔναιεν.
τοῖς μέσσην οἰοισιν ἀπὸ κληῗδα λίποντο
αὔτως οὔτι πάλῳ. ἐπὶ δ' ἔτρεπον αἰνήσαντες
18 τῖφυν ἐϋστείρης οἴηκα νεὸς ἐρύεσθαι.
ἔνθεν δ' αὖ λάϊγγας ἁλὸς σχεδὸν ὀχλίζοντες
νήεον αὐτόθι βωμὸν ἐπακτίου ἀπόλλωνος.
ἀκτίου ἐμβασίοιό τ' ἐπώνυμον. ὦκα δὲ τοί γε
φιτροὺς ἀζαλέης στόρεσαν καθύπερθεν ἐλαίης.
τείως δ' αὖτ' ἀγέληθεν ἐπιπροέηκαν ἄγοντες
βουκόλοι αἰσονίδαο δύω βόε. τοὺς δ' ἐρύσαντο

κουρότεροι ἑτάρων βωμοῦ σχεδόν. οἱ δ' ἄρ' ἔπειτα
χέρνιβά τ' οὐλοχύτας τε παρέσχεθον. αὐτὰρ ἰήσων
εὔχετο κεκλόμενος πατρώϊον ἀπόλλωνα.
Κλῦθι ἄναξ παγασάς τε πόλιν τ' αἰσονίδα ναίων
ἡμετέροιο τοκῆος ἐπώνυμον. ὅς μοι ὑπέστης
πυθοῖ χρειομένῳ, ἄνυσιν καὶ πείραθ' ὁδοῖο
σημανέειν. αὐτὸς γὰρ ἐπαίτιος ἔπλευ ἀέθλων.
αὐτὸς νῦν ἄγε νῆα σὺν ἀρτεμέεσσιν ἑταίροις.
κεῖσέ τε καὶ παλίνορσον ἐς ἑλλάδα. σοὶ δ' ἄρ' ὀπίσσω
τόσσων, ὅσσοι κεν νοστήσομεν, ἀγλαὰ ταύρων
ἱρὰ πάλιν βωμῷ ἐπιθήσομεν. ἄλλα δὲ πυθοῖ,
ἄλλα δ' ἐς ὀρτυγίην ἀπερείσια δῶρα κομίσσω.
νῦν δ' ἴθι καὶ τήνδ' ἧμιν ἑκηβόλε δέξο θυηλὴν
ἥν τοι τῆσδ' ἐπίβαθρα χάριν προτεθείμεθα νηὸς
πρωτίστην. λύσαιμι δ' ἄναξ ἐπ' ἀπήμονι μοίρῃ
πείσματα. σὴν διὰ μῆτιν ἐπιπνεύσειε δ' ἀήτης
μείλιχος. ᾧ κ' ἐπὶ πόντον ἐλευσόμεθ' εὐδιόωντες.
Ἦ, καὶ ἅμ' εὐχωλῇ προχύτας βάλε. τὼ δ' ἐπὶ βουσὶν
ζωσάσθην ἀγκαῖος ὑπέρβιος, ἡρακλέης τε.
ἤτοι ὁ μὲν ῥοπάλῳ μέσσον κάρη ἀμφὶ μέτωπα
πλῆξεν. ὁ δ' ἀθρόος αὖθι πεσὼν ἐνερείσατο γαίῃ.
ἀγκαῖος δ' ἑτέροιο κατὰ πλατὺν αὐχένα κόψας
χαλκείῳ πελέκει κρατεροὺς διέκερσε τένοντας.
ἤριπε δ' ἀμφοτέροισι περιρρηνὴς κεράεσσιν.
τοὺς δ' ἕταροι σφάξαντε θοῶς δεῖράν τε βοείας,
κόπτον, δαίτρευόντε καὶ ἱερὰ μῆρ' ἔταμόν τε.
κὰδ δ' ἄμυδις τάγε πάντα καλύψαντες πύκα δημῷ
καῖον ἐπὶ σχίζῃσιν. ὁ δ' ἀκρήτους χέε λοιβὰς (μέθ'

αἰσονίδης,

αἰσονίδης. γήθει δὲ σέλας θηεύμενος Ἴδμων,
πάντοσε λαμπόμενον θυέων ἄπο τοῖό τε λιγνὺν
πορφυρέαις ἑλίκεσσιν ἐναίσιμον ἀίσσουσαν.
αἶψα δ᾽ ἀπηλεγέως νόον ἔκφατο Λητοΐδαο.
Ὑμῖν μὲν δὴ μοῖρα θεῶν χρειώ τε περῆσαι
ἐνθάδε κῶας ἄγοντας. ἀπειρέσιοι δ᾽ ἐνὶ μέσσῳ
κεῖσέ τε δεῦρό τ᾽ ἔασιν ἀνερχομένοισιν ἄεθλοι.
αὐτὰρ ἐμοὶ θανέειν στυγερῇ ὑπὸ δαίμονος αἴσῃ
τηλόθι που πέπρωται ἐπ᾽ ἀσίδος ἠπείροιο·
ὧδε κακοῖς δεδαὼς ἔτι καὶ πάρος οἰωνοῖσιν
πότμον ἐμὸν, πάτρης ἐξήϊον, ὄφρ᾽ ἐπιβαίην
νηός. ἐϋκλείη δὲ δόμοις ἐπιβάντι λίπηται.
ὣς ἄρ᾽ ἔφη. κοῦροι δὲ θεοπροπίης ἀίοντες,
νόστῳ μὲν γήθησαν. ἄχος δ᾽ ἕλεν Ἴδμονος αἴσῃ.
19 Ἦμος δ᾽ ἠέλιος σταθερὸν παραμείβεται ἦμαρ,
αἱ δὲ νέον σκοπέλοισιν ὑποσκιόωνται ἄρουραι
δειελινὸν κλίνοντος ὑπὸ ζόφον ἠελίοιο,
τῆμος ἄρ᾽ ἤδη πάντες ἐπὶ ψαμάθοισι βαθεῖαν
φυλλάδα χευάμενοι πολιοῦ πρόπαρ αἰγιαλοῖο
κέκλινθ᾽ ἑξείης. παρὰ δέ σφισι μυρί᾽ ἔκειτο
εἴδατα καὶ μέθυ λαρὸν ἀφυσσαμένων προχόῃσιν
οἰνοχόων. μετέπειτα δ᾽ ἀμοιβαδὶς ἀλλήλοισι
μυθεῦνθ᾽, οἷά τε πολλὰ νέοι παρὰ δαιτὶ καὶ οἴνῳ
τερπνῶς ἑψιόωνται, ὅτ᾽ ἄατος ὕβρις ἀπείη.
ἔνθ᾽ αὖτ᾽ αἰσονίδης μὲν ἀμήχανος εἰν ἑοῖ αὐτῷ,
πορφύρεσκεν ἕκαστα κατηφιόωντι ἐοικώς.
τὸν δ᾽ ἄρ᾽ ὑποφρασθεὶς μεγάλῃ ὀπὶ νείκεσεν Ἴδας.
αἰσονίδη. τίνα τήνδε μετὰ φρεσὶ μῆτιν ἑλίσσεις.

αὔδα ἐνὶ μέσσοισι τεὸν νόον. ἦέ σε δάμνᾳ
τάρβος ἐπιπλόμενον, τό τ' ἀνάλκιδας ἄνδρας ἀτύζει.
ἴστω νῦν δόρυ θοῦρον ὅτῳ περιώσιον ἄλλων
κῦδος ἐνὶ πτολέμοισιν ἀείρομαι, οὐδέ μ' ὀφέλλει
Ζεὺς τόσον, ὁσσάτιόν περ ἐμὸν δόρυ. μή νύ τι πῆμα
λοίγιον ἔσσεσθαι. μηδ' ἀκράαντον ἄεθλον
Ἴδεω ἑσπομένοιο καὶ εἰ θεὸς ἀντιόῳτο.
τοῖόν μ' Ἀρήνηθεν ἀοσσητῆρα κομίζεις.
ἦ, καὶ ἐπισχόμενος πλεῖον δέπας ἀμφοτέρῃσι
πῖνε χαλίκρητον λαρὸν μέθυ. δεύετο δ' οἴνῳ
χείλεα, κυάνεαί τε γενειάδες. οἱ δ' ὁμάδησαν
πάντες ὁμῶς. Ἴδμων δὲ καὶ ἀμφαδίην ἀγόρευσε.
δαιμόνιε, φρονέεις ὀλοφώϊα καὶ πάρος αὐτῷ,
ἦέ τοι εἰς ἄτην ζωρὸν μέθυ θαρσαλέον κῆρ
οἰδάνει ἐν στήθεσσι. θεοὺς δ' ἀνέηκεν ἀτύζειν.
ἄλλοι μῦθοι ἔασι παρήγοροι, οἷσί περ ἀνὴρ
θαρσύνῃ ἕταρον. σὺ δ' ἀτάσθαλα πάμπαν ἔειπες,
τοῖα φάτις καὶ πρίν περ ἐπιφλύειν μακάρεσσιν
υἷας Ἀλωϊάδας, οἷς οὐδ' ὅσον ἰσοφαρίζεις
ἠνορέην. ἔμπης δὲ θοοῖς ἐδάμησαν ὀϊστοῖς
ἄμφω Λητοΐδαο καὶ ἴφθιμοί περ ἐόντες.
Ὣς ἔφατ'. ἐκ δ' ἐγέλασσεν ἄδην Ἀφαρήϊος Ἴδας.
καί μιν ἐπιλλίζων ἠμείβετο κερτομίοισιν.
ἄγρει νῦν τόδε σοῖσι θεοπροπίῃσιν ἐνίσπες.
εἰ καὶ ἐμοὶ τοιόνδε θεοὶ τελέουσιν ὄλεθρον,
οἷον Ἀλωϊάδῃσι πατὴρ τεὸς ἐγγυάλιξε,
φράζεο δ' ὅππως χεῖρας ἐμὰς σόος ἐξαλέοιο.
χρειὼ θεσπίζων μεταμώνιον ἤν κεν ἁλώῃς

χώετ'.

χωέτ' ἐνιπάζων, προτέρωσε δὲ νεῖκος ἐτύχθη,
εἰ μὴ δηριόωντας ὁμοκλήσαντες ἑταῖροι
αὐτός τ' αἰσονίδης κατερήτυεν. ἂν δὲ καὶ ὀρφεὺς
λαιῇ ἀνασχόμενος κίθαριν πείραζεν ἀοιδῆς.
ἤειδεν δ' ὡς γαῖα, καὶ οὐρανὸς, ἠδὲ θάλασσα
τὸ πρὶν ἐπ' ἀλλήλοισι μιῇ συναρηρότα μορφῇ,
νείκεος ἐξ ὀλοοῖο διέκριθεν ἀμφὶς ἕκαστα.
ἠδ' ὡς ἔμπεδον αἰὲν ἐν αἰθέρι τέκμαρ ἔχουσιν
ἄστρα σεληναίη τε καὶ ἠελίοιο κέλευθοι,
οὔρεά τ' ὡς ἀνέτειλε. καὶ ὡς ποταμοὶ κελάδοντες
αὐτῇσι νύμφῃσι. καὶ ἑρπετὰ πάντ' ἐγένοντο.
ἤειδεν δ' ὡς πρῶτον ὀφίων εὐρυνόμη τε
ὠκεανὶς νιφόεντος ἔχον κράτος οὐλύμποιο.
ὥς τε βίῃ καὶ χερσὶν, ὁ μὲν κρόνῳ εἴκαθε τιμῆς,
ἡ δὲ ῥέῃ, ἔπεσον δ' ἐνὶ κύμασιν ὠκεανοῖο.
οἱ δὲ τέως μακάρεσσι θεοῖς τιτῆσιν ἄνασσον.
ὄφρα ζεὺς ἔτι κοῦρος ἔτι φρεσὶ νήπια εἰδὼς
δικταῖον ναίεσκεν ὑπὸ σπέος. οἱ δέ μιν οὔπω
γηγενέες κύκλωπες ἐκαρτύναντο κεραυνῷ
βροντῇ τε στεροπῇ τε. τὰ γὰρ διὶ κῦδος ὀπάζει.
ἦ, καὶ ὁ μὲν φόρμιγγα σὺν ἀμβροσίῃ σχέθεν αὐδῇ.
21 Τοὶ δ' ἄμοτον λήξαντος ἔτι προὔχοντο κάρηνα.
πάντες ὁμῶς ὀρθοῖσιν ἐπ' οὔασιν ἠρεμέοντες
κηληθμῷ τοῖόν σφιν ἐνέλλιπε θελκτὺν ἀοιδήν.
οὐδ' ἐπὶ δὴν μετέπειτα κερασσάμενοι διὶ λοιβὰς,
ἣ θέμις ἐστί. τέως ἐπί τε γλώσσῃσι χέοντο
αἰθομέναις. ὕπνου δὲ διὰ κνέφας ἐμνώοντο.
αὐτὰρ ὅτ' αἰγλήεσσα φαεινοῖς ὄμμασιν ἠὼς

πηλίου αἰπεινὰς ἴδεν ἄκριας. ἐκ δ' ἀνέμοιο
εὔδιοι ἐκλύζοντο τινασσομένης ἁλὸς ἄκραι,
δὴ τότ' ἀνέγρετο τῖφυς. ἄφαρ δ' ὀρόθυνεν ἑταίρους
βαινέμεναί τ' ἐπὶ νῆα, καὶ ἀρτύνασθαι ἐρετμά.
σμερδαλέον δὲ λιμὴν παγασήιος, ἠδὲ καὶ αὐτὴ
πηλιὰς ἴαχεν ἀργὼ ἐπισπέρχουσα νέεσθαι.
ἐν γάρ οἱ δόρυ θεῖον ἐλήλατο, τό ῥ' ἀνὰ μέσσην
στεῖραν ἀθηναίη δωδωνίδος ἥρμοσε φηγοῦ.
οἱ δ' ἀνὰ σέλματα βάντες ἐπισχερὼ ἀλλήλοισιν
ὡς ἐδάσαντο πάροιθεν ἐρεσσέμεν ᾧ ἐνὶ χώρῳ.
εὐκόσμως σφετέροισι παρ' ἔντεσιν ἑδριόωντο.
μέσσῳ δ' ἀγκαῖος μέγα τε σθένος ἡρακλῆος
ἵζανον. ἄγχι δέ οἱ ῥόπαλον θέτο. καί οἱ ἔνερθε
ποσσὶν ὑπεκλύσθη νηὸς τρόπις. εἵλκετο δ' ἤδη
πείσματα, καὶ μέθυ λεῖβον ὕπερθ' ἁλός. αὐτὰρ ἰήσων
δακρυόεις γαίης ἀπὸ πατρίδος ὄμματ' ἔνεικεν.
22 Οἱ δ' ὥστ' ἠίθεοι φοίβῳ χορὸν ἢ ἐνὶ πυθοῖ,
ἤ που ἐν ὀρτυγίῃ, ἢ ἐφ' ὕδασιν ἰσμηνοῖο
στησάμενοι φόρμιγγος ὑπαὶ περὶ βωμὸν ὁμαρτῇ
ἐμμελέως κραιπνοῖσι πέδον ῥήσσωσι πόδεσσιν.
ὣς ὑπ' ὀρφῆος κιθάρῃ πέπληγον ἐρετμοῖς
πόντου λάβρον ὕδωρ. ἐπὶ δὲ ῥόθια κλύζοντο.
ἀφρῷ δ' ἔνθα καὶ ἔνθα κελαινὴ κήκιεν ἅλμη,
δεινὸν μορμύρουσα ἐρισθενέων μένει ἀνδρῶν.
στράπτε δ' ὑπ' ἠελίῳ φλογὶ εἴκελα νηὸς ἰούσης
τεύχεα. μακραὶ δ' αἰὲν ἐλευκαίνοντο κέλευθοι
ἀτραπὸς ὡς χλοεροῖο διειδομένη πεδίοιο.
πάντες δ' οὐρανόθεν λεῦσσον θεοὶ ἤματι κείνῳ

νῆα

νῆα· καὶ ἡμιθέων ἀνδρῶν μένος. οἳ τότ᾽ ἄριστοι
πόντον ἐπιπλώεσκον. ἐπ᾽ ἀκροτάτοισι δὲ νύμφαι
πηλιάδες κορυφῇσιν ἐθάμβεον εἰσορόωσαι
ἔργον ἀθηναίης ἰτωνίδος, ἠδὲ καὶ αὐτοὺς
ἥρωας χείρεσσιν ἐπικραδάοντας ἐρετμά.
αὐτὰρ ὅγ᾽ ἐξ ὑπάτου ὄρεος κίεν ἄγχι θαλάσσης
χείρων φιλλυρίδης. πολιῇ δ᾽ ἐπὶ κύματος ἀγῇ
τέγγε πόδας. καὶ πολλὰ βαρείῃ χειρὶ κελεύων,
νόστον ἐπευφήμησεν ἀκηδέα νισσομένοισι.
σὺν καί οἱ παράκοιτις ἐπωλένιον φορέουσα
πηλείδην ἀχιλῆα φίλῳ δειδίσκετο πατρί.
οἱ δ᾽ ὅτε δὴ λιμένος περιηγέα κάλλιπον ἀκτὴν,
φραδμοσύνῃ μήτι τε δαΐφρονος ἁγνιάδαο
τίφυος, ὅς ῥ᾽ ἐνὶ χερσὶν ἐΰξοα τεχνηέντως
πηδάλι᾽ ἀμφιέπεσκ᾽ ὄφρ᾽ ἔμπεδον ἐξιθύνοι.
23 δή ῥα τότε μέγαν ἱστὸν ἐνεστήσαντο μεσόδμῃ,
δῆσαν δὲ προτόνοισι τανυσσάμενοι ἑκάτερθεν
κὰδ δ᾽ αὐτοῦ λίνα χεῦον ἐπ᾽ ἠλακάτην ἐρύσαντες.
ἐν δὲ λιγὺς πέσεν οὖρος, ἐπ᾽ ἰκριόφιν δὲ κάλωας
ξεστῇσιν περόνῃσι διακριδὸν ἀμφιβαλόντες.
τισαίην εὔκηλοι ὑπὲρ δολιχὴν θέον ἄκρην.
τοῖσι δὲ φορμίζων εὐθήμονι μέλπεν ἀοιδῇ
οἰάγροιο πάϊς νηοσσόον εὐπατέρειαν
ἄρτεμιν, ἣ κείνας σκοπιὰς ἁλὸς ἀμφιέπεσκε
ῥυομένη καὶ γαῖαν ἰωλκίδα. ἐκ δὲ βαθείης
ἰχθύες ἀΐσσοντες ὕπερθ᾽ ἁλὸς ἄμμιγα παύροις
ἄπλετοι ὑγρὰ κέλευθα διασκαίροντες ἕποντο.
Ὡς δ᾽ ὁπότ᾽ ἀγραύλοιο κατ᾽ ἴχνια σημάντορος

μυρία μῆλ' ἐφέπονται ἄδην κεκορημένα ποίης
εἰς αὖλιν, ὁ δέ τ' εἶσι πάροιθε σύριγγι λιγείῃ
καλὰ μελιζόμενος νόμιον μέλος. ὥς ἄρα τοίγε
ὡμάρτευν. τὴν δ' αἰὲν ἐπασσύτερος φέρεν οὖρος.
αὐτίκα δ' ἠερίη πολυλήιος αἶα πελασγῶν
δύετο. πηλιάδας δὲ παρεξήμειβον ἐρίπνας
αἰὲν ἐπιπροθέοντες. ἔδυνε δὲ σηπιὰς ἄκρη.
φαίνετο δ' εἰναλίη σκίαθος. φαίνοντο δ' ἄπωθεν
πειρεσιαὶ, μάγνησά θ' ὑπεύδιος ἠπείροιο
ἀκτὴ καὶ τύμβος δολοπήϊος. ἔνθ' ἄρα τοίγε
ἑσπέριοι ἀνέμοιο πάλιν πνοιῇσιν ἔκελσαν.
καί μιν κυδαίνοντες ὑπὸ κνέφας ἔντομα μήλων
κεῖαν ὀρινομένης ἁλὸς οἴδματι διπλόα δ' ἀκταῖς
ἤματ' ἐλινύεσκον. ἀτὰρ τριτάτῳ προέηκαν
νῆα τανυσσάμενοι περιώσιον ὑψόθι λαῖφος.
τὴν δ' ἀκτὴν ἀφέτας ἀργοῦς ἔτι κικλήσκουσιν,
ἔνθεν δὲ προτέρωσε παρεξέθεον μελίβοιαν
ἀκτήν τ' αἰγιαλόν τε δυσήνεμον εἰσορόωντες.
4 Ἠῶθεν δ' ὁμόλην αὐτοσχεδὸν εἰσορόωντες
πόντῳ κεκλιμένην παρεμέτρεον. οὐδ' ἔτι δηρὸν
μέλλον ὑπὲκ ποταμοῖο βαλεῖν ἀμύροιο ῥέεθρα.
κεῖθεν δ' εὐρυμενάς τε πολυκλύστους τε φάραγγας
ὄσσης, οὐλύμποιό τ' ἐσέδρακον. αὐτὰρ ἔπειτα
κλείτεα παλλήναια καναστραίην ὑπὲρ ἄκρην
ἤνυσαν ἐννύχιοι πνοιῇς ἀνέμοιο θέοντες.
ἦρι δὲ νισσομένοισιν ἄθω ἀνέτελλε κολώνη
θρηϊκίη, ἣ τόσσον ἀπόπροθι λῆμνον ἐοῦσαν,
ὅσσον ἐς ἔνδιόν κεν ἐΰστολος ὁλκὰς ἀνύσσαι

ἀκρο-

ἀκροτάτῃ κορυφῇ σκιάει, καὶ ἐσάχρι Μυρίνης.
τοῖσιν δ' αὐτῆμαρ μὲν ἄεν καὶ ἐπὶ κνέφας οὖρος
πάγχυ μάλ' ἀκραής. τετάνυστο δὲ λαίφεα νηός.
αὐτὰρ ἅμ' ἠελίοιο βολαῖς ἀνέμοιο λιπόντος
εἰρεσίῃ κραναὴν Σιντηΐδα Λῆμνον ἵκοντο.
ἔνθ' ἄμυδις πᾶς δῆμος ὑπερβασίῃσι γυναικῶν
νηλειῶς δέδμητο παροιχομένῳ λυκάβαντι.
δὴ γὰρ κουριδίας μὲν ἀπηνήναντο γυναῖκας
ἀνέρες ἐχθήραντες. ἔχον δ' ἐπὶ ληϊάδεσσι
τρηχὺν ἔρον, τὰς αὐτοὶ ἀγίνεον ἀντιπέρηθεν
Θρηϊκίην δῃοῦντες, ἐπεὶ χόλος αἰνὸς ὄπαζε
Κύπριδος. οὕνεκά μιν γεράων ἐπὶ δηρὸν ἄτισαν.
ὦ μέλεαι ζήλοιό τ' ἐπισμυγερῶς ἀκόρητοι.
οὐκ οἶον σὺν τῇσιν ἑοὺς ἔρραισαν ἀκοίτας
ἀμφ' εὐνῇ. πᾶν δ' ἄρσεν ὁμοῦ γένος, ὥς κεν ὀπίσσω
μή τινα λευγαλέοιο φόνου τίσειαν ἀμοιβήν.
25 Οἴη δ' ἐκ πασέων γεραροῦ περιφείσατο πατρὸς
Ὑψιπύλεια Θόαντος, ὃ δὴ κατὰ δῆμον ἄνασσε.
λάρνακι δ' ἐν κοίλῃ μιν ὕπερθ' ἁλὸς ἧκε φέρεσθαι
αἴ κε φύγῃ. καὶ τὸν μὲν ἐς Οἰνοίην ἐρύσαντο
πρόσθεν. ἀτὰρ Σικίνον γε μεθύστερον αὐδηθῆσαν
νῆσον ἐπακτῆρες Σικίνου ἄπο, τόν ῥα Θόαντι
νηϊὰς Οἰνοίη νύμφη τέκεν εὐνηθεῖσα.
τῇσι δὲ βουκολίαι τε βοῶν, χάλκειά τε δύνειν
τεύχεα, πυροφόρους τε διατμήξασθαι ἀρούρας
ῥηΐτερον πάσῃσιν Ἀθηναίης πέλεν ἔργων.
οἷς αἰεὶ τὸ πάροιθεν ὁμίλεον. ἀλλὰ γὰρ ἔμπης
ἦ θαμὰ δὴ παπταίνεσκον ἐπὶ πλατὺν ὄμμασι πόντον

δείματι λευγαλέῳ ὁπότε θρήϊκες ἴασι.
τῷ καὶ ὅτ᾽ ἐγγύθι νήσου ἐρεσσομένην ἴδον ἀργώ,
αὐτίκα πασσυδίῃ πυλέων ἔκτοσθε μυρίνης
δήϊα τεύχεα δῦσαι ἐς αἰγιαλὸν προχέοντο
θυιάσιν ὠμοβόροις ἴκελαι. φὰν γάρ που ἱκάνειν
θρήϊκας. ἡ δ᾽ ἅμα τοῖσι θοαντιὰς ὑψιπύλεια
δῦν᾽ ἐνὶ τεύχεσι πατρὸς, ἀμηχανίῃ δ᾽ ἐχέοντο
ἄφθογγοι, τοῖόν σφιν ὑπὸ δέος ἠωρεῖτο.
26 Τείως δ᾽ αὖτ᾽ ἐκ νηὸς ἀριστῆες προέηκαν
αἰθαλίδην κήρυκα θοόν. τῷ περ τε μέλεσθαι
ἀγγελίας καὶ σκῆπτρον ἐπέτρεπον ἑρμείαο
σφωϊτέροιο τοκῆος, ὅς οἱ μνῆστιν πόρε πάντων
ἄφθιτον. οὐδ᾽ ἔτι νῦν περ ἀποιχομένου ἀχέροντος
δίνας ἀπροφάτους ψυχὴν ἐπιδέδρομε λήθη.
ἀλλ᾽ ἥγ᾽ ἔμπεδον αἰὲν ἀμειβομένη μεμόρηται.
ἄλλοθ᾽ ὑποχθονίοις ἐναρίθμιος, ἄλλοτ᾽ ἐς αὐγὰς
ἠελίου, ζωοῖσι μετ᾽ ἀνδράσιν. ἀλλὰ τί μύθους
αἰθαλίδεω χρειώ με διηνεκέως ἀγορεύειν.
ὅς ῥα τότ᾽ ὑψιπύλην μείλιξατο δέχθαι ἰόντας
ἤματος ἀνυμένοιο διὰ κνέφας. οὐδὲ μὲν ἠοῖ
πείσματα νηὸς ἔλυσαν ἐπὶ πνοιῇ βορέαο.
λημνιάδες δὲ γυναῖκες ἀνὰ πτόλιν ἷζον ἰοῦσαι
εἰς ἀγορήν. αὐτὴ γὰρ ἐπέφραδεν ὑψιπύλεια.
καί ῥ᾽ ὅτε δὴ μάλα πᾶσαι ὁμιλαδὸν ἠγερέθοντο,
αὐτίκα ῥ᾽ ἥγ᾽ ἐνὶ τῇσιν ἐποτρύνουσ᾽ ἀγόρευεν.
Ω Φίλαι, εἰ δ᾽ ἄγε δὴ μενοεικέα δῶρα πόρωμεν
ἀνδράσιν. οἷά τ᾽ ἔοικεν ἄγειν ἐπὶ νηὸς ἔχοντας,
ἤϊα καὶ μέθυ λαρόν ἵν᾽ ἔμπεδον ἔκτοθι πύργων
μίμνοιεν,

μίμνοιεν. μὴ δ᾽ ἄμμι κατὰ χρειὼ μεθέποντες
ἀτρεκέως γνώωσι, κακὴ δ᾽ ἐπὶ πολλὸν ἵκηται
βάξις, ἐπεὶ μέγα ἔργον ἐρέξαμεν, οὐδέ τι πάμπαν
θυμηδὲς καὶ τοῖσι τό γ᾽ ἔσσεται εἴ κε δαεῖεν.
ἡμετέρη μὲν νῦν τοίη παρενήνοθε μῆτις.
ὑμείων δ᾽ εἴ τις ἄρειον ἔπος μητίσεται ἄλλη,
ἐγρέσθω. τοῦ γάρ τε καὶ εἵνεκα δεῦρο κάλεσσα.
ὣς ἄρ᾽ ἔφη. καὶ θῶκον ἐφίζανε πατρὸς ἑοῖο
λαΐνεον. ἔπειτα φίλη τροφὸς ὦρτο Πολυξώ.
γήραϊ δὴ ῥικνοῖσιν ἐπισκάζουσα πόδεσσιν,
βάκτρῳ ἐρειδομένη. πέρι δὲ μενέαιν᾽ ἀγορεῦσαι.
τῇ καὶ παρθενικαὶ πίσυρες σχεδὸν ἑδριόωντο
ἀδμῆτες λευκῇσιν ἐπιχνοάουσαι ἐθείραις.
στῆ δ᾽ ἄρ᾽ ἐνὶ μέσσῃ ἀγορῇ, ἀνὰ δ᾽ ἔσχεθε δειρήν.
ἦκα μόλις κυφοῖο μεταφρένου. ὧδέ τ᾽ ἔειπεν.
δῶρα μὲν ὡς αὐτῇ περ ἐφανδάνει Ὑψιπυλείῃ,
πέμπωμεν ξείνοισιν. ἐπεὶ καὶ ἄρειον ὀπάσσαι.
ὔμμι γε μὴν τίς μῆτις ἐπαυρέσθαι βιότοιο.
αἴ κεν ἐπιβρίσῃ Θρήιξ στρατὸς, ἠέ τις ἄλλος
δυσμενέων, ἅτε πολλὰ μετ᾽ ἀνθρώποισι πέλονται.
ὡς καὶ νῦν ὅδ᾽ ὅμιλος ἀνωΐστως ἀφικάνει.
27 Εἰ δὲ τὸ μὲν μακάρων τις ἀποτρέπει, ἄλλα δ᾽ ὀπίσσω
μυρία δηιοτῆτος ὑπέρτερα πήματα μίμνει.
εὖτ᾽ ἂν δή περ γεραιαὶ μὲν ἀποφθινύθουσι γυναῖκες.
κουρότεραι δ᾽ ἄγονοι, στυγερὸν ποτὶ γῆρας ἵκησθε,
πῶς τῆμος βώσεσθε δυσάμμοροι, ἦε βαθείαις
αὐτόματοι βόες ὔμμιν ἐνιζευχθέντες ἀρούραις
γειοτόμον νειοῖο διειρύσσουσιν ἄροτρον,

καὶ τὸδ' ἐπιτελλομένου ἔτεος στάχυν ἀμήσονται.
ἦ μὲν ἐγὼν εἰ καί με τανῦν ἔτι πεφύκασι
κῆρες ἐπερχόμενόν που ὀίομαι εἰς ἔτος ἤδη
γαῖαν ἐφέσσεσθαι, κτερέων ἀπὸ μοῖραν ἑλοῦσαν
αὔτως ἣ θέμις ἐστὶ πάρος κακότητα πελάσσαι.
ὁπλοτέρῃσι δὲ πάγχυ τάδε φράζεσθαι ἄνωγα.
νῦν γὰρ δὴ παρὰ ποσσὶν ἐπήβολος ἐστ' ἀλεωρή.
εἴ κεν ἐπιτρέψητε δόμους καὶ ληΐδα πᾶσαν
ὑμετέρην ξείνοισι, καὶ ἀγλαὸν ἄστυ μέλεσθαι.
Ως ἔφατ'. ἐν δ' ἀγορὴ πλῆτο θρόου. εὔαδε γάρ σφιν
μῦθος. ἀτὰρ μετὰ τήνδε παρασχεδὸν αὖτις ἀνῶρτο
ὑψιπύλη, καὶ τοῖον ὑποβλήδην ἔπος ηὔδα.
εἰ μὲν δὴ πάσῃσιν ἐφανδάνει ἥδε μενοινή,
ἤδη κεν μετὰ νῆα καὶ ἄγγελον ὀτρύναιμι.
ἦ ῥα. καὶ ἰφινόην μετεφώνεεν ἄσσον ἐοῦσαν.
ὄρσο μοι ἰφινόη τοῦδ' ἀνέρος ἀντιόωσα
ἡμέτερόνδε μολεῖν ὅστις στόλου ἡγεμονεύει.
ὄφρα τί οἱ δήμοιο ἔπος θυμηρὲς ἐνίσπω.
καὶ δ' αὐτοὺς γαίης τε καὶ ἄστεος αἴ κε θέλωσι
κέκλεο θαρσαλέως ἐπιβαινέμεν εὐμενέοντας.
ἦ, καὶ ἔλυσ' ἀγορήν. μετὰ δ' εἰς ἑὸν ὦρτο νέεσθαι.
ὣς δὲ καὶ ἰφινόη μινύας ἵκεθ', οἱ δ' ἐρέεινον
χρειοῖ ὅτι φρονέουσα μετήλυθεν. ὦκα δὲ τούς γε
πασσυδίῃ μύθοισι προσέννεπεν ἐξερέοντας.
κούρη τοί μ' ἐφέηκε θοαντιὰς ἐνθάδ' ἰοῦσαν
ὑψιπύλη, καλέειν νηὸς πρόμον, ὅστις ὄρωρεν,
ὄφρα τί οἱ δήμοιο ἔπος θυμηδὲς ἐνίσπῃ,
καὶ δ' αὐτοὺς γαίης τε καὶ ἄστεος αἴ κε θέλητε,

κέκλε-

κέκλετ' αὐτίκα νῦν ἐπιβαινέμεν εὐμενέοντας.
28 Ὣς ἄρ' ἔφη. πάντεσσι δ' ἐναίσιμος ἥνδανε μῦθος·
ὑψιπύλην δ' εἴσαντο καταφθιμένοιο θόαντος
τηλυγέτην παῖδ' αὖ ἀνασσέμεν. ὦκα δὲ τόνγε
πέμπον ἴμεν. καὶ δ' αὔριον ἐπεντύνοντο νέεσθαι.
αὐτὰρ ὅγ' ἀμφ' ὤμοισι θεᾶς ἰτωνίδος ἔργον,
δίπλακα πορφυρέην περονήσατο, τήν οἱ ὄπασσε
παλλάς, ὅτε πρῶτον δρυόχους ἐπεβάλλετο νηὸς
ἀργοῦς. καὶ κανόνεσσι δάε ζυγὰ μετρήσασθαι.
τῆς μὲν ῥηΐτερόν κεν ἐς ἠέλιον ἀνιόντα
ὄσσε βάλοις, ἢ κεῖνο μεταβλέψειας ἔρευθος·
δὴ γάρ τοι μέσση μὲν ἐρευθήεσσα τέτυκτο.
ἄκρα δὲ πορφυρέη πάντη πέλεν. ἐν δ' ἄρ' ἑκάστῳ
τέρματι δαίδαλα πολλὰ διακριδὸν εὖ ἐπέπαστο.
ἐν μὲν ἔσαν κύκλωπες, ἐπ' ἀφθίτῳ ἥμενοι ἔργῳ,
ζηνὶ κεραυνὸν ἄνακτι πονεύμενοι, ὃς τόσον ἤδη
παμφαίνων ἐτέτυκτο. μιῆς δ' ἔτι δεύετο μοῦνον
ἀκτῖνος, τὴν οἵγε σιδηρείης ἐλάασκον
σφύρησιν μαλεροῖο πυρὸς ζείουσαν ἀϋτμήν.
ἐν δ' ἔσαν ἀντιόπης ἀσωπίδος υἱέε δοιώ
ἀμφίων καὶ ζῆθος, ἀπύργωτος δ' ἔτι θήβη
κεῖτο πέλας. τῆς οἵγε νέον βάλλοντο δομαίους
ἱέμενοι. ζῆθος μὲν ἐπωμαδὸν ἤερταζεν
οὔρεος ἠλιβάτοιο κάρη μογέοντι ἐοικώς.
ἀμφίων δ' ἐπί οἱ χρυσέῃ φόρμιγγι λιγαίνων,
ἤιε, δὶς τόσση δὲ μετ' ἴχνια νείσετο πέτρη.
ἑξείης δ' ἤσκητο βαθυπλόκαμος κυθέρεια,
ἄρεος ὀχμάζουσα θοὸν σάκος. ἐκ δέ οἱ ὤμου

πῆχυν ἐπὶ σκαιὸν ξυνοχὴ κεχαλασμένον χιτῶνος
νέρθεν ὑπὲρ μαζοῖο. τὸ δ' αὐτίον ἀτρεκὲς αὔτως
χαλκείη δείκηλον ἐν ἀσπίδι φαίνετ' ἰδέσθαι.
29 Ἐν δὲ βοῶν ἔσκεν λάσιος νομὸς, ἀμφὶ δὲ βουσὶ
τηλεβόαι μάρναντο καὶ υἱέες ἠλεκτρύωνος.
οἱ μὲν ἀμυνόμενοι. ἀτὰρ οἵ γ' ἐθέλοντες ἀμέρσαι
λῃσταὶ τάφιοι. τῶν δ' αἵματι δεύετο λειμὼν
ἑρσήεις. πλέες δ' ὀλίγους βιόωντο νομῆας.
ἐν δὲ δύω δίφροι πεπονείατο δηριόωντε.
καὶ τὸν μὲν προπάροιθε πέλοψ ἴθυνε τινάσσων
ἡνία. σὺν δέ οἱ ἔσκε παραιβάτις ἱπποδάμεια.
τὸν δὲ μεταδρομάδην ἐπὶ μυρτίλος ἤλασεν ἵππους.
σὺν τῷ δ' οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπὼς
ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο
πίπτεν, ἐπεσσύμενος πελοπήϊα νῶτα δαΐξαι.
ἐν καὶ ἀπόλλων φοῖβος ὀϊστεύων ἐτέτυκτο
βούπαις. οὔπω πολλὸς ἐὴν ἐρύοντα καλύπτρης
μητέρα θαρσαλέως τιτυὸν μέγαν. ὅν ῥ' ἔτεκέν γε
δῖ' ἐλάρη, θρέψε δὲ καὶ ἂψ ἐλοχεύσατο γαῖα.
ἐν καὶ φρίξος ἔην μινυήϊος. ὡς ἐτεόν περ
εἰσαΐων κριοῦ. ὁ δ' ἄρ' ἐξενέποντι ἐοικώς.
κείνους κ' εἰσορόων ἀκέοις ψεύδοιό τε θυμὸν
ἐλπόμενος πυκινήν τιν' ἀπὸ σφείων ἐσακοῦσαι
βάξιν. ὃ καὶ δηρόν περ ἐπ' ἐλπίδι θηήσαιο.
τ οἷ' ἄρα δῶρα θεᾶς τριτωνίδος ἦεν ἀθήνης.
δεξιτερῇ δ' ἕλεν ἔγχος ἑκηβόλον, ὅ ῥ' ἀταλάντη
πρόφρων ἀντομένη. πέρι γὰρ μενέαινεν ἕπεσθαι
μαινάλῳ ἔν ποτέ οἱ ξεινήϊον ἐγγυάλιξε

τὴν

τὴν ὁδόν. ἀλλὰ γὰρ αὐτὸς ἑκὼν ἀπερήτυε κούρην.
δεῖσεν δ' ἀργαλέας ἔριδας φιλότητος ἕκητι.
βῆ δ' ἴμεναι προτὶ ἄστυ φαεινῷ ἀστέρι ἶσος,
ὅν ῥά τε νηγατέῃσιν ἐεργόμεναι καλύβῃσιν
νύμφαι θηήσαντο δόμων ὕπερ ἀντέλλοντα.
καί σφισι κυανέοιο δι' ἠέρος ὄμματα θέλγει
καλὸν ἐρευθόμενος. γάνυται δέ τε ἠϊθέοιο
παρθένος ἱμείρουσα μετ' ἀλλοδαποῖσιν ἐόντος
ἀνδράσιν, ᾧ καί μιν μνηστὴν κομέουσι τοκῆες.
τῷ ἴκελος προ πόληος ἀνὰ στίβον ἤϊεν ἥρως.
καί ῥ' ὅτε δὴ πυλέων τε, καὶ ἄστεος ἐντὸς ἔβησαν,
δημότεραι μὲν ὄπισθεν ἐπεκλονέοντο γυναῖκες
γηθόσυναι ξείνῳ. ὁ δ' ἐπὶ χθονὸς ὄμματ' ἐρείσας
νίσσετ' ἀπηλεγέως, ὄφρ' ἀγλαὰ δώμαθ' ἵκανεν
ὑψιπύλης. ἄνεσαν δὲ πύλας προφανέντι θεράπναι
δικλίδας εὐτύκτοισιν ἀρηρεμένας σανίδεσσιν.
ἔνθα μιν ἰφινόη κλισμῷ ἔνι παμφανόωντι
ἐσσυμένως καλῆς διὰ παστάδος εἷσεν ἄγουσα
ἀντία δεσποίνης. ἡ δ' ἐγκλιδὸν ὄσσε βαλοῦσα
παρθενικὰς ἐρύθηνε παρηΐδας. ἔμπα δὲ τόν γε
αἰδομένη μύθοισι προσέννεπεν αἱμυλίοισι.
Ξεῖνε, τίη μίμνοντες ἐπὶ χρόνον ἔκτοθι πύργων
ἧσθ' αὔτως. ἐπεὶ οὐ μὲν ὑπ' ἀνδράσι ναίεται ἄστυ.
ἀλλὰ θρηϊκίης ἐπινάσσιοι ἠπείροιο
πυροφόρους ἀρόωσι γέας. κακότητα δὲ πᾶσαν
ἐξερέω νημερτές. ἵν' εὖ γνοίητε καὶ αὐτοί.
εὖτε θόας ἀστοῖσι πατὴρ ἐμὸς ἐμβασίλευε,
τηνίκα θρηϊκίην οἵ τ' ἀντία ναιετάουσι,

δήμου ἀπορνύμενοι λαοὶ πέρθεσκον ἐπαύλεις
ἐκ νηῶν. αὐτῇσι δ' ἀπείρονα ληΐδα κούρας
δεῦρ' ἄγον. οὐλομένης δὲ θεᾶς πορσύνετο μῆτις
κύπριδος, ἥ τέ σφιν θυμοφθόρον ἔμβαλεν ἄτην.
δὴ γὰρ κουριδίας μὲν ἀπέστυγον. ἐκ δὲ μελάθρων
ᾗ ματίῃ εἴξαντες, ἀπεσσεύοντο γυναῖκας.
αὐτὰρ ληϊάδεσσι δορικτήτῃς παρίαυον
σχέτλιοι. ἦ μὲν δηρὸν ἐτέτλαμεν. εἴ κε ποτ' αὖτις
ὀψὲ μεταστρέψωσι νόον. τὸ δὲ διπλόον αἰεὶ
πῆμα κακὸν προὔβαινεν. ἀτιμάζοντο δὲ τέκνα
γνήσι' ἐνὶ μεγάροις. σκοτίη δ' ἀνέτελλε γενέθλη.
αὔτως δ' ἀδμῆτές τε κόραι, χῆραί τ' ἐπὶ τῇσι
μητέρες, ἀμ πτολίεθρον ἀτημελέως ἀλάληντο.
οὐδὲ πατὴρ ὀλίγον περ ἑῆς ἀλέγιζε θυγατρός.
εἰ καὶ ἐν ὀφθαλμοῖσι δαϊζομένην ὁρόῳτο
μητρυιῆς ὑπὸ χερσὶν ἀτασθάλου. οὐδ' ἀπὸ μητρὸς
λώβην, ὡς τὸ πάροιθεν ἀεικέα παῖδες ἄμυνον.
οὐδὲ κασιγνήτῃσι κασιγνήτη μέλε θυμῷ.
ἀλλ' οἶαι κοῦραι ληΐδες ἔν τε δόμοισιν
ἔν τε χοροῖς, ἀγορῇ τε καὶ εἰλαπίνῃσι μέλοντο.
εἰσόκε τις θεὸς ἄμμιν ὑπέρβιον ἔμβαλε θάρσος
ἂψ ἀνερχομένους θρηΐκων ἄπο, μηκέτι πύργοις
δέχθαι. ἵν' ἢ φρονέοιεν ἅπερ θέμις, ἠέ πῃ ἄλλῃ
αὐταῖς ληϊάδεσσιν ἀφορμηθέντες ἵκοιντο.
51 Οἱ δ' ἄρα θεσσάμενοι παίδων γένος ὅσον ἔλειπτο
ἄρσεν, ἀνὰ πτολίεθρον ἔβαν πάλιν. ἔνθ' ἔτι νῦν περ
Θρηϊκίην ἄροσιν χιονώδεα ναιετάουσι,
τῷ ὑμεῖς στρωφᾶσθ' ἐπιδήμιοι, εἰ δέ κεν αὖθι

ναιετάειν ἐθέλοις, καί τοι ἅδοι, ἦ τ' ἂν ἔπειτα
πατρὸς ἐμοῖο θόαντος ἔχοις γέρας. οὐδ' ἔτι σ' οἴω
γαῖαν ὀνώσεσθαι. περὶ γὰρ βαθυλήιος ἄλλων
νήσων, αἰγαίης ὅσαι ἁλὶ ναιετάουσιν.
ἀλλ' ἄγε νῦν ἴθι νῆα κιὼν ἑτάροισιν ἔνισπε
μύθους ἡμετέρους. μηδ' ἔκτοθι μίμνε πόληος.
ἴσκεν ἀμαλδύνουσα φόνου τέλος οἷον ἐτύχθη
ἀνδράσιν. αὐτὰρ ὁ τήνπε παραβλήδην προσέειπεν.
Υ ὑψιπύλη, μάλα κεν θυμηδέος ἀντιάσαιμεν
χρησμοσύνης, ἣν ἄμμι σέθεν χατέουσιν ὀπάζεις.
εἶμι δ' ὑπότροπος αὖθις ἀνὰ πτόλιν, εὖτ' ἂν ἕκαστα
ἐξείπω κατὰ κόσμον. ἀνακτορίη δὲ μελέσθω,
σοί τ' αὐτῇ καὶ νῆσος. ἔγωγε μὲν οὐκ ἀθερίζων
χάζομαι. ἀλλά με λυγροὶ ἐπισπέρχουσιν ἄεθλοι.
ἦ, καὶ δεξιτερῆς χειρὸς θίγεν. αἶψα δ' ὀπίσω
βῆ ῥ' ἴμεν. ἀμφὶ δὲ τόνπε νεήνιδες ἄλλοθεν ἄλλαι
μυρίαι εἰλίσσοντο κεχαρμέναι, ὄφρα πυλάων
ἐξέμολεν, μετέπειτα δ' ἐυτροχάλοισιν ἁμάξαις
ἀκτὴν εἰσανέβαν ξεινήια πολλὰ φέρουσαι.
32 Μῦθον ὅτ' ἤδη πάντα διηνεκέως ἀγόρευσε
τόν ῥα καλεσσαμένη διεπέφραδεν ὑψιπύλεια.
καὶ δ' αὐτοὺς ξεινοῦσθαι ἐπὶ σφέα δώματ' ἄγεσκον
ῥηιδίως. κύπρις γὰρ ἐπὶ γλυκὺν ἵμερον ὦρσεν
ἡφαίστοιο χάριν πολυμήτιος, ὄφρα κεν αὖτις
ναίηται μετόπισθεν ἀκήρατος ἀνδράσι λῆμνος.
ἔνθ' ὁ μὲν ὑψιπύλης βασιλήιον ἐς δόμον ὦρτο
αἰσονίδης. οἱ δ' ἄλλοι ὅπῃ καὶ ἔκυρσαν ἕκαστος,
ἡρακλῆος ἄνευθεν. ὁ γὰρ παρὰ νηὶ λέλειπτο

αὐτὸς ἑκών. παῦροί τε διακρινθέντες ἑταῖροι.
αὐτίκα δ' ἄστυ χοροῖσι καὶ εἰλαπίνῃσι γεγήθει
καπνῷ κνισήεντι περίπλεον. ἔξοχα δ' ἄλλων
ἀθανάτων, ἥρης υἷα κλυτὸν, ἠδὲ καὶ αὐτὴν
κύπριν ἀοιδῇσιν θυέεσσί τε μειλίσσοντο.
ἀμβολίη δ' εἰς ἦμαρ ἀεὶ ἐξ ἤματος ᾖεν
ναυτιλίης. δηρὸν δ' ἂν ἐλίνυον αὖθι μένοντες,
εἰ μὴ ἀολλίσσας ἑτάρους ἀπάνευθε γυναικῶν
ἡρακλέης, τοίοισιν ἐνιπτάζων μετέειπεν.
Δαιμόνιοι, πάτρης ἐμφύλιον αἷμ' ἀποέργει
ἡμέας, ἦε γάμων ἐπιδευέες ἐνθάδ' ἔβημεν
κεῖθεν ὀνοσσάμενοι πολιήτιδας, αὖθι δ' ἕαδεν
ναίοντας λιπαρὴν ἄροσιν λήμνοιο ταμέσθαι.
οὐ μὰν εὐκλειεῖς γε σὺν ὀθνείῃσι γυναιξὶν
ἐσσόμεθ' ὧδ' ἐπὶ δηρὸν ἐελμένοι. οὐδ' ἐπὶ κῶας
αὐτόματον δώσει τις ἑλὼν θεὸς εὐξαμένοισιν.
ἴομεν αὖτις ἕκαστοι ἐπὶ σφέα. τὸν δ' ἐνὶ λέκτροις
ὑψιπύλης εἰᾶτε πανήμερον, εἰσόκε λῆμνον
παισὶν ἐσανδρώσῃ, μεγάλη τέ ἑ βάξις ἵκηται.
ὣς νείκεσσεν ὅμιλον. ἐναντία δ' οὔ νύ τις ἔτλη
ὄμματ' ἀνασχεθέειν, οὐδὲ προτιμυθήσασθαι.
ἀλλ' αὔτως ἀγορῆθεν ἐπαρτίζοντο νέεσθαι
σπερχόμενοι. ταὶ δέ σφιν ἐπέδραμον εὖτ' ἐδάησαν.
53 Ως δ' ὅτε λείρια καλὰ περιβρομέουσι μέλισσαι
πέτρης ἐκχύμεναι σιμβληίδος, ἀμφὶ δὲ λειμὼν
ἑρσήεις γάνυται. ταὶ δὲ γλυκὺν ἄλλοτε τ' ἄλλον
καρπὸν ἀμέργουσιν πεποτημέναι, ὣς ἄρα ταί γε
ἐνδυκέως ἀνέρας ἀμφικινυρόμεναι προχέοντο

χερσί τε

χερσί τε καὶ μύθοισιν ἐδεικανόωντο ἕκαστον
εὐχόμεναι μακάρεσσιν ἀπήμονα νόστον ὀπάσσαι.
ὣς δὲ καὶ ὑψιπύλη ἠρήσατο χεῖρας ἑλοῦσα
αἰσονίδεω. τὰ δέ οἱ ῥέε δάκρυα χήτει ἰόντος.
νείσεο, καί σε θεοὶ σὺν ἀπήμοσιν αὖτις ἑταίροις
χρύσειον βασιλῆϊ δέρος κομίσειαν ἄγοντα
αὔτως ὡς ἐθέλεις. καί τοι φίλον. ἥδε δὲ νῆσος
σκῆπτρά τε πατρὸς ἐμεῖο παρέσσεται, ἤν καὶ ὀπίσσω
δή ποτε νοστήσας ἐθέλῃς ἄψορρον ἱκέσθαι.
ῥηϊδίως δ' ἂν ἑοῖ καὶ ἀπείρονα λαὸν ἀγείραις
ἄλλων ἐκ πολίων. ἀλλ' οὐ σύ γε τήνδε μενοινὴν
σχήσεις. οὔτ' αὐτὴ προτιόσσομαι ὧδε τελεῖσθαι.
μνώεο μὴν ἀπεών περ ὁμῶς καὶ νόστιμος ἤδη
ὑψιπύλης. λίπε δ' ἧμιν ἔπος, τό κεν ἐξανύσαιμι
πρόφρων. ἢν ἄρα δή με θεοὶ δώωσι τεκέσθαι.
Τ ἣν δ' αὖτ' αἴσονος υἱὸς ἀγαιόμενος προσέειπεν.
ὑψιπύλη, τὰ μὲν οὕτω ἐναίσιμα πάντα γένοιτο
ἐκ μακάρων. τύνη δ' ἐμέθεν πέρι θυμὸν ἀρείω
ἴσχαν', ἐπεὶ πάτρην μοι ἅλις πελίαο ἕκητι
ναιετάειν, μοῦνόν με θεοὶ λύσειαν ἀέθλων.
εἰ δ' οὔ μοι πέπρωται ἐς ἑλλάδα γαῖαν ἱκέσθαι
τηλοῦ ἀναπλώοντι, σὺ δ' ἄρσενα παῖδα τέκηαι,
πέμπε μιν ἡβήσαντα πελασγίδος ἔνδον ἰωλκοῦ,
πατρί τ' ἐμῷ καὶ μητρὶ δύης ἄκος. ἢν ἄρα τούς γε
τέτμῃ ἔτι ζώοντας, ἵν' ἄνδιχα τοῖο ἄνακτος
σφοῖσιν πορσύνωνται ἐφέστιοι ἐν μεγάροισιν.
34 Η, καὶ ἔβαιν' ἐπὶ νῆα παροίτατος. ὣς δὲ καὶ ἄλλοι
βαῖνον ἀριστῆες, λάζοντο δὲ χερσὶν ἐρετμά

ἐν χώρῳ ἑζόμενοι. πρυμνήσια δέ σφισιν ἄργος
λῦσεν ὑπ' ἐκ πέτρης ἁλιμυρέος. ἔνθ' ἄρα ῥίγα
κόπτον ὕδωρ δολιχῇσιν ἐπικρατέως ἐλάτῃσιν.
ἑσπέριοι δ' ὀρφῆος ἐφημοσύνῃσιν ἔκελσαν
νῆσον ἐς ἠλέκτρης ἀτλαντίδος, ὄφρα δαέντες
ἀῤῥήκτοις ἀγανῇσι τελεσφορίῃσι θέμιστας
σωότεροι κρυόεσσαν ὑπεὶρ ἅλα ναυτίλλοιντο.
τῶν μὲν ἔτ' οὐ προτέρω μυθήσομαι. ἀλλὰ καὶ αὐτὴ
νῆσος ὁμῶς κεχάροιτο. καὶ οἳ λάχον ὄργια κεῖνα
δαίμονες ἐνναέται, τὰ μὲν οὐ θέμις ἄμμιν ἀείδειν.
Κεῖθεν δ' εἰρεσίῃ μέλανος διὰ βένθεα πόντου
ἱέμενοι τῇ μὲν θρηΐκων χθόνα, τῇ δὲ περαίην
ἴμβρον ἔχον καθύπερθε νέον γε μὲν ἠελίοιο
δυομένου. χέρνησον ἐπὶ προύχουσαν ἵκοντο.
ἔνθά σφιν λαιψηρὸς ἄη νότος. ἱστία δ' οὔρῳ
στησάμενοι, κούρης ἀθαμαντίδος αἰπὰ ῥέεθρα
εἰσέβαλον. πέλαγος δὲ τὸ μὲν καθύπερθε λέλειπτο
ἦοι, τὸ δ' ἐννύχιοι ῥοιτειάδος ἔνδοθεν ἀκτῆς
μέτρεον, ἰδαίην ἐπὶ δεξιὰ γαῖαν ἔχοντες.
δαρδανίην δὲ λιπόντες, ἐπιπροσέβαλλον ἀβύδῳ.
περκώτην δ' ἐπὶ τῇ καὶ ἀβαρνίδος ἠμαθόεσσαν
ἠϊόνα. ζαθέην τε παρήμειβον πιτύειαν.
καὶ δὴ τοί γ' ἐπὶ νυκτὶ διάνδιχα νηὸς ἰούσης
δίνῃ πορφύροντα διήνυσαν ἑλλήσποντον.
35 Ἔστι δέ τις αἰπεῖα προποντίδος ἔνδοθι νῆσος.
τυτθὸν ἀπὸ φρυγίης πολυληΐου ἠπείροιο
εἰς ἅλα κεκλιμένη. ὅσον τ' ἐπιμύρεται ἰσθμός.
χέρσῳ ἐπιπρηνὴς καταειμένος. ἐν δέ οἱ ἀκταὶ

ἀμφίδυμοι. κεῖνται δ' ὑπὲρ ὕδατος αἰσηπῖος.
ἄκρην μιν καλέουσιν ὄρος περιναιετάοντες.
τὸ δ' μὲν ὑβρισταί τε καὶ ἄγριοι ναιετάουσι
γηγενέες, μέγα θαῦμα περικτιόνεσσιν ἰδέσθαι.
ἓξ γὰρ ἑκάστῳ χεῖρες ὑπέρβιοι ἠερέθονται.
αἱ μὲν ἀπὸ στιβαρῶν ὤμων δύο, ταὶ δ' ὑπένερθεν
τέσσαρες αἰνοτάτῃσιν ἐπὶ πλευρῇς ἀραρυῖαι.
ἰσθμὸν δ' αὖ πεδίον τε δολίονες ἀμφενέμοντο
ἀνέρες. ἐν δ' ἥρως αἰνήϊος υἱὸς ἄνασσε
κύζικος, ὃν κούρη δίου τέκεν εὐσώροιο
αἰνήτη. τοὺς δ' οὔτι καὶ ἔκπαγλοί περ ἐόντες
γηγενέες σίνοντο ποσειδάωνος ἀρωγῇ.
τοῦ γὰρ ἔσαν τὰ πρῶτα δολίονες ἐκγεγαῶτες.
ἔνθ' ἀργὼ προύτυψεν ἐπειγομένη ἀνέμοισι
θρηϊκίοις. καλὸς δὲ λιμὴν ὑπέδεκτο θέουσαν.
κεῖσε καὶ εὐναίης ὀλίγον λίθον ἐκλύσαντες
τίφυος ἐννεσίῃσιν ὑπὸ κρήνῃ ἐλίποντο.
κρήνῃ ὑπ' ἀρτακίῃ. ἕτερον δ' ἕλον ὅστις ἀρήρει
βριθύν. ἀτὰρ κεῖνόν γε θεοπροπίαις ἑκάτοιο
νηλεΐδαι μετόπισθεν ἰάονες ἱδρύσαντο
ἱρὸν ἣ θέμις ἦεν ἰησονίης ἐν ἀθήναις.
956 Τοὺς δ' ἀμυδὶς φιλότητι δολίονες, ἠδὲ καὶ αὐτὸς
κύζικος ἀντήσαντες, ὅτε στόλον ἠδὲ γενέθλην
ἔκλυον, οἵτινες ἦεν, ἐϋξείνως ἀρέσαντο.
καί σφεας εἰρεσίῃ πέπιθον προτέρωσε κιόντας
ἄστεος ἐν λιμένι πρυμνήσια νηὸς ἀνάψαι.
ἔνθ' οἵγ' ἐκβασίῳ βωμὸν θέσαν ἀπόλλωνι
στησάμενοι. πὰρ θῖνα θυηπολίης ἐμέλοντο.

δῶκεν δ' αὐτὸς ἄναξ λαρὸν μέθυ δευομένοισιν.
μῆλά θ' ὁμοῦ. δὴ γάρ οἱ ἔην φάτις εὖτ' ἂν ἵκωνται
ἀνδρῶν ἡρώων θεῖος στόλος αὐτίκα τόν γε
μείλιχον ἀντιάαν, μηδὲ πτολέμοιο μέλεσθαι.
ἶσόν που κἀκείνῳ ἐπισταχύεσκον ἴουλοι
οὐδέ νύ πω παίδεσσιν ἀγαλλόμενος μεμόρητο
ἀλλ' ἔτι οἱ κατὰ δώματ' ἀκήρατος ἦεν ἄκοιτις.
ὠδίνων, μέροπος περκωσίου ἐκγεγαυῖα
κλείτη ἐϋπλόκαμος. τὴν μὲν νέον ἐξέτι πατρὸς
θεσπεσίοις ἕδνοισιν ἀνήγαγεν ἀντιπέρηθεν.
ἀλλὰ καὶ ὧς θάλαμόν τε λιπὼν καὶ δέμνια νύμφης,
τοῖς μὲν δαῖτ' ἀλέγυνε, βάλε δ' ἀπὸ δείματα θυμοῦ.
ἀλλήλους δ' ἐρέεινον ἀμοιβαδίς. ἤτοι ὁ μέν σφεων
πεύθετο ναυτιλίης ἄνυσιν, πελίαό τ' ἐφετμάς.
οἱ δὲ περικτιόνων πόλιας καὶ κόλπον ἅπαντα
εὐρείης πεύθοντο προποντίδος. οὐ μὲν ἐπιπρὸ
ἠείδει καταλέξαι ἐελδομένοισι δαῆναι.
57 ἠοῖ δ' εἰσανέβαν μέγα δίνδυμον ὄφρα καὶ αὐτοὶ
θηήσαιντο πόρους κείνης ἁλός, ἐν δ' ἄρα τοίγε
νῆα χυτοῦ λιμένος προτέρου ἐξήλασαν ὅρμου.
ἥδε δ' ἰησονίη πέφαται ὁδὸς ἣν ἐπέβησαν.
γηγενέες δ' ἑτέρωθεν ἀπ' οὔρεος ἀΐξαντες
φράξαν ἀπειρεσίοιο χυτοῦ στόμα νειόθι πέτρης
πόντιον οἷά τε θῆρα λοχώμενοι ἔνδον ἐόντα.
ἀλλὰ γὰρ αὖθι λέλειπτο σὺν ἀνδράσιν ὁπλοτέροισιν
ἡρακλέης, ὃς δή σφι παλίντονον αἶψα τανύσσας
τόξον ἐπασσυτέρους πέλασε χθονὶ, τοὶ δὲ καὶ αὐτοὶ
πέτρας ἀμφιρρῶγας ἀερτάζοντες ἔβαλλον.

δὴ

δὴ γάρ που κἀκεῖνα θεὰ τρέφεν αἰνὰ πέλωρα
ἥρη ζηνὸς ἄκοιτις ἀέθλιον ἡρακλῆι.
σὺν δὲ καὶ ὧλλοι δῆθεν ὑπότροποι ἀντιόωντες
πρίν περ ἀνελθέμεναι σκοπιὴν ἥπτοντο φόνοιο
γηγενέων ἥρωες ἀρήϊοι. ἢ μὲν ὀϊστοῖς
ἠδὲ καὶ ἐγχείῃσι δεδεγμένοι, εἰσόκε πάντας
ἀντιβίην ἀσπερχὲς ὀρινομένους ἐδάιξαν
38 Ὡς δ' ὅτε δούρατα μακρὰ νέον πελέκεσσι τυπέντα
ὑλοτόμοι στοιχηδὸν ἐπὶ ῥηγμῖνι βάλωσιν.
ὄφρα νοτισθέντα κρατεροὺς ἀνεχοίατο γόμφους,
⊙ ὣς οἱ ἐνὶ ξυνοχῇ λιμένος πολιοῖο τέταντο
ἑξείης. ἄλλοι μὲν ἐς ἁλμυρὸν ἀθρόοι ὕδωρ
δύπτοντες κεφαλὰς καὶ στήθεα. γυῖα δ' ὕπερθεν
χέρσῳ τεινάμενοι. τοὶ δ' ἔμπαλιν αἰγιαλοῖο
κράατα μὲν ψαμάθοισι. πόδας δ' εἰς βένθος ἔρειδον
ἄμφω ἅμ' οἰωνοῖσι καὶ ἰχθύσι κύρμα γενέσθαι.
Ηρωες δ' ὅτε δή σφιν ἀταρβὴς ἔπλετ' ἄεθλος
δὴ τότε πείσματα νηὸς ὑπὸ πνοιῇς ἀνέμοιο
λυσάμενοι προτέρωσε δι' ἐξ ἁλὸς οἶδμα νέοντο.
ἡ δ' ἔθεεν λαίφεσι πανήμερος. οὐ μὲν ἰούσης
νυκτὸς ἔτι ῥιπὴ μένεν ἔμπεδον. ἀλλὰ θύελλαι
ἀντίαι ἁρπάγδην ὀπίσω φέρον. ὄφ' ἐπέλασαν
αὖτις ἐϋξείνοισι δολίοσιν. ἐκ δ' ἄρ' ἔβησαν
αὐτονυχὶ, ἱερὴ δὲ φατίζεται ἥδ' ἔτι πέτρη
ᾗ πέρι πείσματα νηὸς ἐπεσσύμενοι ἐβάλοντο.
οὐδέ τις αὐτὴν νῆσον ἐπιφραδέως ἐνόησεν
ἔμμεναι. οὐδ' ὑπὸ νυκτὶ δολίονες ἂψ ἀνιόντας
ἥρωας νημερτὲς ἐπήϊσαν. ἀλλά που ἀνδρῶν

μακριέων εἴσαντο πελασγικὸν ἄρεα κέλσαι.
τῶ καὶ τεύχεα δύντες ἐπὶ σφίσι χεῖρας ἄειραν.
σὺν δ᾽ ἔλασαν μελίας τε καὶ ἀσπίδας ἀλλήλοισιν
ὀξείῃ ἴκελοι ῥιπῇ πυρός. ἥ τ᾽ ἐνὶ θάμνοις
αὐαλέοισι πεσοῦσα κορύσσεται. ἐν δὲ κυδοιμὸς
δεινός τε ζαμενής τε δολιονίῳ πέσε δήμῳ.
οὐδ᾽ ὅτε δηιοτῆτος ὑπὲρ μόρον αὖτις ἔμελλεν
οἴκαδε νυμφιδίους θαλάμους καὶ λέκτρον ἱκέσθαι.
ἀλλά μιν αἰσονίδης τετραμμένον ἰθὺς ἑοῖο
πλῆξεν ἐπαΐξας στῆθος μέσον. ἀμφὶ δὲ δουρὶ
ὀστέον ἐρραίσθη. ὁ δ᾽ ἐνὶ ψαμάθοισιν ἐλυσθεὶς
μοῖραν ἀνέπλησεν. τὴν γὰρ θέμις οὔποτ᾽ ἀλύξαι
θνητοῖσιν. πάντῃ δὲ περὶ μέγα πέπταται ἕρκος.
ὡς τὸν ὀιόμενόν που ἀδευκέος ἔκτοθεν ἄτης
ἔμμεν ἀριστήων, αὐτῇ δ᾽ ὑπὸ νυκτὶ πέδησεν
μαρνάμενον κείνοισι. πολέες δ᾽ ἐπαρηγόνες ἄλλοι
ἔκταθεν. Ηρακλέης μὲν ἐνήρατο τηλεκλῆα,
ἠδὲ μεγαβρόντην. σφόδριν δ᾽ ἐνάριξεν ἄκαστος.
πηλεὺς δὲ ζέλυν εἷλεν. ἀρηίθοόν τε γέφυρον.
αὐτὰρ ἐυμμελίης τελαμὼν βασιλῆα κατέκτα.
ἴδας δ᾽ αὖ προμέα. κλυτίος δ᾽ ὑάκινθον ἔπεφνεν.
τυνδαρίδαι δ᾽ ἄμφω μεγαλοσσάκεα, φλογίον τε.
οἰνεΐδης δ᾽ ἐπὶ τοῖσιν ἕλεν θρασὺν ἰτυμονῆα,
ἠδὲ καὶ ἀρτακέα πρόμον ἀνδρῶν. οὓς ἔτι πάντες
ἐνναέται τιμαῖς ἡρωίσι κυδαίνουσιν.
οἱ δ᾽ ἄλλοι εἴξαντες ὑπέτρεσαν ἠύτε κίρκους
ὠκυπέτας ἀγεληδὸν ὑποτρέσσωσι πέλειαι.
ἐς δὲ πύλας ὁμάδῳ πέσον ἀθρόοι. αἶψα δ᾽ ἀυτῆς

πλῆτο

πλῆρ πόλις στονόεντος ὑπὲρ τοπίῃ πολέμοιο.
ἠῶθεν δ᾽ ὀλοὴν καὶ ἀμήχανον εἰσενόησαν
ἀμπλακίην ἄμφω. στυγερὸν δ᾽ ἄχος εἷλεν ἰδόντας
ἥρωας μινύας αἰνήϊον υἷα πάροιθεν
κύζικον, ἐν κονίῃσι καὶ αἵματι πεπτηῶτα.
ἤματα δὲ τρία πάντα γόων, τίλλοντό τε χαίτας
αὐτοὶ ὁμῶς, λαοί τε δολίονες. αὐτὰρ ἔπειτα
τρὶς περὶ χαλκείοις σὺν τεύχεσι δινηθέντες
τύμβῳ ἐνεκτερέϊξαν, ἐπειρήξαντό τ᾽ ἀέθλων
ἣ θέμις ἀμπεδίον λειμώνιον. ἔνθ᾽ ἔτι νῦν περ
ἐγκέχυται τόδε σῆμα καὶ ὀψιγόνοισιν ἰδέσθαι.
οὐ δὲ μὲν οὐδ᾽ ἄλοχος κλείτη φθιμένοιο λέλειπτο
οὗ πόσιος μετόπισθε. κακῷ δ᾽ ἐπικύντερον ἄλλο
ἤνυσεν ἁψαμένη βρόχον αὐχένι. τὴν δὲ καὶ αὐταὶ
νύμφαι ἀποφθιμένην ἀλσηΐδες ὠδύραντο.
καί οἱ ἀπὸ βλεφάρων ὅσα δάκρυα χεῦαν ἔραζε
πάντα τάγε κρήνην τεῦξαν θεαί. ἣν καλέουσιν
κλείτην δυστήνοιο περικλεὲς οὔνομα νύμφης.
αἰνότατον δὴ κεῖνο δολιονίῃσι γυναιξὶν,
ἀνδράσι τ᾽ ἐκ διὸς ἦμαρ ἐπήλυθεν. οὐδὲ γὰρ αὐτῶν
ἔτλη τὶς πάσασθαι ἐδητύος οὐδ᾽ ἐπὶ δηρὸν
ἐξ ἀχέων, ἔργοιο μυληφάτου ἐμνώοντο.
ἀλλ᾽ αὔτως ἄφλεκτα διαζώεσκον ἔδοντες.
E ἔνθ᾽ ἔτι νῦν εὖτ᾽ ἄν σφιν ἐτήσια χύτλα χέωνται
κύζικον ἐνναίοντες ἰάονες ἔμπεδον αἰεὶ
πανδήμοιο μύλης πελάνους ἐπαλεσφεύουσιν.
ἐκ δὲ τόθεν τρηχεῖαι ἀνηέρθησαν ἄελλαι
ἦμαθ᾽ ὁμοῦ νύκτας τε δυώδεκα. τοὺς δὲ κατ᾽ αὖθι

ναυτίλλεσθαι ἔρυκον. ἐπιπλομένῃ δ' ἐνὶ νυκτὶ
ὧλλοι μὲν ῥὰ πάρος δεδμημένοι εὐνάζοντο
ὕπνῳ ἀρειστῆες πύματον λέχος. αὐτὰρ ἄκαστος
μόψος τ' ἀμπυκίδης ἀδινὰ κνώσσοντας ἔρυτο.
ἡ δ' ἄρ' ὑπὲρ ξανθοῖο καρήατος αἰσονίδαο
πωτᾶτ' ἀλκυονὶς λιγυρῇ ὀπὶ θεσπίζουσα
λῆξιν ὀρινομένων ἀνέμων. συνέηκε δὲ μόψος
ἀκταίης ὄρνιθος ἐναίσιμον ὄσσαν ἀκούσας.
καὶ τὴν μὲν θεὸς αὖτις ἀπέτραπεν. ἷζε δ' ὕπερθε
νηΐου ἀφλάστοιο μετήορος ἀΐξασα.
τὸν δ' ὅγε κεκλιμένον μαλακοῖς ἐνὶ κώεσιν οἰῶν,
κινήσας ἀνέγειρε παρασχεδὸν, ὧδέ τ' ἔειπεν.
αἰσονίδη χρειώ σε τόδ' ἱερὸν εἰσανιόντα
δινδύμου ὀκρυόεντος ἐΰθρονον ἱλάξασθαι
μητέρα συμπάντων μακάρων. λήξουσι δ' ἄελλαι
ζαχρηεῖς. ρίην γὰρ ἐγὼ νέον ὄσσαν ἄκουσα
ἀλκυόνος ἁλίης, ἥτε κνώσσοντος ὕπερθε
σεῖο πέριξ, τὰ ἕκαστα πιφαυσκομένη πεπότηται,
41 ἐκ γὰρ τῆς ἄνεμοί τε, θάλασσά τε, νειόθι τε χθὼν
πᾶσα πεπείρηται νιφόεντ' ἕδος οὐλύμποιο.
καί οἱ ὅτ' ἐξ ὀρέων μέγαν οὐρανὸν εἰσαναβαίνει,
ζεὺς αὐτὸς κρονίδης ὑποχάζεται. ὡς δὲ καὶ ὧλλοι
ἀθάνατοι μάκαρες δεινὴν θεὸν ἀμφιέπουσιν.
ὡς φάτο. τῷ δ' ἀσπαστὸν ἔπος γένετο εἰσαΐοντι.
ὤρνυτο δ' ἐξ εὐνῆς κεχαρημένος, ὦρσε δ' ἑταίρους
πάντας ἐπισπέρχων, καί τέ σφιν ἐγρομένοισιν
ἀμπυκίδεω μόψοιο θεοπροπίας ἀγόρευεν.
αἶψα δὲ κουρότεροι μὲν ἀπὸ σταθμῶν ἐλάσαντες

ἔνθεν ἐς αἰπεινὴν ἀνάγον βόας οὔρεος ἄκρην.
οἱ δ᾽ ἄρα λυσάμενοι ἱερῆς ἐκ πείσματα πέτρης,
ἤρεσαν ἐς λιμένα θρηΐκιον. ἂν δὲ καὶ αὐτοὶ
βαῖνον. παυροτέρους ἑτάρων ἐν νηὶ λιπόντες.
Ι τοῖσι δὲ μακριάδες σκοπιαὶ, καὶ πᾶσα περαίη
θρηϊκίης ἐνὶ χερσὶν ἑαῖς προυφαίνετ᾽ ἰδέσθαι.
φαίνετο δ᾽ ἠερόεν στόμα βοσπόρου, ἠδὲ κολῶναι
μυσίαι. ἐκ δ᾽ ἑτέροις ποταμοῦ ῥόος αἰσήποιο.
ἄστυ τε καὶ πεδίον νηπήιον ἀδρηστείης.
ἔσκε δέ τι στιβαρὸν στύπος ἀμπέλου ἔντροφον ὕλην
πρόχνυ γεράνδρυον. τὸ μὲν ἔκταμον ὄφρα πέλοιτο
δαίμονος οὐρείης ἱερὸν βρέτας. ἔξεσε δ᾽ ἄργος
εὐκόσμως. καὶ δή μιν ἐπ᾽ ὀκριόεντι κολωνῷ
ἵδρυσαν φηγοῖσιν ἐπηρεφὲς ἀκροτάτῃσιν.
αἵ ῥά τε πασάων πανυπέρταται ἐρρίζωνται.
42 βωμὸν δ᾽ αὖ χέραδος παρενήνεον. ἀμφὶ δὲ φύλλοις
στεψάμενοι δρυΐνοισι θυηπολίης ἐμέλοντο
μητέρα δινδυμίην πολυπότνιαν ἐγκαλέοντες.
ἐνναέτιν φρυγίης τιτίην θ᾽ ἅμα κυλλήνόν τε.
οἳ μοῦνοι πολέων μοιρηγέται, ἠδὲ πάρεδροι
μητέρος ἰδαίης κεκλήαται, ὅσοι ἔασι
δάκτυλοι ἰδαῖοι κρηταιέες. οὕς ποτε νύμφη
ἀγχιάλη δικταῖον ἀνὰ σπέος ἀμφοτέρῃσιν
δραξαμένη γαίης οἰαξίδος ἐβλάστησε.
πολλὰ δὲ τήνγε λιτῇσιν ἀποστρέψαι ἐριώλας
αἰσονίδης γουνάζετ᾽ ἐπιλείβων ἱεροῖσιν
αἰθομένοις. ἄμυδις δὲ νέοι ὀρφῆος ἀνωγῇ
σκαίροντες βηταρμὸν ἐνόπλιον ὠρχήσαντο

καὶ σάκεα ξιφέεσσιν ἐπέκτυπον, ὥς κεν ἰωὴ
δύσφημος πλάζοιτο δι᾽ ἠέρος, ἣν ἔτι λαοὶ
κηδείῃ βασιλῆος ἀνέστενον. ἔνθεν ἐσαιεὶ
ῥόμβῳ καὶ τυμπάνῳ, ῥείην φρύγες ἱλάσκονται.

43 Η δέ που εὐαγέεσσιν ἐπὶ φρένα θῆκε θυηλαῖς
ἀνταίη δαίμων. τὰ δ᾽ ἐοικότα σήματ᾽ ἔγεντο.
δένδρεα μὲν καρπὸν χέον ἄσπετον. ἀμφὶ δὲ ποσσὶν
αὐτομάτη φύε γαῖα, τερείνης ἄνθεα ποίης.
θῆρες δ᾽ εἰλυούς τε κατὰ ξυλόχους τε λιπόντες,
οὐρῇσιν σαίνοντες ἐπήλυθον. ἡ δὲ καὶ ἄλλο
θῆκε τέρας. ἐπεὶ οὔ τι παροίτερον ὕδατι νᾶεν
δίνδυμον. ἀλλά σφιν τότ᾽ ἀνέβραχε διψάδος αὔτως
ἐκ κορυφῆς ἄλληκτον. ἰησονίην δ᾽ ἐνέπουσιν
κεῖνο ποτὸν κρήνην περιναιέται ἄνδρες ὀπίσσω.
καὶ τότε μὲν δαῖτ᾽ ἀμφὶ θεᾶς θέσαν οὔρεσιν ἄρκτων
μέλποντες ῥείην πολυπότνιαν. αὐτὰρ ἐς ἠῶ
ληξάντων ἀνέμων νῆσον λίπον εἰρεσίῃσιν.

Ενθ᾽ ἔρις ἄνδρα ἕκαστον ἀριστήων ὀρόθυνεν
ὅστις ἀπολλήξειε πανύστατος. ἀμφὶ γὰρ αἰθὴρ
νήνεμος ἐστόρεσεν δίνας. κατὰ δ᾽ εὔνασε πόντον.
οἱ δὲ γαληναίῃ πίσυνοι ἐλάασκον ἐπιπρὸ
νῆα βίῃ. τὴν δ᾽ οὔ κε δι᾽ ἐξ ἁλὸς ἀΐσσουσαν
οὐδὲ ποσειδάωνος ἀελλόποδες κίχον ἵπποι.
ἔμπης δ᾽ ἐγρομένοιο σάλου ζαχρηέσιν αὔραις.
αἳ νέον ἐκ ποταμῶν ὑπὸ δείελον ἠερέθονται
τειρόμενοι. καὶ δὴ μετελώφεον. αὐτὰρ ὁ τούς γε
πασσυδίῃ μογέοντας ἐφέλκετο κάρτεϊ χειρῶν
ἡρακλέης. ἐτίνασσε δ᾽ ἀρηρότα δούρατα νηός.

Αλλ᾽

44 Ἀλλ' ὅτε δὴ μυσῶν λελιμμένοι ἠπείροιο,
ῥυνδακίδας προχοὰς μέγα τ' ἠρίον αἰγαίωνος
τυτθὸν ὑπ' ἐκ φρυγίης παρεμέτρεον εἰσορόωντες.
δὴ τότ' ἀνοχλίζων τετρηχότος οἴδματος ὁλκοὺς
μεσσόθεν ἆξεν ἐρετμόν. ἀτὰρ τρύφος ἄλλο μὲν αὐτὸς
ἄμφω χερσὶν ἔχων πέσε δόχμιος· ἄλλο δὲ πόντος
κλύζε παλιρροθίοισι φέρων. ἀνὰ δ' ἕζετο σιγῇ
παπταίνων. χεῖρες γὰρ ἀήθεσον ἠρεμέουσαι.
ἦμος δ' ἀγρόθεν εἶσι φυτοσκάφος, ἤ τις ἀροτρεὺς
ἀσπασίως εἰς αὖλιν ἑήν, δόρποιο χατίζων.
αὐτοῦ δ' ἐν προμολῇ τετρυμμένα γούνατ' ἔκαμψεν
αὐσταλέος κονίῃσι. περιτριβέας δέ τε χεῖρας
εἰσορόων κακὰ πολλὰ ἑῇ ἠρήσατο γαστρί.
45 Τῆμος ἄρ' οἵ γ' ἀφίκοντο κιανίδος ἤθεα γαίης
ἀμφ' ἀργανθώνειον ὄρος προχοάς τε κίοιο.
τοὺς μὲν εὐξείνως μυσοὶ φιλότητι κιόντας
δειδέχατ' ἐνναέται κείνης χθονός. ἤιά τέ σφι
μῆλά τε δευομένοις, μέθυ τ' ἄσπετον ἐγγυάλιξαν.
Ἔνθα δ' ἔπειτ' οἱ μὲν ξύλα κάγκανα. τοὶ δὲ λεχαίην
φυλλάδα λειμώνων φέρον ἄσπετον ἀμήσαντες
στόρνυσθ', οἱ δ' ἀμφὶ πυρήια δινεύεσκον.
οἱ δ' οἶνον κρητῆρσι κέρων, πένοντό τε δαῖτα
ἐκβασίῳ ῥέξαντες ὑπὸ κνέφας ἀπόλλωνι.
Αὐτὰρ ὁ δαίνυσθαι ἑτάροισ' εὖ ἐπιτείλας,
βῆ ῥ' ἴμεν εἰς ὕλην υἱὸς διός, ὥς κεν ἐρετμὸν
οἱ αὐτῷ φθαίη καταχείριον ἐντύνασθαι.
εὗρεν ἔπειτ' ἐλάτην ἀλαλήμενος, οὔτε τι πολλοῖς
ἀχθομένην ὄζοις, οὐδὲ μέγα τηλεθόωσαν.

ἀλλ' οἷον τανάης ἔρνος πέλει αἰπείροιο.
τόσση ὁμῶς μῆκός τε καὶ ἐς πάχος ἦεν ἰδέσθαι.
ῥίμφα δ' ὀϊστοδόκην μὲν ἐπὶ χθονὶ θῆκε φαρέτρην
αὐτοῖσιν τόξοισιν. ἔδυ δ' ἀπὸ δέρμα λέοντος.
τὴν δ' ὅγε χαλκοβαρεῖ ῥοπάλῳ δαπέδοιο τινάξας
νειόθεν ἀμφοτέρῃσι περὶ στύπος ἔλλαβε χερσὶν
ἠνορέῃ πίσυνος. ἐν δὲ πλατὺν ὦμον ἔρεισεν
εὖ διαβάς. πρόθεν δὲ βαθύρριζόν περ ἐοῦσαν
προσφὺς ἐξήειρε σὺν αὐτοῖς ἔχμασι γαίης.
ὡς δ' ὅτ' ἂν ἀπροφάτως ἱστὸν νεὸς εὖτε μάλιστα
χειμερίη ὀλοοῖο δύσις πέλει ὠρίωνος
ὑψόθεν ἐμπλήξασα θοὴ ἀνέμοιο καταῖξ
αὐτοῖσι σφήνεσσιν ὑπ' ἐκ προτόνων ἐρύσηται.
46 Ως ὅγε τὴν ἤειρεν ὁμοῦ δ' ἀνὰ τόξα καὶ ἰοὺς
δέρμαθ' ἑλὼν ῥόπαλόν τε παλίσσυτος ὦρτο νέεσθαι,
τόφρα δ' ὕλας χαλκῇ σὺν κάλπιδι νόσφιν ὁμίλου
δίζητο * κρήνης ἱερὸν ῥόον, ὥς κέ οἱ ὕδωρ
φθαίη ἀφυσσάμενος ποτιδόρπιον, ἄλλα τε πάντα
ὀτραλέως κατὰ κόσμον ἐπαρτίσσειεν ἰόντι.
δὴ γάρ μιν τοίοισιν ἐν ἤθεσιν αὐτὸς ἔφερβε
νηπίαχον τὰ πρῶτα δόμων ἐκ πατρὸς ἀπούρας
δίου θειοδάμαντος, ὃν ἐν δρυόπεσσιν ἔπεφνεν
νηλειῶς, βοὸς ἀμφὶ γεωμόρου ἀντιόωντα.
ἤτοι ὁ μὲν νειοῖο γύας τέμνεσκεν ἀρότρῳ
θειοδάμας ἀνίῃ βεβολημένος. αὐτὰρ ὁ τόνγε
βοῦν ἀρότην ἤνωγε παρασχέμεν οὐκ ἐθέλοντα.
ἵετο γὰρ πρόφασιν πολέμου δρυόπεσσι βαλέσθαι
λευγαλέην. ἐπεὶ οὔ τι δίκης ἀλέγοντες ἔναιον.

Ἀλλὰ

47 Ἀλλὰ τὰ μὲν τηλοῦ κεν ἀποπλάγξειεν ἀοιδῆς.
αἶψα δ' ὅγε κρήνην μετεκίαθεν, ἣν καλέουσιν
πηγὰς ἀγχίγυοι περιναιέται. οἱ δέ που ἄρτι
νυμφάων ἵσταντο χοροί. μέλε γάρ σφισι πάσαις
ὅσσαι κεῖσ' ἐρατὸν νύμφαι ῥόον ἀμφενέμοντο
ἄρτεμιν ἐννυχίῃσιν ἀεὶ μέλπεσθαι ἀοιδαῖς.
αἱ μὲν ὅσαι σκοπιὰς ὀρέων λάχον, ἢ καὶ ἐναύλους.
αἵγε μὲν ὑλήωροι ἀπόπροθεν ἐστιχόωντο.
ἡ δὲ νέον κρήνης ἀνεδύετο καλλινάοιο
νύμφη ἐφυδατίη. τὸν δὲ σχεδὸν εἰσενόησε
κάλλει καὶ γλυκερῇσιν ἐρευθόμενον χαρίτεσσιν.
πρὸς γάρ οἱ διχόμηνις ἀπ' αἰθέρος αὐγάζουσα
βάλλε σεληναίη. τῆς δὲ φρένας ἐπτοίησεν
κύπρις. ἀμηχανίῃ δὲ μόγις συναγείρατο θυμόν.
αὐτὰρ ὅγ' ὡς τὰ πρῶτα ῥόῳ ἔνι κάλπιν ἔρεισε
λέχρις ἐπιχριμφθεὶς, περὶ δ' ἄσπετον ἔβραχεν ὕδωρ
χαλκὸν ἐς ἠχήεντα φορεύμενον. αὐτίκα δ' ἥγε
λαιὸν μὲν καθύπερθεν ἐπ' αὐχένος ἄνθετο πῆχυν
κύσσαι ἐπιθύουσα τέρεν στόμα. δεξιτερῇ δὲ
ἀγκῶν' ἔσπασε χειρί. μέσῃ δ' ἐνικάββαλε δίνῃ.
τοῦ δ' ἥρως ἰάχοντος ἐπέκλυεν οἶος ἑταίρων
εἰλατίδης πολύφημος, ἰὼν προτέρωσε κελεύθου.
δέκτο γὰρ ἡρακλῆα πελώριον ὁππόθ' ἵκοιτο.
βῆ δὲ μεταΐξας πηγέων σχεδὸν, ἠΰτε τις θὴρ
ἄγριος, ὅν ῥά τε γῆρυς ἀπόπροθεν ἵκετο μήλων.
λιμῷ δ' αἰθόμενος μετανίσσεται, οὐδ' ἐπέκυρσε
ποίμνῃσιν. πρὸ γὰρ αὐτοὶ ἐνὶ σταθμοῖσι νομῆες
ἔλσαν. ὁ δὲ στενάχων βρέμει ἄσπετον, ὄφρα κάμῃσιν,

48 Ως τότ' ἄρ' εἰλατίδης μεγάλ' ἔστενεν. ἀμφὶ δὲ χῶρον
φοίτα κεκληγώς. μελέη δέ οἱ ἔπλετο φωνή.
αἶψα δ' ἐρυσσάμενος μέγα φάσγανον ὦρτο νέεσθαι,
μή πως ἢ θήρεσσιν ἕλωρ πέλοι, ἠέ μιν ἄνδρες
μοῦνον ἐόντ' ἐλόχησαν. ἄγουσι δὲ ληΐδ' ἑτοίμην.
ἔνθ' αὐτῷ ξύμβλητο κατὰ στίβον ἡρακλῆϊ.
γυμνὸν ἐπαΐσσων παλάμῃ ξίφος. εὖ δέ μιν ἔγνω
σπερχόμενον μετὰ νῆα διὰ κνέφας. αὐτίκα δ' ἄτην
ἔκφατο λευγαλέην βεβαρημένος ἄσθματι θυμόν.
δαιμόνιε, στυγερόν τοι ἄχος πάμπρωτον ἐνίψω.
οὐ γὰρ ὕλας κρήνηνδε κιὼν σόος αὖτις ἱκάνει.
ἀλλά ἑ ληϊστῆρες ἐνιχρίμψαντες ἄγουσιν.
ἢ θῆρες σίνονται. ἐγὼ δ' ἰάχοντος ἄκουσα.
Ως φάτο. τῷ δ' ἀΐοντι κατὰ κροτάφων ἅλις ἱδρὼς
κήκιεν. ἐν δὲ κελαινὸν ὑπὸ σπλάγχνοις ζέεν αἷμα.
χωόμενος δ' ἐλάτην χαμάδις βάλεν. ἐς δὲ κέλευθον
τὴν θέεν, ᾗ πόδες αὐτὸν ὑπέκφερον ἀΐσσοντα.
49 Ως δ' ὅτε τίς τε μύωπι τετυμμένος ἔσσυτο ταῦρος
πίσεά τε προλιπὼν καὶ ἑλεσπίδας οὐδὲ νομήων
οὐδ' ἀγέλης ὄθεται. πρήσσει δ' ὁδόν. ἄλλοτ' ἄπαυστος
ἄλλοτε δ' ἱστάμενος καὶ ἀνὰ πλατὺν αὐχέν' ἀείρων
ἵησιν μύκημα κακῷ βεβολημένος οἴστρῳ.
Ως ὅγε μαιμώων. ὅτε μὲν θοὰ γούνατ' ἔπαλλεν
συνεχέως. ὅτε δ' αὖτε μεταλλήγων καμάτοιο
τῆλε διαπρύσιον μεγάλῃ βοάασκεν ἀϋτῇ.
αὐτίκα δ' ἀκροτάτας ὑπερέσχεθεν ἄκριας ἀστὴρ
ἠῷος. πνοιαὶ δὲ κατήλυθον. ὦκα δὲ τῖφυς
ἐσβαίνειν ὀρόθυνεν ἐπαυρέσθαί τ' ἀνέμοιο.

οἱ δ'

οἱ δ' εἴσβαινον ἄφαρ δὴ λελιημένοι. ὕψι δ' εὐνὰς
εὐναίας ἐρύσαντες ἀνεκρούσαντο κάλωας.
κυρτώθη δ' ἀνέμῳ λίνα μεσσόθι. τῆλε δ' ἀπ' ἀκτῆς
γηθόσυνοι φορέοντο παραὶ ποσιδήϊον ἄκρην.
Ἦμος δ' οὐρανόθεν χαροπὴ ὑπολάμπεται ἠώς.
ἐκ περάτης ἀνιοῦσα διαγλαύσσουσι δ' ἀταρποί.
καὶ πεδία δροσόεντα φαεινῇ λάμπεται αἴγλῃ.
τῆμος τούς γ' ἐνόησαν ἀϊδρείῃσι λιπόντες.
ἐν δέ σφιν κρατερὸν νεῖκος πέσεν ἐν δὲ κολῳὸς
ἄσπετος· εἰ τὸν ἄριστον ἀποπρολιπόντες ἔβησαν
σφωϊτέρων ἑτάρων. ὁ δ' ἀμηχανίῃσιν ἀτυχθεὶς,
οὐδ' ἔτι τοῖον ἔπος μετεφώνεεν, οὐδ' ἔτι τοῖον
αὐτὸν δῆς· ἀλλ' ἧστο βαρείῃ νειόθεν ἄτῃ
θυμὸν ἔδων. τελαμῶνα δ' ἕλεν χόλος ὧδέ τ' ἔειπε
ἧσ' αὔτως εὔκηλος, ἐπεί νύ τοι ἄρμενον ἦεν
ἡρακλῆα λιπεῖν. σέο δ' ἔκτοθι μῆτις ὄρωρεν,
ὄφρα τό γ' κείνου κῦδος ἀν' ἑλλάδα μή σε καλύψῃ.
αἴ κε θεοὶ δώωσιν ὑπότροπον οἴκαδε νόστον.
ἀλλὰ τί μύθων ἦδος ἐπεὶ καὶ νόσφιν ἑταίρων
εἶμι τεῶν, οἳ τόνγε δόλον συνετεκτήναντο.
Ἦ, καὶ ἐς ἁγνιάδην τῖφυν θόρε. τὼ δέ οἱ ὄσσε
ὄστλιγγες μαλεροῖο πυρὸς ὣς ἰνδάλλοντο.
καὶ νύ κεν ἂψ ὀπίσω μυσῶν ἐπὶ γαῖαν ἵκοντο
λαῖτμα βιησάμενοι ἀνέμου τ' ἄλληκτον ἰωήν.
εἰ μὴ θρηϊκίοιο δύω υἷες βορέαο
αἰακίδην χαλεποῖσιν ἐρητύεσκον ἔπεσσιν
σχέτλιοι. ἦ τέ σφιν στυγερὴ τίσις ἔπλετ' ὀπίσσω
χερσὶν ὑφ' ἡρακλῆος, ὅ μιν δίζεσθαι ἔρυκον,

ἄθλων γὰρ πελίαο δεδουπότος ἂψ ἀνιόντας
τήνῳ ἐν ἀμφιρύτῃ πέφνεν καὶ ἀμήσατο γαῖαν
ἀμφ' αὐτοῖς στήλας τε δύω καθύπερθεν ἔτευξεν
ὧν ἑτέρη θάμβος περιώσιον ἀνδράσι λεύσσειν.
κίνυται ἠχήεντος ὑπὸ πνοιῇ βορέαο.

51 Καὶ τὰ μὲν, ὡς ἤμελλε μετὰ χρόνον ἐκτελέεσθαι.
τοῖσι δὲ γλαῦκος βρυχίης ἁλὸς ἐξεφαάνθη
νηρῆος θείοιο πολυφράδμων ὑποφήτης.
ὕψι δὲ λαχνῆέν τε κάρη καὶ στήθε' ἀείρας
νειόθεν ἐκ λαγόνων στιβαρῇ ἐπορέξατο χειρὶ
νηΐου ὁλκαίοιο καὶ ἴαχεν ἐσσυμένοισιν.
τίπτε παρ' ἐκ μεγάλοιο διὸς μενεαίνετε βουλὴν
αἰήτεω πτολίεθρον ἄγειν θρασὺν ἡρακλῆα.
ἄργει οἱ μοῖρ' ἐστὶν ἀτασθάλῳ εὐρυσθῆϊ
ἐκπλῆσαι μογέοντα δυώδεκα πάντας ἀέθλους,
ναίειν δ' ἀθανάτοισι συνέστιον. εἴ κ' ἔτι παύρους
ἐξανύσῃ, τῷ, μή τι ποθὴ κείνοιο πελέσθω.
αὔτως δ' αὖ πολύφημον ἐπὶ προχοῇσι κίοιο.
πέπρωται μυσοῖσι περικλεὲς ἄστυ καμόντα,
μοῖραν ἀναπλήσειν χαλύβων ἐν ἀπείρονι γαίῃ.
αὐτὰρ ὕλαν φιλότητι θεὰ ποιήσατο νύμφη
ὃν πόσιν. οἷό περ οὕνεκ' ἀποπλαχθέντες ἐλίφθεν.
ἦ, καὶ κῦμ' ἁλίαστον ἐφέσσατο νειόθι δύψας.
ἀμφὶ δέ οἱ δίνῃσι κυκώμενον ἄφρεεν ὕδωρ
πορφύρεον. κοίλην δὲ δι' ἐξ ἁλὸς ἔκλυσε νῆα.
γήθησαν δ' ἥρωες. ὁ δ' ἐσσυμένως ἐβεβήκει
αἰακίδης τελαμὼν ἐς ἰήσονα. χεῖρα δὲ χειρὶ
ἄκρην ἀμφιβαλὼν προσπτύξατο φώνησέν τε.

Αἰσο-

52 Αἰσονίδη, μή μοί τι χολώσεαι ἀφραδίῃσιν,
εἴ τι περ ἀασάμην. πέρι γάρ μ' ἄχος εἷλεν ἐνισπεῖν
μῦθον ὑπερφίαλόν τε καὶ ἄσχετον. ἀλλ' ἀνέμοισιν
δώομεν ἀμπλακίην, ὡς καὶ πάρος εὐμενέοντες.
Τὸν δ' αὖτ' αἴσονος υἱὸς ἐπιφραδέως προσέειπεν·
ὦ πέπον, ἦ μάλα δή με κακῷ ἐκυδάσσαο μύθῳ,
φὰς ἐνὶ τοῖσιν ἅπασιν ἐνηέος ἀνδρὸς ἀλείτην
ἔμμεναι. ἀλλ' οὔθην τοι ἀδευκέα μῆνιν ἀέξω.
πρίν περ ἀνιηθείς. ἐπεὶ οὐ περὶ πώεσι μήλων,
οὐδὲ περὶ κτεάτεσσι χαλεψάμενος μενέηνας.
ἀλλ' ἑτάρου περὶ φωτός. ἔολπα δέ τοι σὲ καὶ ἄλλῳ
ἀμφ' ἐμεῦ, εἰ τοιόνδε πέλοι ποτὲ δηρίσασθαι.
Ἦ ῥα. καὶ ἀρθμηθέντες ὅπῃ πάρος ἑδριόωντο.
τὼ δὲ Διὸς βουλῇσιν, ὁ μὲν Μυσοῖσι βαλέσθαι
μέλλεν ἐπώνυμον ἄστυ πολισσάμενος ποταμοῖο
Εἰλατίδης Πολύφημος. ὁ δ' Εὐρυσθῆος ἀέθλους
αὖτις ἰὼν πονέεσθαι. ἐπηπείλησε δὲ γαῖαν
Μυσίδ' ἀναστήσειν αὐτοσχεδὸν, ὁππότε μή οἱ
ἢ ζωοῦ εὕροιεν Ὕλα μόρον, ἠὲ θανόντος.
53 Τοῖο δὲ ῥύσι' ὄπασσαν ἀποκρίναντες ἀρίστους
υἱέας ἐκ δήμοιο, καὶ ὅρκια ποιήσαντο
μήποτε μαστεύοντες ἀπολλήξειν καμάτοιο.
τούνεκεν εἰσέτι νῦν περ Ὕλαν ἐρέουσι Κιανοὶ
κοῦρον Θειοδάμαντος, ἐυκτιμένης τε μέλονται
Τρηχῖνος. δὴ γάρ ῥα κατ' αὐτόθι νάσσατο παῖδας,
οὕς οἱ ῥύσια κεῖθεν ἐπιπροέηκαν ἄγεσθαι.
νῦν δὲ πανημερίην ἄνεμος φέρε νυκτί τε πάσῃ
λάβρος ἐπιπνείων. ἀτὰρ οὐδ' ἐπὶ τυτθὸν ἄητο

ἠοῦς στελλομένης. οἱ δὲ χθοιὸς εἰσανέχουσαν
ἀκτὴν ἐκ κόλποιο μάλ' εὐρεῖαν ἐσιδέσθαι
φρασσάμενοι κώπῃσιν ἅμ' ἠελίῳ ἐπέκελσαν.
ἠὼς δ' οὐ μὲν δηρὸν ἐελδομένοις ἐφαάνθη.

Ἀπολλωνίου ῥοδίου Ἀργοναυτικῶν
πρώτου τέλος.

# ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΡΟΔΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΩΝ ΔΕΥΤΕΡΟΝ.

Ἔνθα δ' ἔσαν σταθμοί τε βοῶν, αὖλίς τ' Ἀμύκοιο
Βεβρύκων βασιλῆος ἀγήνορος, ὅν ποτε νύμφη
τίκτε Ποσειδάωνι Γενεθλίῳ εὐνηθεῖσα
Βιθυνὶς Μελίη, ὑπεροπληέστατον ἀνδρῶν,
ὅς τ' ἐπὶ καὶ ξείνοισιν ἀεικέα θεσμὸν ἔθηκε,
μή τιν' ἀποστείχειν πρὶν πειρήσασθαι ἑοῖο
πυγμαχίης. πολέας δὲ περικτιόνων ἐδάιξε.
καὶ δὲ τότε προτὶ νῆα κιὼν χρειώ μιν ἐρέσθαι
ναυτιλίης, οἵ τ' εἶεν, ὑπερβασίῃσιν ἄπασε.
τοῖον δ' ἐν πάντεσσι παρασχεδὸν ἔκφατο μῦθον.
κέκλυθ' ἁλίπλαγκτοι τά περ ἴδμεναι ὔμμιν ἔοικεν
οὔ τινα θέσμιόν ἐστιν ἀφορμηθέντα νέεσθαι
ἀνδρῶν ὀθνείων, ὅς κε Βέβρυξι πελάσσῃ.
πρὶν χείρεσσιν ἐμῇσιν ἑὰς ἀνὰ χεῖρας ἀεῖραι.
τῶ καί μοι τὸν ἄριστον ἀποκριδὸν οἶον ὁμίλου

πυγμαχίῃ στήσασθαι. καὶ αὐτόθι δηειωθῆναι.
εἰ δ' ἀναπληγείοντες ἐμὰς πατέοιτε θέμιστας,
ἤ κεν τις στυγερῶς κρατερὴ ἐπιθέψετ' ἀνάγκη.
Η ῥα μέγα φρονέων. τοὺς δ' ἄγριος εἰσαΐοντας
εἷλε χόλος. πέρι δ' αὖ Πολυδεύκεα τύψεν ὁμοκλή.
2 αἶψα δ' ἑῶν ἑτάρων πρόμος ἵστατο φώνησέν τε.
ἴσχεο νῦν, μὴ δ' ἄμμι κακὴν ὅτις εὔχεαι εἶναι
φαῖνε βίην, θεσμοῖς γὰρ ὑπείξομεν ὡς ἀγορεύεις.
αὐτὸς ἑκὼν ἤδη τοι ὑπίσχομαι ἀντιάασθαι.
ὣς φάτ' ἀπηλεγέως ὁ δ' ἐσέδρακεν ὄμμαθ' ἑλίξας,
ὥς τε λέων ὑπ' ἄκοντι τετυμμένος, ὅν τ' ἐν ὄρεσι
ἀνέρες ἀμφιπένονται. ὁ δ' ἰλλόμενός περ ὁμίλῳ,
τῶν μὲν ἔτ' οὐκ ἀλέγει. ἐπὶ δ' ὄσσεται οἰόθεν οἶος
ἄνδρα τὸν ὅς μιν ἔτυψε παροίτατος οὐδ' ἐδάμασσεν.
ἔνθ' αὖ Τυνδαρίδης μὲν ἐύστιπτον θέτο φᾶρος
λεπταλέον τό ῥά οἵ τις ἑὸν ξεινήιον εἶναι
ὤπασε Λημνιάδων, ὁ δ' ἐρεμνὴν δίπτυχα λώπην
αὐτῇσι περόνῃσι καλαύροπά τε τρηχεῖαν
κάββαλε. τὴν φορέεσκεν ὀρειτρεφέος κοτίνοιο.
αὐτίκα δ' ἐγγύθι χῶρον ἑαδότα παπτήναντες
ἷζον ἑοὺς δίχα πάντας ἐνὶ ψαμάθοισιν ἑταίρους.
οὐ δέμας οὐδὲ φυὴν ἐναλίγκιοι εἰσοράασθαι.
ἀλλ' ὁ μὲν, ἢ ὀλοοῖο Τυφωέος, ἠὲ καὶ αὐτῆς
Γαίης εἶναι ἔικτο πέλωρ τέκος, οἷα πάροιθεν
χωομένη Διὶ τίκτεν ὁ δ' οὐρανίῳ ἀτάλαντος
ἀστέρι Τυνδαρίδης οὗπερ κάλλισται ἔασιν
ἑσπερίην διὰ νύκτα φαεινομένου ἀμαρυγαί.
τοῖος ἔην Διὸς υἱὸς ἔτι χνοάοντας ἰούλους

ἀντέλ

ἀντέλλων. ἔτι φαιδρὸς ἐν ὄμμασιν. ἀλλά οἱ ἀλκὴ
καὶ μένος ἠΰτε θηρὸς ἀέξετο. πῆλε δὲ χεῖρας
πειράζων εἴθ' ὡς πρὶν ἐϋτρόχαλοι φορέονται,
μηδ' ἄμυδις καμάτῳ τε καὶ εἰρεσίῃ βαρύθοιεν.
οὐ μὰν αὖτ' ἄμυκος πειρήσατο. σῖγα δ' ἄπωθεν
ἑστηὼς εἰς αὐτὸν ἔχ' ὄμματα. καί οἱ ὀρέχθει
θυμὸς ἐελδομένῳ, στηθέων ἐξ αἷμα κεάσαι.
3 Τοῖσι δ' ἐμεσσηγὺς θεράπων ἀμύκοιο λυκωρεὺς
θῆκε πάροιθε ποδῶν δοιοὺς ἑκάτερθεν ἱμάντας.
ὠμοὺς ἀζαλέους πέρι δ' οἵ γ' ἔσαν ἐσκληῶτες.
αὐτὰρ ὁ τόν γ' ἐπέεσσιν ὑπερφιάλοισι μετηύδα.
τῶν δ' ἔτι ὅν κ' ἐθέλῃσθα πάλου ἄτερ ἐγγυαλίξω
αὐτὸς ἑκών. ἵνα μή μοι ἀτέμβηαι μετόπισθεν.
ἀλλὰ βάλευ περὶ χειρί. δαείς δέ κεν ἄλλῳ ἐνίσποις.
ὅσον ἐγὼ ῥινούς τε βοῶν περί τ' εἰμὶ ταμέσθαι
ἀζαλέας, ἀνδρῶν τε παρηίδας αἵματι φύρσαι.
ὣς ἔφατ'. αὐτὰρ ὅ γ' οὔ τι παραβλήδην ἐριδηνεν.
ἦκα δὲ μειδήσας οἵ οἱ παρὰ ποσσὶν ἔκειντο,
τοὺς ἕλεν ἀπροφάτως, τοῦ δ' ἀντίος ἤλυθε κάστωρ.
ἠδὲ βιαντιάδης ταλαὸς μέγας, ὦκα δ' ἱμάντας
ἀμφέδεον μάλα πολλὰ παρηγορέοντες ἐς ἀλκήν.
τῷ δ' αὖ ἄρητός τε καὶ ὄρνυτος. οὐδέ τι ᾔδειν
νήπιοι ὕστατα κεῖνα κακῇ δήσαντες ἐν αἴσῃ.
4 Οἱ δ' ἐπεὶ οὖν ἱμᾶσι διασταδὸν ἠρτύναντο,
αὐτίκ' ἀνασχόμενοι ῥεθέων προπάροιθε βαρείας
χεῖρας ἐπ' ἀλλήλοισι μένος φέρον ἀντιόωντες.
ἔνθα δὲ βεβρύκων μὲν ἄναξ, ἅτε κῦμα θαλάσσης
τρηχὺ θοὴν ἐπὶ νῆα κορύσσεται, ἡ δ' ὑπὸ τυτθὸν

ἱδρείῃ πυκινοῖο κυβερνητῆρος ἀλίσκει
ἱεμένου φορέεσθαι ἔσω τοίχοιο κλύδωνος.
Ὣς ὅγε Τυνδαρίδην φοβέων ἕπετ', οὐδέ μιν εἴα
δηθύνειν. ὁ δ' ἄρ' αἰὲν ἀνούτατος ἣν διὰ μῆτιν
ἀΐσσων ἀλέεινεν, ἀπηνέα δ' αἶψα νόησε
πυγμαχίην ᾗ, κάρτος ἀάατον ἦτε χερείων.
στῆ ῥ' ἄμοτον καὶ χερσὶν ἐναντία χεῖρας ἔμιξεν.
5 Ὡς δ' ὅτε νήϊα δοῦρα θοοῖς ἀντίξοα γόμφοις
ἀνέρες ὑληουργοὶ ἐπιβλήδην ἐλάοντες,
θείνωσι σφύρῃσιν, ἐπ' ἄλλῳ δ' ἄλλος ἄηται
δοῦπος ἄδην, ὣς τοῖσι παρήϊά τ' ἀμφοτέρωθεν
καὶ γένυες κτύπεον. βρυχὴ δ' ὑπετέλλετ' ὀδόντων
ἄσπετος, οὐδ' ἔληξαν ἐπισταδὸν οὐτάζοντες
ἔστε περ οὐλοὸν ἆσθμα καὶ ἀμφοτέρους ἐδάμασε.
στάντε δὲ βαιὸν ἄπωθεν, ἀπωμόρξαντο μετώπῳ
ἱδρῶ. ἅλις καματηρὸν ἀυτμένα φυσιόωντε.
ἂψ δ' αὖτις συνόρουσαν ἐναντίοι ἠύτε ταύρω
φορβάδος ἀμφὶ βοὸς κεκοτηότε δηριάασθον.
ἔνθα δ' ἔπειτ' Ἄμυκος μὲν ἐπ' ἀκροτάτοισιν ἀερθεὶς
βουτύπος οἷα πόδεσσι τανύσσατο. κὰδ δὲ βαρεῖαν
χεῖρ' ἐπὶ οἱ πελέμιξεν. ὁ δ' ἀΐξαντος ὑπέστη
κρᾶτα παρακλίνας. ὤμῳ δ' ἀνεδέξατο πῆχυν
τυτθόν. ὁ δ' ἄγχ' αὐτοῖο παρὲκ γόνυ γουνὸς ἀμείβων
κόψε μεταΐγδην ὑπὲρ οὔατος. ὀστέα δ' εἴσω
ῥῆξεν. ὁ δ' ἀμ' ὀδύνῃ γνὺξ ἤριπεν. οἱ δ' ἰάχησαν
ἥρωες Μινύαι. τοῦ δ' ἀθρόος ἔκχυτο θυμός.
6 Οὐδ' ἄρα Βέβρυκες ἄνδρες ἀφείδησαν βασιλῆος.
ἀλλ' ἅμυδις κορύνας ἀζηχέας, ἠδὲ σιγύννους

ἰθὺς

ἰθὺς ἀνασχόμενοι πολυδεύκεος ἀντιάασκον.
τοῦ δὲ πάροιθε κολεῶν εὐήκεα φάσγαν' ἑταῖροι
ἔσταν ἀρυσσάμενοι. πρῶτός γε μὲν ἀνέρα κάστωρ
ἤλασ' ἐπεσσύμενος κεφαλῆς ὕπερ. ἡ δ' ἑκάτερθεν
ἔνθα κ' ἔνθ' ὤμοισιν ἐπ' ἀμφοτέροισι κεάσθη.
αὐτὸς δ' ἰτυμονῆα πελώριον, ἠδὲ μίμαντα.
τὸν μὲν, ὑπὸ στέρνοιο θοῷ ποδὶ λὰξ ἐπορούσας
πλῆξε, καὶ ἐν κονίῃσι βάλεν. τοῦ δ' ἆσσον ἰόντος
δεξιτερῇ, σκαιῆς ὑπὲρ ὀφρύος ἤλασε χειρί.
δρύψε δέ οἱ βλέφαρον, γυμνὴ δ' ὑπελείπετ' ὀπωπή.
ὠρείδης δ' ἀμύκοιο βίην ὑπέροπλος ὀπάων
οὖτα βιαντιάδαο κατὰ λαπάρην ταλαοῖο.
ἀλλά μιν οὐ κατέπεφνεν. ὅσον δ' ἐπὶ δέρματι μοῦνον
νηδυίων ἄψαυστος ὑπὸ ζώνην θόρε χαλκός.
αὔτως δ' ἄρητος μενεδήιον εὐρύτου υἷα
ἴφιτον ἀζαλέῃ κορύνῃ στυφέλιξεν ἐλάσσας
οὔπω κηρὶ κακῇ πεπρωμένον. ἦ τάχ' ἔμελλεν
αὐτὸς δῃώσεσθαι ὑπὸ ξίφεϊ κλυτίοιο.
καὶ τότ' ἄρ' ἀγκαῖος λυκοόργοιο θρασὺς υἱὸς
αἶψα μέλαν τεταγὼν πέλεκυν μέγαν, ἠδὲ κελαινὸν
ἄρκτου προσχόμενος σκαιῇ δέρος ἔνθορε μέσσῳ,
ἐμμεμαὼς βέβρυξιν. ὁμοῦ δέ οἱ ἐσσεύοντο
αἰακίδαι σὺν δέ σφιν ἀρήιος ὤρνυτ' ἰήσων.
7 ὡς δ' ὅτ' ἐνὶ σταθμοῖσιν ἀπείρονα μῆλ' ἐφόβησαν
ἤματι χειμερίῳ πολιοὶ λύκοι ὁρμηθέντες
λάθρῃ εὐρρίνων τε κυνῶν αὐτῶν τε νομήων,
μαίονται δ' ὅ τι πρῶτον ἐπαΐξαντες ἕλωσι (πῶς
πολλ' ἐπιπαμφαλόωντες ὁμοῦ. τὰ δὲ πάντοθεν αὔ

στείνονται πίπτοντα περὶ σφίσιν, ὣς ἄρα ῥίγη
λευγαλέως Βέβρυκας ὑπερφιάλους ἐφόβησαν.
Ως δὲ μελισσάων σμῆνος μέγα μηλοβοτῆρες
ἠὲ μελισσοκόμοι πέτρῃ ἔνι καπνιόωσιν,
αἱ δή ρι τείως μὲν ἀολλέες ᾧ ἐνὶ σίμβλῳ
βομβηδὸν κλονέονται. ἰθὶ πρὸ δὲ λιγνυόεντι
καπνῷ τυφόμεναι πέτρης ἑκὰς ἀίσσουσιν,
Ως οἵγ' οὐκέτι δὴν μένον ἔμπεδον. ἀλλὰ κέδασθεν
εἴσω Βεβρυκίης, Ἀμύκου μόρον ἀγγελέοντες.
νήπιοι, οὐδ' ἐνόησαν, ὃ δή σφισιν ἐγγύθεν ἄλλο
πῆμ' ἀίδηλον ἔην. πέρθοντο γὰρ ἠμὲν ἀλωαὶ
ἠδ' οἶαι τῆμος δηίῳ ὑπὸ δουρὶ Λύκοιο
καὶ Μαριανδυνῶν ἀνδρῶν, ἀπεόντος ἄνακτος.
αἰεὶ γὰρ μάρναντο σιδηροφόρου περὶ γαίης.
οἱ δ' ἤδη σταθμούς τε καὶ αὔλια δηιάασκον.
ἤδη δ' ἄσπετα μῆλα περιτροπάδην ἐτάμοντο
ἥρωες. καὶ δή τις ἔπος μετὰ τοῖσιν ἔειπεν.
Φράζεσθ' ὅττι κεν ᾗσιν ἀναλκείῃσιν ἔρεξαν
εἴ πως Ἡρακλῆα θεὸς καὶ δεῦρο κόμισσεν.
ἤτοι μὲν γὰρ ἐγὼ κείνου παρεόντος ἔολπα
οὐδ' ἂν πυγμαχίῃ κρινθήμεναι. ἀλλ' ὅτε θεσμοὺς
ἤλυθεν ἐξερέων αὐτοῖς ἄφαρ οἷς ἀγόρευεν
θεσμοῖσιν ῥοπάλῳ μιν ἀγηνορίης λελαθέσθαι.
ναὶ μὲν ἀκήδεστον γαίῃ ἔνι τόν γε λιπόντες
πόντον ἐπέπλωμεν μάλα δ' ἡμέων αὐτὸς ἕκαστος
εἴσεται οὐλομένην ἄτην ἀπάνευθεν ἐόντος.
Ως ἄρ' ἔφη, τὰ δὲ πάντα Διὸς βουλῇσι τέτυκτο,
καὶ τότε μὲν μένον αὖθι διὰ κνέφας, ἕλκεά τ' ἀνδρῶν

οὐτα-

οὐταμένων ἀκέοντο, καὶ ἀθανάτοισι θυηλὰς
ῥέξαντες μέγα δόρπον ἐφώπλισαν, οὐδέ τιν᾽ ὕπνος
εἷλε παρὰ κρητῆρι καὶ αἰθομένοις ἱεροῖσιν.
ξανθὰ δ᾽ ἐρεψάμενοι δάφνῃ καθύπερθε μέτωπα
ἀγχιάλῳ τῇ καὶ τῇ περὶ πρυμνήσι᾽ ἀνῆπτο
ὀρφείῃ φόρμιγγι συνοίμιον ὕμνον ἄειδον
ἐμμελέως, περὶ δέ σφιν ἰαίνετο νήνεμος ἀκτὴ
μελπομένοις, κλεῖον δὲ θεραπναῖον Διὸς υἷα.
ἦμος δ᾽ ἠέλιος δροσερὰς ἐπέλαμψε κολώνας
ἐκ περάτων ἀνιών, ἤγειρε δὲ μηλοβοτῆρας.
δὴ τότε λυσάμενοι νεάτης ἐκ πείσματα δάφνης
ληΐδα τ᾽ εἰσβήσαντες ὅσην χρειὼ ἦεν ἄγεσθαι
πνοιῇ δινήεντ᾽ ἀνὰ βόσπορον ἰθύνοντο.
9 Ενθα μὲν ἠλιβάτῳ ἐναλίγκιον οὔρεϊ κῦμα
ἀμφέρεται προπάροιθεν ἐπαΐσσοντι ἐοικὼς,
αἰὲν ὑπὲρ νεφέων ἠερμένον, οὐδέ κε φαίης
φεύξεσθαι κακὸν οἶτον, ἐπεὶ μάλα μεσσόθι νηὸς
λάβρον ἐπικρέμαται ὑπὲρ νέφεος. ἀλλὰ τόγ᾽ ἔμπης
στόρνυται, εἴ κ᾽ ἐσθλοῖο κυβερνητῆρος ἐπαύρῃ.
τῷ καὶ τίφυος οἵδε δαημοσύνῃσι νέοντο
ἀσκηθεῖς μὲν, ἀτὰρ πεφοβημένοι. ἤματι δ᾽ ἄλλῳ
αὐτιπέρην γαίῃ βιθυνίδι πείσματ᾽ ἀνῆψαν.
ἔνθα δ᾽ ἐπάκτιον οἶκον ἀγηνορίδης ἔχε Φινεύς.
ὃς περὶ δὴ πάντων ὀλοώτατα πήματ᾽ ἀνέτλη
εἵνεκα μαντοσύνης. τήν οἱ πάρος ἐγγυάλιξε
λητοΐδης, οὐδ᾽ ὅσον ὀπίζετο. καὶ Διὸς αὐτοῦ,
χρείων ἀτρεκέως ἱερὸν νόον ἀνθρώποισι.
τῷ καί οἱ γῆρας μὲν ἐπὶ δηναιὸν ἴαλλεν.

ἐκ δ' ἕλετ' ὀφθαλμῶν γλυκερὸν φάος, οὐδὲ γάνυσθαι
εἴα ἀπειρεσίοισιν ὀνείασιν, ὅσσα οἱ αἰεὶ
θέσφατα πευθόμενοι περιναιέται οἴκαδ' ἄγειρον,
ἀλλὰ διὰ νεφέων ἄφνω πέλας ἀίσσουσαι
ἅρπυιαι στόματος χειρῶν τ' ἀπὸ γαμφηλῇσι
συνεχέως ἥρπαζον. ἐλείπετο δ' ἄλλοτε φορβῆς
οὐδ' ὅσον, ἄλλοτε τυτθὸν ἵνα ζωὸ ἀκάχοιτο.
καὶ δ' ἐπὶ μυδαλέην ὀδμὴν χέον. οὐδέ τις ἔτλη
μὴ καὶ λευκανίηνδε φορεύμενος. ἀλλ' ἀποτηλοῦ
ἑστηώς. τοῖόν οἱ ἀπέπνεε λείψανα δαιτός.
10 Αὐτίκα δ' εἰσαΐων ἐνοπὴν καὶ δοῦπον ὁμίλου,
τούσδ' αὐτοὺς παριόντας ἐπήισεν, ὧν οἱ ἰόντων
θέσφατον ἐκ Διὸς ἦεν, ἑῆς ἀπόνασθαι ἐδωδῆς.
ὀρθωθεὶς δ' εὐνῆθεν ἀκήριον ἠύτ' ὄνειρον,
βάκτρῳ σκηπτόμενος, ῥικνοῖς ποσὶν ἦε θύραζε
τοίχους ἀμφαφόων, τρέμε δ' ἅψεα νισσομένοιο
ἀδρανίῃ γήραΐ τε, πίνῳ τε οἱ αὐσταλέος χρὼς
ἐσκλήκει. ῥινοὶ δὲ σὺν ὀστέα μοῦνον ἔεργον,
ἐκ δ' ἐλθὼν μεγάροιο καθέζετο γοῦνα βαρυνθεὶς
οὐδοῦ ἐπ' αὐλίοιο. κάρος δέ μιν ἀμφεκάλυψεν
πορφύρεος. γαῖαν δὲ πέριξ ἐδόκησε φέρεσθαι
νειόθεν. ἀβληχρῷ δ' ἐπὶ κώματι κέκλιτ' ἄναυδος.
οἱ δέ μιν ὡς εἴδοντο, περισταδὸν ἠγερέθοντο.
καὶ τάφον. αὐτὰρ ὁ τοῖσι μάλα μόλις ἐξ ὑπάτοιο
στήθεος ἀμπνεύσας, μετεφώνεε μαντοσύνῃσι.
κλῦτε Πανελλήνων προφερέστατοι, εἰ ἐτεὸν δὴ
οἵδ' ὑμεῖς, οὓς δὴ κρυερῇ βασιλῆος ἐφετμῇ
ἀργῴης ἐπὶ νηὸς ἄγει μετὰ κῶας Ἰήσων.

ὑμεῖς

ὑμεῖς ἀτρεκέως ἔτι μοι νόος οἶδεν ἕκαστα
ἧσι θεοπροπίῃσι. χάριν νύ τοι ὦ ἄνα λητοῦς
υἱὲ καὶ ἀργαλέοισιν ἀνάπτομαι ἐν καμάτοισιν
ἱκεσίου πρὸς ζηνὸς, ὅ τις ῥίγιστος ἀλιτροῖς
ἀνδράσι φοίβου τ' ἀμφὶ καὶ αὐτῆς εἵνεκεν ἥρης
λίσσομαι ἧς πέρι. ἀλλὰ θεῶν μέμβλεσθε κιόντες.
11 χραίσμετέ μοι, ῥύσασθε δυσάμμορον ἀνέρα λύμης,
μὴ δέ μ' ἀκηδείῃσιν ἀφορμηθῆτε λιπόντες
αὔτως. οὐ γὰρ μοῦνον ἐπ' ὀφθαλμοῖσιν ἐριννὺς
λὰξ ἐπέβη. καὶ γῆρας ἀμήρυτον ἐς τέλος ἕλκω.
πρὸς δ' ἔτι πικρότατον κρέμαται κακὸν ἄλλο κακοῖ
ἅρπυιαι στόματός μοι ἀφαρπάζουσιν ἐδωδὴν (σιν.
ἔκποθεν ἀφράστοιο καταΐσσουσαι ὀλέθρου.
ἴσχω δ' οὔτινα μῆτιν ἐπίρροθον. ἀλλά κε ῥεῖα
αὐτὸς ἐμὸν λελάθοιμι νόον, δόρποιο μεμηλὼς,
ἢ κείνας. ὧδ' αἶψα διηέριαι ποτέονται.
τυτθὸν δ' ἢν ἄρα δή ποτ' ἐδητύος ἄμμι λίπωσι,
πνεῖ τόδε μυδαλέον τε καὶ οὐ τλητὸν μένος ὀδμῆς,
οὔ κέ τις οὐδὲ μίνυνθα βροτῶν ἄνσχοιτο πελάσσας,
οὐδ' εἴ οἱ ἀδάμαντος ἐληλάμενον κέαρ εἴη.
12 ἀλλά με πικρὴ δῆτά κε δαὶς ἐπίσχει ἀνάγκη
μίμνειν, καὶ μίμνοντα κακῇ ἐν γαστέρι θέσθαι.
τὰς μὲν θέσφατόν ἐστιν ἐρητῦσαι βορέαο
υἱέας. οὐδ' ὀθνεῖοι ἀλαλκήσουσιν ἐόντες.
εἰ δὴ ἐγὼν ὁ πρίν ποτ' ἐπικλυτὸς ἀνδράσι φινεὺς
ὄλβῳ μαντοσύνῃ τε, πατὴρ δέ μ' ἐγείνατ' ἀγήνωρ.
τῶν δὲ κασιγνήτην ὅτ' ἐνὶ θρήκεσσιν ἄνασσον
κλειοπάτρην ἕδνοισιν ἐμὸν δόμον ἦγον ἄκοιτιν.

ἴσκεν ἀκηνοειδής. αἰνὸν δ' ἕλε κῆδος ἕκαστον
ἡρώων. πέρι δ' αὖτε δύω υἷας βορέαο.
δάκρυ δ' ὀμορξαμένω σχεδὸν ἤλυθον. ὧδε τ' ἔειπε
ζήτης ἀσχαλόωντος ἑλὼν χερὶ χεῖρα γέροντος.
ἆ δεῖλ' οὔ τινά φημι σέθεν στυγερώτερον ἄλλον
ἔμμεναι ἀνθρώπων. τί νύ τοι τόσα κήδε' ἀνῆπται.
3 Ἦ ῥα θεοὺς ὀλοῇσι παρήλιτες ἀφραδίῃσι
μαντοσύνας δεδαώς. τῷ τοι μέγα μηνιόωσιν.
ἄμμι γε μὴν νόος ἔνδον ἀτύζεται ἱεμένοισι
χραισμεῖν. εἰ δὴ πρόχνυ γέρας τόδε πάρθετο δαίμων
νῶϊν. ἀρίζηλοι γὰρ ἐπιχθονίοισιν ἐνιπαὶ
ἀθανάτων. οὐδ' ἂν πρὶν ἐρητύσαιμεν ἰούσας
ἁρπυίας μάλα περ λελιημένοι εὖτ' ἂν ὀμόσσῃς,
μὴ μὲν τοῖο γ' ἕκητι θεοῖς ἀπὸ θυμοῦ ἔσεσθαι.
Ὣς φάτο. τοῦ δ' ἰθὺς κενεὰς ὁ γεραιὸς ἀνέσχε
γλήνας ἀμπετάσας. καὶ ἀμείψατο τοῖσδ' ἐπέεσσι.
σῖγα, μή μοι ταῦτα νόῳ ἔνι βάλλεο τέκνον.
ἴστω λητοῦς υἱός. ὅ με πρόφρων ἐδίδαξε
μαντοσύνας. ἴστω δὲ δυσώνυμος ἥ μ' ἔλαχεν κήρ.
καὶ τόδ' ἐπ' ὀφθαλμῶν ἀλαὸν νέφος οἵ θ' ὑπένερθεν
δαίμονες, οἳ μὴ δ' οἵ δε θανόντι περ εὐμενέοιεν,
ὡς οὔτις θεόθεν χόλος ἔπεται εἵνεκ' ἀρωγῆς.
Τὼ μὲν, ἔπειθ' ὅρκοισιν, ἀλαλκέμεναι μενέαινον.
αἶψα δὲ κουρότεροι πεπονήατο δαῖτα γέροντι
λοίσθιον ἁρπυίῃσιν ἑλώριον, ἐγγύθι δ' ἄμφω,
στῆσαν ἵνα ξιφέεσσιν ἐπεσσυμένας ἐλάσειαν.
καὶ δὴ τὰ πρώτισθ' ὁ γέρων ἔψαυεν ἐδωδῆς,
αἱ δ' ἄφαρ ἠύτ' ἄελλαι ἀδευκέες ἢ στεροπαὶ ὣς

ἃ πρόφαρι νεφέων ἐξάλμεναι ἐσσεύοντο
κλαγγῇ μαιμώωσαι ἐδητύος. οἱ δ᾽ ἐσιδόντες
ἥρωες, μεσσηγὺς ἀνίαχον, αἱ δὲ ἅμ᾽ αὐτῇ
πάντα καταβρώξασαι ὑπὲρ πόντοιο φέροντο.
τῆλε παρέξ. ὀδμὴ δὲ δυσάσχετος αὖθι λέλειπτο.
τάων δ᾽ αὖ κατόπισθε δύω υἷες βορέαο
φάσγαν᾽ ἐπισχόμενοι ὀπίσω θέον. ἐν γάρ οἱ ἧκεν
ζεὺς μένος ἀκάματόν σφιν ἀτὰρ διὸς οὐκ ἂν ἐπέσθην
νόσφιν ἐπὶ ζεφύροιο παραΐσσεσκον ἀέλλας, (αἰὲν
αἰὲν ὅτ᾽ ἐς φινῆα. καὶ ἐκ φινῆος ἴοιεν.

Ὡς δ᾽ ὅτ᾽ ἐνὶ κνημοῖσι κύνες δεδαημένοι ἄγρης
ἢ αἶγας κεραοὺς ἠὲ πρόκας ἰχνεύοντες
θείωσιν. τυτθὸν δὲ τιταινόμενοι μετόπισθεν
ἄκρῃς ἐν γενύεσσι μάτην ἀράβησαν ὀδόντας,
ὣς ζήτης καλαΐς τε μάλα σχεδὸν ἀΐσσοντες,
τάων ἀκροτάτῃσιν ἐπέχραον ἤλιθα χερσὶ
καὶ νύ κε δή σφ᾽ ἀέκητι θεῶν διεδηλήσαντο
πολλὸν ἑκὰς νήσοισιν ἔπι πλωτῇσι κιχόντες,
εἰ μὴ ἄρ᾽ ὠκέα ἶρις ἴδεν, κατὰ δ᾽ αἰθέρος ἆλτο
οὐρανόθεν, καὶ τοῖα παραιφαμένη κατέρυκεν.
οὐ θέμις ὦ υἷες βορέω ξιφέεσσιν ἐλάσσαι
ἁρπυίας μεγάλοιο διὸς κύνας, ὅρκια δ᾽ αὐτὴ
δώσω ἐγών, ὡς οὔ οἱ ἔτι χρίμψουσιν ἰοῦσαι.

Ὡς φαμένη, λοιβὴν στυγὸς ὤμοσεν ἥ τε θεοῖσιν
ῥιγίστη πάντεσσιν ὀπιδνοτάτη τε τέτυκται.
μὴ μὲν ἀγηνορίδαο δόμοις ἔτι τάσδε πελάσσαι
εἰσαῦτις φινῆος. ἐπεὶ καὶ μόρσιμον ἦεν.

Οἱ δ᾽ ὅρκῳ εἴξαντες ὑπέστρεφον ἂψ ἐπὶ νῆα

σεύεσθαι. στροφάδας δὲ μετακλείουσ᾽ ἄνθρωποι
νήσους τοῖό γ᾽ ἕκητι, πάρος πλωτὰς καλέοντες.
ἅρπυιαί τ᾽ ἶρίς τε διέτμαγεν. αἱ μὲν ἔδυσαν
κευθμῶνα κρήτης μινωΐδος. ἡ δ᾽ ἀνόρουσεν
οὔλυμπόνδε θοῇσι μεταχρονίη πτερύγεσσιν.
τόφρα δ᾽ ἀριστῆες πινόεν περὶ δέρμα γέροντος
πάντῃ φοιβήσαντες, ἐπικριδὸν ἱρεύσαντο
μῆλα τά τ᾽ ἐξ ἀμύκοιο λεηλασίης ἐκόμισσαν.
Αὐτὰρ ἐπεὶ μέγα δόρπον ἐνὶ μεγάροισιν ἔθεντο
δαίνυνθ᾽ ἑζόμενοι. σὺν δέ σφισι δαίνυτο φινεὺς
ἁρπαλέως. οἷόν τ᾽ ἐν ὀνείρασι θυμὸν ἰαίνων.
ἔνθα δ᾽ ἐπεὶ δόρποιο κορέσσαντ᾽ ἠδὲ ποτῆτος
παννύχιοι βορέω μένον υἱέας ἐγρήσσοντες.
αὐτὸς δ᾽ ἐν μέσσοισι παρ᾽ ἐσχάρῃ ἧστο γεραιὸς,
πείρατα ναυτιλίης ἐνέπων, ἄνυσίν τε κελεύθου.
κλῦτέ νυν. οὐ μὲν πάντα πέλει θέμις ὔμμι δαῆναι,
ἀτρεκέως. ὅσσα δ᾽ ὄρωρε θεοῖς φίλον οὐκ ἐπικεύσω,
ἀασάμην, καὶ πρόσθε, διὸς νόον ἀφραδίῃσι
χρείων ἑξείης τε καὶ ἐς τέλος. ὧδε γὰρ αὐτὸς
βούλεται ἀνθρώποις ἐπιδευέα θέσφατα φαίνειν
μαντοσύνης, ἵνα καί τι θεῶν χατέωσι νόοιο.
πέτρας μὲν πάμπρωτον ἀφορμηθέντες ἐμοῖο
κυανέας ὄψεσθε δύω ἁλὸς ἐν ξυνοχῇσι
τάων οὔ τινά φημι διαμπερὲς ἐξαλέασθαι.
οὐ γάρ τε ῥίζῃσιν ἐρήρειντ(αι) νεάτῃσι.
ἀλλὰ θαμὰ ξυνίασιν ἐναντίαι ἀλλήλῃσιν
εἰς ἕν. ὕπερθε δὲ πολλὸν ἁλὸς κορθύεται ὕδωρ
βρασσόμενον. στρηνὲς δὲ περὶ στυφελῇ βρέμει ἀκτῇ.

τῷ

τῶ νῦν ἡμετέρῃσι παραιφασίῃσι πίθεσθε
εἰ ἐτεὸν πυκινῷ τε νόῳ, μακάρων τ' ἀλέγοντες
πείρετε. μὴ δ' αὔτως αὐτάγρετον οἶτον ὄλησθε
ἀφραδέως ἰθύνετ' ἐπισπόμενοι νεότητι.
16 Οἰωνῷ δὴ πρόσθε πελειάδι πειρήσασθε
νηὸς ἄπο προμεθέντες ἐφιέμεν. ἢν δὲ δι' αὐτῶν
πετράων πόντονδε σόη πτερύγεσσι δίηται,
μηκέτι δὴν μὴ δ' αὐτοὶ ἐρητύεσθε κελεύθου.
ἀλλ' εὖ καρτύναντες ἑαῖς ἐνὶ χερσὶν ἐρετμά,
τέμνεθ' ἁλὸς στεινωπόν. ἐπεὶ φάος οὔ νύ τι τόσον
ἔσσετ' ἐν εὐχωλῇσιν ὅσον τ' ἐνὶ κάρτεϊ χειρῶν.
τῶ καὶ τἆλλα μεθέντες, ὀνήϊστον πονέεσθε
θαρσαλέως. πρὶν δ' οὔ τι θεοὺς λίσσεσθαι ἐρύκω.
εἰ δέ κεν αὐτικρὺ πταμένη μεσσηγὺς ὄληται,
ἄψορροι στέλλεσθαι. ἐπεὶ πολὺ βέλτερον εἶξαι
ἀθανάτοις. οὐ γάρ κε κακὸν μόρον ἐξαλέασθαι
πετράων. οὐδ' εἴ κε σιδηρείη πέλει ἀργώ.
Ω μέλεοι. μὴ τλῆτε παρὲξ ἐμὰ θέσφατα βῆναι,
εἰ κέν με τρὶς τόσον ὀΐεσθ' οὐρανίδῃσιν
ὅσον ἀνάρσιός εἰμι. καὶ εἰ πλέον στυγέεσθαι.
μὴ τλῆτ' οἰωνοῖο παρὲξ ἔτι νηὶ περῆσαι.
καὶ τὰ μὲν ὥς κε πέλῃ τὼς ἔσσεται. ἢν δὲ φύγητε
σύνδρομα πετράων ἀσκηθέες ἔνδοθι πόντου,
αὐτίκα Βιθυνῶν ἐπὶ δεξιὰ γαῖαν ἔχοντες,
πλώετε ῥηγμῖνας πεφυλαγμένοι. εἰσόκεν αὖτε
ῥήβαν ὠκυρόην ποταμὸν ἀκτήν τε μέλαιναν
γνάμψαντες νήσου Θυνηΐδος ὅρμον ἵκησθε.
17 Κεῖθεν δ' οὐ μάλα πουλὺ δι' ἐξ ἁλὸς ἀντιπέραιαν

γῆν μαριανδυνῶν ἐπικέλσετε νοστήσαντες.
ἔνθα μὲν εἰς ἀΐδαο καταιβάτις ἐστὶ κέλευθος.
ἀκτή τε προβλὴς ἀχερουσιὰς, ὑψόθι τείνει.
δινήεις τ' ἀχέρων αὐτὴν διανειόθι τέμνων
ἄκρης ἐκ μεγάλης προχοὰς ἵησι φάραγγος.
ἀγχίμαλον δ' ἐπὶ τῇ πολέας παρανεῖσθε κολώνους
παφλαγόνων. τοῖσιν τ' ἐνετήϊος ἐμβασίλευσε
πρῶτα πέλοψ. τοῦ καί περ ἀφ' αἵματος εὐχετόωνται.

18 Ἔστι δέ τις ἄκρη ἑλίκης κατ' ἐναντίον ἄρκτου,
πάντοθεν ἠλίβατος καί μιν καλέουσι κάραμβιν.
τῆς κεν ὕπερ βορέαο περισχίζονται ἄελλαι.
ὧδε μάλ' ἀμ πέλαγος τετραμμένη αἰθέρι κύρει.
τὴν δὲ περιγνάμψαντι, πολὺς παρακέκλιται ἤδη
αἰγιαλός. πολέος δ' ἐπὶ πείρασιν αἰγιαλοῖο
ἀκτῇ ἐπὶ προβλῆτι ῥοαὶ ἅλυος ποταμοῖο
δεινὸν ἐρεύγονται μετὰ τὸν δ' ἀγχίρροος ἶρις
μειότερος λευκῇσιν ἑλίσσεται εἰς ἅλα δίναις.
κεῖθεν δὲ προτέρωσε μέγας καὶ ὑπείροχος ἀγκὼν
ἐξανέχει γαίης. ἐπὶ δὲ στόμα θερμώδοντος
κόλπῳ ἐν εὐδιόωντι θεμισκύρειον ὑπ' ἄκρην
μύρεται. εὐρείης διαειμένος ἠπείροιο.

19 Ἐνθάδε δοίαντος πεδίον. σχεδόθεν δὲ πόληες
τρισσαὶ ἀμαζονίδων. μετά τε σμυγερώτατοι ἀνδρῶν
τρηχεῖαν χάλυβες καὶ ἀτειρέα γαῖαν ἔχουσιν
ἐργατίναι. τοὶ δ' ἀμφὶ σιδήρεα ἔργα μέλονται.
ἄγχι δὲ ναιετάουσι πολύρρηνες τιβαρηνοὶ
ζηνὸς εὐξείνοιο γενηταίην ὑπὲρ ἄκρην.
τῇ δ' ἐπι μοσσύνοικοι ὁμούριοι ὑλήεσσαν

ἐξείης

ἑξείης ἤπειρον ἐπωρείας τε νέμονται.
δουρατέοις πύργοισιν ἐν οἰκία τεκτήναντες
κάλλινα, καὶ πύργους εὐπηγέας, οὓς καλέουσι
μόσσυνας. καὶ δ' αὐτοὶ ἐπώνυμοι ἔνθεν ἔασιν.
τοὺς παραμειβόμενοι λισσῇ ἐπικέλσετε νήσῳ
μήτι παντοίῃ μέγ' ἀναιδείας ἐξελάσαντες
οἰωνοὺς, οἳ δῆθεν ἀπειρέσιοι ἐφέπουσιν
νῆσον ἐρημαίην. τῇ μέν τ' ἐνὶ νηὸν ἄρηος
λαΐνεον ποίησαν ἀμαζονίδων βασίλειαι
ὀτρηρή τε καὶ ἀντιόπη, ὁπότε στρατόωντο.
ἔνθα γὰρ ὔμμιν ὄνειαρ, ἀδευκέος ἐξ ἁλὸς εἶσιν
ἄρρητον. τῶ καί τε φίλα φρονέων ἀγορεύω
ἰσχέμεν. ἀλλὰ τίη με πάλιν χρειὼ ἀλιτέσθαι
μαντοσύνῃ τὰ ἕκαστα διηνεκέως ἐνέποντα.
Νήσου δὲ προτέρωσε καὶ ἠπείροιο περαίης
φέρβονται φίλυρες. φιλύρων δ' ἐξ ὑπὲρ εἰσὶ
μάκρωνες. μετὰ δ' αὖ περιώσια φῦλα βεχείρων.
ἑξείης δὲ σάπειρες ἐπὶ σφίσι ναιετάουσι.
βύζηρες δ' ἐπὶ τοῖσιν ὁμώλακες. ὧν ὕπερ ἤδη
αὐτοὶ κόλχοι ἔχονται ἀρήϊοι. ἀλλ' ἐνὶ νηὶ
πείρεθ', ἕως μυχάτῃ κεν ἐνιχρίμψητε θαλάσσῃ.
ἔνθα δ' ἐπ' ἠπείροιο κυταΐδος, ἠδ' ἀμαραντῶν
τηλόθεν ἐξ ὀρέων πεδίοιό τε κιρκαίοιο
φᾶσις δινήεις εὐρὺν ῥόον εἰς ἅλα βάλλει.
κείνου νῆ' ἐλάοντες ἐπὶ προχοὰς ποταμοῖο
πύργους εἰσόψεσθε κυταιέος αἰήταο.
ἄλσος τε σκιόεν ἄρεος. τόθι κῶας ἐπ' ἄκρης
πεπτάμενον φηγοῖο δράκων τέρας αἰνὸν ἰδέσθαι

ἀμφὶς ὀπιπτεύει δεδοκημένος. οὐδέ οἱ ἦμαρ
οὐ κνέφας ἥδυμος ὕπνος ἀναιδέα δάμναται ὄσσε.
Ὣς ἄρ' ἔφη. τοὺς δ' εἶθαρ ἕλεν δέος εἰσαΐοντας.
δὴν δ' ἔσαν ἀμφασίῃ βεβολημένοι. ὀψὲ δ' ἔειπεν
ἥρως αἴσονος υἱὸς ἀμηχανέων κακότητι.
Ὦ γέρον. ἤδη μέν τε διίκεο πείρατ' ἀέθλων
ναυτιλίης. καὶ τέκμαρ ὅτῳ στυγερὰς διὰ πέτρας
πειθόμενοι πόντονδε περήσομεν. εἰ δέ κεν αὖτις
τάσδ' ἡμῖν προφυγοῦσιν ἐς ἑλλάδα νόστος ὀπίσσω
ἔσσεται, ἀσπασίως κε παρὰ σέο καὶ τὸ δαείην.
πῶς ἔρδω. πῶς αὖτε τόσην ἁλὸς εἶμι κέλευθον.
νῆις ἐὼν, ἑτάροις ἅμα νήισιν. αἶα δὲ κολχὶς
πόντου καὶ γαίης ἐπικέκλιται ἐσχατιῇσιν.
Ὣς φάτο. τὸν δ' ὁ γεραιὸς ἀμειβόμενος προσέειπεν
ὦ τέκος. εὖτ' ἂν πρῶτα φύγῃς ὀλοὰς διὰ πέτρας.
θάρσει. ἐπεὶ δαίμων ἕτερον πλόον ἡγεμονεύσει
ἐξ αἴης. μετὰ δ' αἶαν ἅλις πομπῆες ἔσονται.
21 Ἀλλὰ φίλοι φράζεσθε θεᾶς δολόεσσαν ἀρωγὴν
κύπριδος. ἐκ γὰρ τῆς κλυτὰ πείρατα κεῖται ἀέθλων.
καὶ δέ με μηκέτι τῶνδε περαιτέρω ἐξερέεσθε.
Ὣς φάτ' ἀγηνορίδης. ἐπὶ δὲ σχεδὸν υἷες δοιὼ
θρηικίου βορέαο κατ' αἰθέρος ἀΐξαντε,
οὐδῷ ἔπι κραιπνοὺς ἔβαλον πόδας. οἱ δ' ἀνόρουσαν
ἐξ ἑδέων ἥρωες, ὅπως παρεόντας ἴδοντο.
ζήτης δ' ἱεμένοισιν ἔτ' ἄσπετον ἐκ καμάτοιο
ἆσθμ' ἀναφυσιόων, μετεφώνεεν ὅσσον ἄπωθεν
ἤλασαν. ἠδ' ὡς ἶρις ἐρύκακε τάσδε δαΐξαι.
ὅρκια τ' εὐμενέουσα θεὰ πόρεν. αἱ δ' ὑπέδυσαν

δείμα

δείματι δικταίης ὑπολιώσπον ἄντρον ἐρίπνης.
γηθόσυνοι δ' ἤπειτα δόμοις ἔνι πάντες ἑταῖροι
αὐτός τ' ἀγγελίῃ φινεὺς πέλεν. ὦκα δὲ τόν γε
αἰσονίδης περὶ πολλὸν, ἐυφρονέων προσέειπεν.
22 Η ἄρα δή τις ἔην φινεῦ θεὸς, ὃς σέθεν ἄτης
κήδετο λευγαλέης, καὶ δ' ἡμέας αὐτόθι πέλασσεν
τηλόθεν, ὄφρα τοι υἷες ἀμύνειαν βορέαο.
εἰ δὲ καὶ ὀφθαλμοῖσι φόως πόροι. ἦ τ' ἂν ὀίω
γηθήσειν. ὅσον εἴ περ ὑπότροπος οἴκαδ' ἱκοίμην.
Ως ἔφατ'. αὐτὰρ ὁ τόν γε κατηφήσας προσέειπεν.
αἰσονίδη, τὸ μὲν, οὐ παλινάγρετον. οὐδέ τι μῆχος
ἐς ὀπίσω κενεαὶ γὰρ ὑποσμύχονται ὀπωπαί.
ἀντὶ δὲ τοῦ θάνατόν μοι ἄφαρ θεὸς ἐγγυαλίξαι
καί τε θανὼν πάσῃσι μετέσσομαι ἀγλαΐῃσιν.
Ως τώ γ' ἀλλήλοισι παραβλήδην ἀγόρευον.
αὐτίκα δ' οὐ μετὰ δηρὸν ἀμειβομένων ἐφάανθη
ἠριγενής. τὸν δ' ἀμφὶ περικτίται ἠγερέθοντο
ἀνέρες. οἳ καὶ πρόσθεν ἐπ' ἤματι κεῖσε θάμιζον
αἰὲν ὁμῶς φορέοντες ἑῆς ἀπὸ μοῖραν ἐδωδῆς.
τοῖς ὁ γέρων πάντεσσιν ὅτις καὶ ἀφαυρὸς ἵκοιτο
ἔχραεν ἐνδυκέως. πολέων δ' ἀπὸ πήματ' ἔλυσεν
μαντοσύνῃ. τῷ καί μιν ἐπιχόμενοι κομέεσκον.
σὺν τοῖσι δ' ἵκανε παραίβιος. ὅς ῥά οἱ ἦεν
φίλτατος. ἀσπάσιος δὲ δόμοις ἔνι τούς γ' ἐνόησεν.
πρὶν γὰρ δή ποτ' αὐτὸς ἀριστήων στόλον ἀνδρῶν
ἑλλάδος ἐξανιόντα μετὰ πτόλιν αἰήταο
πείσματ' ἀνάψασθαι μυθήσατο θυνιάδι γαίῃ.
οἵ τέ οἱ ἁρπυίας διόθεν σχήσοιεν ἰούσας

τοὺς μὲν ἔπειτ' ἐπέεσσιν ἀρεσσάμενος πυκινοῖσι
πέμψ' ὁ γέρων. οἶον δὲ παραίβιον αὐτόθι μίμνειν
κέκλετ' ἀριστήεσσι σὺν ἀνδράσιν. αἶψα δὲ τόνγε
σφωιτέρων ὀίων ὅτις ἔξοχος εἰς ἓ κομίσαι
ἧκεν ἐποτρύνας. τοῦ δ' ἐκ μεγάροιο κιόντος,
μειλιχίως ἐρέτησιν ὁμηγερέεσσι μετηύδα.
Ὦ φίλοι, οὐκ ἄρα πάντες ὑπέρβιοι ἀνδρῶν ἔασιν,
οὐδ' εὐεργεσίης ἀμνήμονες. ὡς καὶ ὅδ' ἀνὴρ
τοῖος ἐὼν δεῦρ' ἦλθεν ἑὸν μόρον ὄφρα δαείη.
23 εὖτε γὰρ οὖν ὡς πλεῖστα κάμοι καὶ πλεῖστα μογήσαι
δὴ τότε μιν περιπολλὸν ἐπασσυτέρη βιότοιο
χρησμοσύνη τρύχεσκεν. ἐπ' ἤματι δ' ἦμαρ ὀρώρει
κύντερον. οὐδέ τις ἦεν ἀνάπνευσις μογέοντι.
ἀλλ' ὅγε πατρὸς ἑοῖο κακὴν τίνεσκεν ἀμοιβὴν
ἀμπλακίης. ὁ γὰρ οἶος ἐν οὔρεσι δένδρεα τέμνων
δή ποτ' ἀμαδρυάδος νύμφης ἀθέριξε λιτάων,
ἥ μιν ὀδυρομένη ἀδινῷ μειλίσσετο μύθῳ.
μὴ ταμέειν πρέμνον δρυὸς ἥλικος. ᾗ ἔπι πουλὺν
αἰῶνα τρίβεσκε διηνεκές. αὐτὰρ ὁ τήνγε
ἀφραδέως ἔτμηξεν, ἀπηνοίῃ νεότητος.
τῷ δ' ἄρα νηκερδῆ νύμφη πόρεν οἶτον ὀπίσσω
αὐτῷ καὶ τεκέεσσιν. ἔγωγε μὲν εὖτ' ἀφίκανεν
ἀμπλακίην ἔγνων. βωμὸν δ' ἐκέλευσα καμόντα
Θυνιάδος νύμφης, λωφήϊα ῥέξαι ἐπ' αὐτῷ
ἱρὰ πατρῴων αἰτεύμενον αἶσαν ἀλύξαι.
ἔνθ' ἐπεὶ ἔκφυγε κῆρα θεήλατον. οὔποτ' ἐμεῖο
ἐκλάθετ' οὐδ' ἀθέριξε, μόλις δ' ἀέκοντα θύραζε
πέμπω. ἐπεὶ μέμονέν γε παρέμμεναι ἀσχαλόωντι.

Ὣς φάτ' ἀγηνορίδης. ὁ δ' ἐπισχεδὸν αὐτίκα δοιὼ
ἤλυθ' ἄγων ποίμνηθεν ὄϊς. ἀνὰ δ' ἵστατ' ἰήσων
ἂν δὲ βορήϊοι υἷες ἐφημοσύνῃσι γέροντος.
ὦκα δὲ κεκλόμενοι μαντήϊον ἀπόλλωνα
ῥέζον ἐπ' ἐσχαρόφιν νέον ἤματος ἀνομένοιο.
κουρότεροι δ' ἑτάρων μενοεικέα δαῖτ' ἀλέγυνον.
ἔνθ' εὖ δαισάμενοι. τοὶ μὲν παρὰ πείσμασι νηός.
τοὶ δ' αὖτε κατὰ δώματ' ἀολλέες εὐνάζοντο.
24 Ηρι δ' ἐτήσιοι αὖραι ἐπέχραον. αἵ τ' ἀνὰ πᾶσαν
γαῖαν ὁμῶς τοιῇδε διὸς πνείουσιν ἀρωγῇ.
κυρήνη πέφαταί τις. ἕλος παρὰ πηνειοῖο
μῆλα νέμειν προτέροισι παρ' ἀνδράσιν, εὔαδε γάρ οἱ
παρθενίη καὶ λέκτρον ἀκήρατον. αὐτὰρ ἀπόλλων
τήν γ' ἀνερειψάμενος ποταμῷ ἔπι ποιμαίνουσαν
τηλόθεν αἱμονίης. χθονίης παρακάτθετο νύμφαις.
αἳ λιβύην ἐνέμοντο παραὶ μυρτώσιον αἶπος.
ἔνθα δ' ἀρισταῖον φοίβῳ τέκεν. ὃν καλέουσιν
ἀγρέα καὶ νόμιον πολυλήϊοι αἱμονιῆες.
τὴν μὲν γὰρ φιλότητι θεὸς ποιήσατο νύμφην
αὐτοῦ μακραίωνα καὶ ἀγρότιν. υἷα δ' ἔνεικε
νηπίαχον χείρωνος ὑπ' ἄντροισιν κομέεσθαι.
τῷ καὶ ἀεξηθέντι θεαὶ γάμον ἐμνήστευσαν
μοῦσαι ἀκεστορίην τε, θεοπροπίας τ' ἐδίδαξαν.
καί μιν ἑῶν μήλων θέσαν ἤρανον. ὅσσ' ἐνέμοντο
ἂμ πεδίον φθίης ἀθαμάντιον. ἀμφί τ' ἐρυμνὴν
ὄθρυν καὶ ποταμοῦ ἱερὸν ῥόον ἀπιδανοῖο.
25 Ημος δ' οὐρανόθεν μινωΐδας ἔφλεγε νήσους
σείριος, οὐδ' ἐπὶ δηρὸν ἔην ἄκος ἐνναέτῃσιν.

τιμῆς τόν γ' ἐκάλεσσαν ἐφημοσύνῃς ἑκάτοιο
λοιμοῦ ἀλεξητῆρα. λίπεν δ' ὅγε πατρὸς ἐφετμῇ
φθίην. ἐν δὲ κέῳ κατενάσσατο λαὸν ἀγείρας
παῤῥάσιον. τοί περ τε λυκάονός εἰσι γενέθλης,
καὶ βωμὸν ποίησε μέγαν διὸς ἰκμαίοιο.
ἱερά τ' εὖ ἔρρεξεν ἐν οὔρεσιν ἀστέρι κείνῳ
σειρίῳ αὐτῷ τε κρονίδῃ διί, τοῖο δ' ἕκητι
γαῖαν ἐπιψύχουσιν ἐτήσιαι ἐκ διὸς αὖραι
ἤματα τεσσαράκοντα. κέῳ δ' ἔτι νῦν ἱερῆες
ἀντολέων προπάροιθε κυνὸς ῥέζουσι θυηλάς,
καὶ τὰ μὲν ὡς ὑδέονται. ἀριστῆες δὲ κατ' αὖθι
μίμνον ἐρυκόμενοι. ξεινήια δ' ἄσπετα θυνοὶ
πᾶν δ' ἦμαρ φινῆι χαριζόμενοι προΐαλλον.
ἐκ δὲ τόθεν μακάρεσσι δυώδεκα δωμήσαντες
βωμὸν ἁλὸς ῥηγμῖνι πέρην καὶ ἐφ' ἱερὰ θέντες
νῆα θοὴν εἴσβαινον ἐρεσσέμεν. οὐδὲ πελείης
τρήρωνος λήθοντο μετὰ σφίσιν. ἀλλ' ἄρα τήν γε
δείματι πεπτηυῖαν ἑῇ φέρε χειρὶ μεμαρπὼς
εὔφημος. γαίης δ' ἀπὸ διπλόα πείσματ' ἔλυσαν.
οὐδ' ἄρ' ἀθηναίην προτέρω λάθον ὁρμηθέντες.
αὐτίκα δ' ἐσσυμένως νεφέλης ἐπιβᾶσα πόδεσσι
κούφης, ἥ κε φέροι μιν, ἄφαρ βριαρήν περ ἐοῦσαν.
σεύατ' ἴμεν πόντονδε φίλα φρονέουσ' ἐρέτῃσιν,
46 Ὡς δ' ὅτε τίς πάτρηθεν ἀλώμενος, οἷά τε πολλὰ
πλαζόμεθ' ἄνθρωποι τετληότες. οὐδέ τις αἶα
τηλουρός. πᾶσαι δὲ κατόψιοί εἰσι κέλευθοι.
σφωιτέρους δ' ἐνόησε δόμους. ἄμυδις δὲ κέλευθος
ὑγρή τε τραφερή τ' ἰνδάλλεται. ἄλλοτε δ' ἄλλῃ.

ὀξέα πορφύρων ἐπιμαίετ' ὀφθαλμοῖσιν.
Ω ὣς ἄρα καρπαλίμως κούρη Διὸς ἀΐξασα,
θῆκεν ἐπ' ἀξείνοιο πόδας θυνηΐδος ἀκτῆς.
οἱ δ' ὅτε δὴ σκολιοῖο πόρου στεινωπὸν ἵκοντο
τρηχείῃς σπιλάδεσσιν ἐεργμένον ἀμφοτέρωθεν,
δινήεις δ' ὑπένερθεν ἀνακλύζεσκεν ἰοῦσαν
νῆα ῥόος. πολλὸν δὲ φόβῳ προτέρωσε νέοντο.
ἤδη δέ σφισι δοῦπος ἀρασσομένων πετράων
νωλεμὲς οὔατ' ἔβαλλε. βόων δ' ἁλιμυρέες ἀκταί.
δὴ τότ' ἔπειθ' ὁ μὲν ὦρτο πελειάδα χειρὶ μεμαρπὼς
εὔφημος πρῴρης ἐπιβήμεναι. οἱ δ' ὑπ' ἀνωγῇ
τίφυος ἀγνιάδαο θελήμονα ποιήσαντο
εἰρεσίην. ἵν' ἔπειτα διὲκ πέτρας ἐλάσειαν
κάρτεϊ ᾧ πίσυνοι. τὰς δ' αὐτίκα λοίσθιον ἄλλων
οἰγομένας, ἀγκῶνα περιγνάμψαντες ἴδοντο.
σὺν δέ σφιν χύτο θυμός. ὁ δ' ἀΐξαι πτερύγεσσιν
εὔφημος προέηκε πελειάδα. τοὶ δ' ἅμα πάντες
ἤειραν κεφαλὰς ἐσορώμενοι. ἡ δὲ δι' αὐτῶν
ἔπτατο. ταὶ δ' ἄμυδις πάλιν ἀντίαι ἀλλήλῃσιν
ἄμφω ὁμοῦ ξυνιοῦσαι ἐπέκτυπον. ὦρτο δὲ πολλὴ
ἅλμη ἀναβρασθεῖσα νέφος ὥς. αὖε δὲ πόντος
σμερδαλέον. πάντῃ δὲ περὶ μέγας ἔβρεμεν αἰθήρ.
κοῖλαι δὲ σπήλυγγες ὑπὸ σπιλάδας τρηχείας
κλυζούσης ἁλὸς ἔνδον ἐβόμβεον. ὑψόθι δ' ὄχθης
λευκὴ καχλάζοντος ἀνέπτυε κύματος ἄχνη.
27 Νῆα δ' ἔπειτα πέριξ εἴλει ῥόος. ἄκρα δ' ἔκοψαν
οὐραῖα πτερὰ τοί γε πελειάδος. ἡ δ' ἀπόρουσεν
ἀσκηθής. ἐρέται δὲ μέγ' ἴαχον. ἔβραχε δ' αὐτὸς

τῖφυς ἐρεσσέμεναι κρατερῶς. οἴγοντο γὰρ αὖθις
ἄνδιχα, τοὺς δ' ἐλάοντας ἔχεν τρόμος, ὄφρα μιν αὖθις
πλημμυρὶς παλίνορσος ἀνερχομένη κατένεικεν
εἴσω πετράων. τότε δ' αἰνότατον δέος εἷλε
πάντας. ὑπὲρ κεφαλῆς γὰρ ἀμήχανος ἦεν ὄλεθρος.
ἤδη δ' ἔνθα καὶ ἔνθα διαπλατὺς εἴδετο πόντος.
καί σφιν ἀπροφάτως ἀνέδυ μέγα κῦμα πάροιθεν,
κυρτὸν ἀποτμήγι σκοπιῇ ἴσον. οἱ δ' ἐσιδόντες
ἤμυσαν λοξοῖσι καρήασιν. εἴσατο γάρ ῥα
νηὸς ὑπὲρ πάσης κατεπάλμενον ἀμφικαλύψειν.
ἀλλά μιν ἔφθη τῖφυς ὑπ' εἰρεσίῃ βαρύθουσαν
ἀγχαλάσας, τὸ δὲ πολλὸν ὑπὸ τρόπιν ἐξεκυλίσθη.
28 Ἐκ δ' αὐτὴν πρύμνηθεν ἀνείρυσε τηλόθι νῆα
πετράων. ὑψοῦ δὲ μεταχρονίη πεφόρητο.
εὔφημος δ' ἀνὰ πάντας ἰὼν βοάασκεν ἑταίρους
ἐμβαλέειν κώπῃσιν ὅσον σθένος. οἱ δ' ἀλαλητῷ
κόπτον ὕδωρ. ὅσον δ' ἂν ὑπείκαθε νηῦς ἐρέτῃσι,
δὶς τόσον ἂψ ἀπόρουσεν. ἐπεγνάμπτοντο δὲ κῶπαι
ἠύτε καμπύλα τόξα βιαζομένων ἡρώων.
ἔνθεν δ' αὐτίκ' ἔπειτα κατηρεφὲς ἔσσυτο κῦμα.
ἡ δ' ἄφαρ ὥς τε κύλινδρος ἐπέτρεχε κύματι λαύρῳ
προπροκαταΐγδην κοίλης ἁλός, ἐν δ' ἄρα μέσσαις
πληγάσι, δινήεις εἶχεν ῥόος. αἱ δ' ἑκάτερθε
σειόμεναι βρόμεον. πεπέδητο δὲ νήια δοῦρα.
καὶ τότ' ἀθηναίη στιβαρῆς ἀντέσπασε πέτρης
σκαιῇ. δεξιτερῇ δὲ διαμπερὲς ὦσε φέρεσθαι.
ἡ δ' ἰκέλη πτερόεντι μετήορος ἔσσυτ' ὀϊστῷ.
ἔμπης δ' ἀφλάστοιο παρέθρισαν ἄκρα κόρυμβα

νωλε

νωλεμὲς ἐμπλήξασαι ἐναντίαι. αὐτὰρ ἀθήνη
οὔλυμπόνδ' ἀνόρουσεν, ὅτ' ἀσκηθεῖς ὑπάλυξαν.
πέτραι δ' εἰς ἕνα χῶρον ἐπισχεδὸν ἀλλήλῃσι
νωλεμὲς ἐρρίζωθεν. ὃ δὴ καὶ μόρσιμον ἦεν
ἐκ μακάρων, εὖτ' ἄν τις ἰδὼν διὰ νηὶ περάσῃ.
οἱ δέ που ὀκρυόεντος ἀνέπνεον ἄρτι φόβοιο
ἠέρα παπταίνοντες ὁμοῦ πέλαγός τε θαλάσσης
τῆλ' ἀναπεπτάμενον. δὴ γὰρ φάσαν ἐξ ἀίδαο
σώεσθαι. τῖφυς δὲ παροίτατος ἤρχετο μύθων.
79 ἔλπομαι αὐτῇ νηὶ τό γ' ἔμπεδον ἐξαλέασθαι
ἡμέας. οὐδέ τις ἄλλος ἐπαίτιος ὅσσον ἀθήνη,
ἥ οἱ ἐνέπνευσεν θεῖον μένος εὖτέ μιν ἄργος
γόμφοισιν συνάρασσε. θέμις δ' οὐκ ἔστιν ἁλῶναι
αἰσονίδη τύνη δὲ τεοῦ βασιλῆος ἐφετμὴν
εὖτε δὴ ἐκ πετρῶν φυγέειν θεὸς ἧμιν ὄπασεν
μηκέτι δείδιθ' ὅμως. ἐπεὶ μετόπισθεν ἀέθλους
εὐπαλέας τελέεσθαι ἀγηνορίδης φάτο φινεύς.
ἦ ῥ' ἅμα καὶ προτέρωσε παραὶ βιθυνίδα γαῖαν
νῆα διὲκ πελάγευς σεῦεν μέσον. αὐτὰρ ὁ τόνγε
μειλιχίοις ἐπέεσσιν ἀμειβόμενος προσέειπεν.
τῖφυ, τί μοι τάδε ταῦτα παρηγορέεις ἀχέοντι
ἤμβροτον, ἀασάμην τε, κακὴν καὶ ἀμήχανον ἄτην
χρῆν γὰρ ἐφιεμένοιο κατ' ἀντικρὺ πελίαο
αὐτίκ' ἀνήνασθαι τόνδε στόλον, εἰ καὶ ἔμελλον
νηλειῶς μελεϊστὶ κεδαιόμενος θανέεσθαι.
νῦν δὲ περισσὸν δεῖμα καὶ ἀτλήτους μελεδῶνας
ἔγκειμαι. στυγέων μὲν ἁλὸς κρυόεντα κέλευθα
νηὶ διαπλώειν, στυγέων δ' ὅτ' ἐπ' ἠπείροιο

βαίνωμεν. πάντῃ γὰρ ἀνάρσιοι ἄνδρες ἔασιν.
30 Αἰεὶ δὲ στονόεσσαν ἐπ' ἤματι νύκτα φυλάσσω.
ἐξότε δὴ πρώτιστον ἐμὴν χάριν ἠγερέθεσθε,
φραζόμενοι τὰ ἕκαστα. σὺ δ' εὐμαρέως ἀγορεύεις
οἷον ἑῆς ψυχῆς ἀλέγων ὕπερ. αὐτὰρ ἔγωγε
εἷο μὲν οὐδ' ἠβαιὸν ἀτύζομαι. ἀμφὶ δὲ τοῖο
καὶ τοῦ ὁμοῦ καὶ σεῖο, καὶ ἄλλων δείδι' ἑταίρων,
εἰ μὴ ἐς ἑλλάδα γαῖαν ἀπήμονας ἄμμε κομίσσω.
Ὣς φάτ' ἀριστήων πειρώμενος. οἳ δ' ὁμάδησαν
θαρσαλέοις ἐπέεσσιν. ὁ δὲ φρένας ἔνδον ἰάνθη
κεκλομένων. καί ῥ' αὖτις ἐπιρρήδην μετέειπεν.
ὦ φίλοι ὑμετέρῃ ἀρετῇ ἔνι θάρσος ἀέξω.
τοὔνεκα νῦν οὐδ' εἴ κε δι' ἐξ ἀΐδαο βερέθρων
στελλοίμην, ἔτι τάρβος ἀνάψομαι. εὖτε πέλεσθε
ἔμπεδοι ἀργαλέοις ἐνὶ δείμασιν. ἀλλ' ὅτε πέτρας
πληγάδας ἐξέπλωομεν. ὀίομαι οὐκ ἔτ' ὀπίσσω
ἔσσεσθαι τοῖον δ' ἕτερον φόβον. εἰ ἐτεόν γε
φραδμοσύνῃ φινῆος ὑποσπόμενοι νεόμεσθα.
Ὣς φάτο, καὶ τοίων μὲν ἐλώφεον αὐτίκα μύθων.
εἰρεσίῃ δ' ἀλίαστον ἔχον πόνον. αἶψα δὲ τοί γε
ῥήβαν ὠκυρόην ποταμὸν σκόπελόν τε κολώνης.
ἄκρην δ' οὐ μετὰ δηθὰ παρεξενέοντο μέλαιναν.
31 Τῇ δ' ἄρ' ἔπι προχοὰς φυλληίδας. ἔνθα πάροιθε
διψακὸς υἷ' ἀθάμαντος ἑοῖς ὑπεδέκτο δόμοισιν,
ὁππόθ' ἅμα κριῷ φεῦγεν πόλιν ὀρχομενοῖο.
τίκτε δέ μιν νύμφη λεμωνιάς, οὐδέ οἱ ὕβρις
ἥνδανεν. ἀλλ' ἐθελημὸς ἐφ' ὕδασι πατρὸς ἑοῖο
μητέρι συνναίεσκεν ἐπάκτια πώεα φέρβων.

τοῦ μὲν

τῷ μὲν θ' ἱερὸν αἶψα καὶ εὐρείας ποταμοῖο
ἠιόνας πεδίον τε. βαθυρρείοντά τε κάλπην
δερκόμενοι παράμειβον. ὁμῶς δ' ἐπὶ ἤματι νύκτα
νήνεμον ἀκαμάτῃσιν ἐπερρώοντ' ἐλάτῃσιν.
οἷον δὲ πλαδόωσαν ἐπισχίζοντες ἄρουραν
ἐργατίναι μογέουσι βόες, περὶ δ' ἄσπετος ἱδρὼς
εἴβεται ἐκ λαγόνων τε καὶ αὐχένος. ὄμματα δέ σφι
λοξὰ παραστρωφῶνται ὑπὸ ζυγοῦ. αὐτὰρ ἀυτμὴ
αὐαλέη στομάτων ἄμοτον βρέμει. οἱ δ' ἐνὶ γαίῃ
χηλὰς σκηρίπτοντε πανημέριοι πονέονται.
τοῖς ἴκελοι ἥρωες ὑπὲξ ἁλὸς εἷλκον ἐρετμά.
Η ἦμος δ' οὔτ' ἄρ πω φάος ἄμβροτον οὔτ' ἔτι λίην
ὀρφναίη πέλεται. λεπτὸν δ' ἐπιδέδρομε νυκτὶ
φέγγος ὅτ' ἀμφιλύκην μιν ἀνεγρόμενοι καλέουσι.
52 Τῆμος ἐρημαίης νήσου λιμέν' εἰσελάσαντες
θυνιάδος καμάτῳ πολυπήμονι βαῖνον ἔραζε.
Ι Τοῖσι δὲ λητοῦς υἱὸς ἀνερχόμενος λυκίηθεν
τῆλ' ἐπ' ἀπείρονα δῆμον ὑπερβορέων ἀνθρώπων
ἐξεφάνη. χρύσεοι δὲ παρειάων ἑκάτερθε
πλοχμοὶ βοτρυόεντες ἐπερρώοντο κιόντι.
λαιῇ δ' ἀργύρεον νώμα βιόν. ἀμφὶ δὲ νώτοις
ἰοδόκη τετάνυστο κατωμαδόν. ἡ δ' ὑπὸ ποσσὶ
σείετο νῆσος ὅλη. κλύζεν δ' ἐπὶ κύματα χέρσῳ.
τοὺς δ' ἕλε θάμβος ἰδόντας ἀμήχανον. οὐδέ τις ἔτλη
ἀντίον αὐγάσσασθαι ἐς ὄμματα καλὰ θεοῖο. (τλη
στὰν δὲ κάτω νεύσαντες ἐπὶ χθονός. αὐτὰρ ὁ τηλοῦ
βῆ ῥ' ἴμεναι πόντονδε δι' ἠέρος. ὀψὲ δὲ τοῖον
ὀρφεὺς ἔκφατο μῦθον, ἀριστήεσσι πιφαύσκων.

33 Εἰ δ' ἄγε δὴ νῆσον μὲν ἑώου ἀπόλλωνος
τήνδ' ἱρὴν κλείωμεν, ἐπὶ πάντεσι φαάνθη
ἠῶος μετιών. τὰ δὲ ῥέξομεν οἷα πάρεστι
βωμὸν ἀναστήσαντες ἐπάκτιον. εἰ δ' ἂν ὀπίσω
γαῖαν ἐς αἱμονίην ἀσκηθέα νόστον ὀπάσῃ.
δὴ τότε οἱ κεραῶν ἐπιμηρία θήσομεν αἰγῶν.
νῦν δ' αὔτως κνίσῃ λοιβῇσί τε μειλίξασθαι
κέκλομαι. ἀλλ' ἵληθι ἄναξ ἵληθι φααυθείς.
Ὣς ἄρ' ἔφη, καὶ τοὶ μὲν ἄφαρ βωμὸν τετύκοντο
χερμάσιν. οἱ δ' ἀνὰ νῆσον ἐδίνεον ἐξερέοντες
εἴ κέ τιν' ἢ κεμάδων ἢ ἀγροτέρων ἐσίδοιεν
αἰγῶν, οἷά τε πολλὰ βαθείῃ βόσκεται ὕλῃ.
τοῖσι δὲ λητοΐδης ἄγρην πόρεν. ἐκ δέ νυ πάντων
εὐαγέως ἱερῷ ἀνὰ διπλόα μηρία βωμῷ
καῖον ἐπικλείοντες ἑώϊον ἀπόλλωνα.
ἀμφὶ δὲ δαιομένοις εὐρὺν χορὸν ἐστήσαντο
καλὸν ἰηπαιήον', ἰηπαιήονα φοῖβον
μελπόμενοι. σὺν δέ σφιν ἐῢς πάϊς οἰάγροιο
βιστονίῃ φόρμιγγι λιγείης ἦρχεν ἀοιδῆς.
ὥς ποτε πετραίῃ ὑπὸ δειράδι παρνασοῖο
δελφύνην τόξοισι πελώριον ἐξενάριξεν
κοῦρος ἐὼν ἔτι γυμνός, ἔτι πλοκάμοισι πεποιθώς
ἱλήκοις. αἰεί τοι ἄναξ ἄτμητοι ἔθειραι
αἰὲν ἀδήλητοι. τὼς γὰρ θέμις. οἰόθι δ' αὐτὴ
λητὼ κοιογένεια φίλαις ἐν χερσὶν ἀφάσσει.
34 Πολλὰ δὲ κωρύκιαι νύμφαι πλειστοῖο θύγατρες
θαρσύνεσκον ἔπεσιν ἰήϊε κεκληγυῖαι.
ἔνθεν δὴ τόδε καλὸν ἐφύμνιον ἔπλετο φοίβῳ.

αὐτὰρ

αὐτὰρ ἐπεὶ δὴ τόνγε χορείῃ μέλψαν ἀοιδῇ.
λοιβαῖς εὐαγέεσσιν ἐπώμοσαν, ἢ μὲν ἀρήξειν
ἀλλήλοις εἰς αἰὲν ὁμοφροσύνῃσι νόοιο.
ἁπτόμενοι θυέων, καί τ' εἰσέτι νῦν γε τέτυκται
κεῖσ' ὁμονοίης ἱρὸν ἐΰφρονος ὅρρ' ἐκάμοντο
αὐτοί, κυδίστην τότε δαίμονα πρεσβείνοντες.
Ημος δὲ τρίτατον φάος ἤλυθε, δὴ τότ' ἔπειτα
ἀκραῆ ζεφύρῳ νῆσον λίπον αἰπήεσσαν.
ἔνθεν δ' ἀντιπέρην ποταμοῦ στόμα σαγγαρίοιο
καὶ μαριανδυνῶν ἀνδρῶν ἐριθηλέα γαῖαν
ἠδὲ λύκοιο ῥέεθρα καὶ ἀνθεμοεισίδα λίμνην
δερκόμενοι παράμειβον. ὑπὸ πνοιῇ δὲ κάλωες
ὅπλα τε νήϊα πάντα τινάσσετο νισσομένοισιν.
Ηῶθεν δ' ἀνέμοιο διὰ κνέφας εὐνηθέντος,
ἀσπασίως ἄκρης ἀχερουσίδος ὅρμον ἵκοντο.
ἡ μέν τε κρημνοῖσιν ἀνίσχεται ἠλιβάτοισιν
εἰς ἅλα δερκομένη βιθυνίδα. τῇ δ' ὑπὸ πέτραι
λισσάδες ἐρρίζονται ἁλίβροχοι. ἀμφὶ δὲ τῇσι (θιν
κῦμα κυλινδόμενον μεγάλα βρέμει. αὐτὰρ ὕπερ
ἀμφιλαφεῖς πλατάνιστοι ἐπ' ἀκροτάτῃ πεφύασιν.
55 Εκ δ' αὐτῆς εἴσω κατακέκλιται ἤπειρόνδε
κοίλη ὕπαιθα νάπη. ἵνα τε σπέος ἔστ' ἀΐδαο
ὕλῃ καὶ πέτρῃσιν ἐπηρεφές. ἔνθεν ἀϋτμὴ
πηγυλὶς ὀκρυόεντος ἀναπνείουσα μυχοῖο
συνεχὲς ἀργινόεσσαν ἀεὶ περιτέτροφε πάχνην.
ἤτε μεσημβριόωντος ἰαίνεται ἠελίοιο.
σιγὴ δ' οὔποτε τήνγε κατὰ βλοσυρὴν ἔχει ἄκρην.
ἀλλ' ἅμυδις πόντοιό θ' ὑποστένει ἠχήεντος.

φύλλων τε πνοιῇσι τινασσομένων μυχίῃσι.
E νθα δὲ καὶ προχοαὶ ποταμοῦ ἀχέροντος ἔασιν,
ὅς τε διὲξ ἄκρης ἀνερεύγεται εἰς ἅλα βάλλων.
ἠοίην. κοίλη δὲ φάραγξ κατάγει μιν ἄνωθεν.
τὸν μὲν ἐν ὀψιγόνοισι σοωναύτην ὀνόμηναν
νεισαῖοι μεγαρῆες, ὅτε νάσσεσθαι ἔμελλον
γῆν μαριανδυνῶν. δὴ γάρ σφεας ἐξεσάωσεν
αὐτῇσιν νήεσσι κακῇ χρίμψαντας ἀέλλῃ.
τῇ ῥ' οἵγ' αὐτίκα νηὶ διὲξ ἀχερουσίδος ἄκρης
εἴσω ἐπὶ ἀνέμοιο νέον λήγοντος ἔκελσαν.
86 Οὐδ' ἄρα δηθὰ λύκον κείνης πρόμον ἠπείροιο
καὶ μαριανδυνοὺς λάθον ἀνέρας ὁρμηθέντες
αὐθένται ἀμύκοιο κατὰ κλέος ὃ πρὶν ἄκουον.
ἀλλὰ καὶ ἀρθμὸν ἔθεντο μετὰ σφίσι τοῖο ἕκητι.
αὐτὸν δ' ὥς τε θεὸν πολυδεύκεα δεξιόωντο,
πάντοθεν ἀγρόμενοι. ἐπεὶ ἦ μάλα δήν γ' ἐπὶ δηρὸν
ἀντιβίην βέβρυξιν ὑπερφιάλοις πολέμιζον.
K αὶ δὴ πασσυδίῃ μεγάρων ἔντοσθε λύκοιο
κεῖν' ἦμαρ φιλότητι μετὰ πτολίεθρον ἰόντες.
δαίτην ἀμφίεπον τέρποντό τε θυμὸν ἔπεσσιν.
αἰσονίδης μέν οἱ γενεὴν καὶ οὔνομ' ἑκάστου
σφωιτέρων μυθεῖθ' ἑτάρων πελίαό τ' ἐφετμάς.
ἠδ' ὡς λημνιάδεσσιν ἐπεξεινοῦντο γυναιξίν.
73 Οσσα τε κύζικον ἀμφὶ δολιονίην ἐτέλεσσαν.
μυσίδα θ' ὡς ἀφίκοντο. κίον θ' ὅθι κάλλιπον ἥρω
ἡρακλέην. ἀέκοντι νόῳ. γλαύκοιό τε βάξιν.
πέφραδε καὶ βέβρυκας. ὅπως ἄμυκόν τ' ἐδάιξαν.
καὶ φινῆος ἔειπε θεοπροπίας τε δύην τε.

ἠδ'

ἠδ' ὡς κυανέας πέτρας φύγον. ὥς τ' ἀβόλησαν
λητοΐδῃ κατὰ νῆσον. ὁ δ' ἑξείης ἐνέποντος
θέλγετ' ἀκουῇ θυμόν. ἄχος δ' ἔλεν ἡρακλῆι
λειπομένῳ. καὶ τοῖον ἔπος πάντεσσι μετηύδα.
Ὦ φίλοι οἵου φωτὸς ἀπηπλαγχθέντες ἀρωγῆς
πείρετ' ἐς αἰήτην τόσσον πλόον. εὖ γὰρ ἐγώ μιν
δασκύλου ἐν μεγάροισι κατ' αὐτόθι πατρὸς ἐμεῖο
οἶδ' ἐσιδών. ὅτε δεῦρο δι' ἀσίδος ἠπείροιο
πεζὸς ἔβη ζωστῆρα φιλοπτολέμοιο κομίζων
ἱππολύτης. ἐμὲ δ' εὗρε νέον χνοάοντας ἰούλους.
ἔνθα δ' ὤθι πριόλαο κασιγνήτοιο θανόντος
ἡμετέρου, μυσοῖσιν ὑπ' ἀνδράσιν, ὅν τινα λαὸς
οἰκτίστοις ἐλέγοισιν ὀδύρεται ἐξ ἔτι κείνου
ἀθλεύων. τιτίην ἀπεκαίνυτο πυγμαχέοντα
κρατερὸν ὃς πάντεσσι μετέπρεπεν ἠϊθέοισιν
εἶδός τ' ἠδὲ βίην. χαμάδις δέ οἱ ἤλασ' ὀδόντας.
58 Αὐτὰρ ὁμοῦ μυσοῖσιν, ἐμῷ ὑπὸ πατρὶ δάμασσεν
καὶ φρύγας. οἳ ναίουσιν ὁμώλακας ἧμιν ἀρούρας.
φῦλά τε βιθυνῶν αὐτῇ κτεατίσσατο γαίῃ
ἔστ' ἐπὶ ῥηβαίου προχοάς, σκόπελόν τε κολώνης
παφλαγόνων τ' ἐπὶ τοῖς πελοπήϊοι εἴκαθον αὔτως
ὅσσους βιλλαίοιο μέλαν περιάγνυται ὕδωρ.
ἀλλά με νῦν βέβρυκες, ὑπερβασίη τ' ἀμύκοιο
τηλόθι ναιετάοντος ἐνόσφισαν ἡρακλῆος
δὴν ἀποτεμνόμενοι γαίης ἅλις ὄφρ' ἐβάλοντο
οὖρα βαθυρρείοντος ὑφ' εἰαμεναῖς ὑπίοιο.
ἔμπης δ' ἐξ ὑμέων ἔδοσαν τίσιν. οὐδέ ἑ φημὶ
ἤματι τῷδ' ἀέκητι θεῶν ἐπελάσσαι ἄρηα

τυνδαρίδης βέβρυξιν, ὅτ' ἀνέρα κεῖνον ἔπεφνεν.
τῶν νῦν ἥν τιν' ἐγὼ τῖσαι χάριν ἄρκιός εἰμι,
τίσω προφρονέως. ἡ γὰρ θέμις ἠπεδανοῖσιν
ἀνδράσιν εὖτ' ἄρξωσιν ἀρείονες ἄλλοι ὀφέλλειν.
ξυνῇ μὲν πάντεσσιν ὁμόστολον ὔμμιν ἕπεσθαι
δάσκυλον ὀτρυνέω ἐμὸν υἱέα. τοῖο δ' ἰόντος,
ἦ τ' ἂν ἐυξείνοισι διὲξ ἁλὸς ἀντιάοιτε
ἀνδράσιν ὄφρ' αὐτοῖο ποτὶ στόμα θερμώδοντος.
νόσφι δὲ τυνδαρίδαις ἀχερουσίδος ὑψόθεν ἀκτῆς
εἴσομαι ἱερὸν αἰπύ. τὸ μὲν μάλα τηλόθι πάντες
ναυτίλοι ἀμπέλαγος θηεύμενοι ἱλάξονται.
καί σφιν μετέπειτα πρὸ ἄστεος οἷα θεοῖσι
πίονας εὐαρότοιο γύας πεδίοιο ταμοῦμαι.

39 Ὣς τότε μὲν δαῖτ' ἀμφὶ πανήμεροι ἑψιόωντο.
ἠοῖ γε μὴν ἐπὶ νῆα κατήισαν ἐγκονέοντες,
καὶ δ' αὐτὸς σὺν τοῖσι λύκος κίε μυρί' ὀπάσσας
δῶρα φέρειν. ἅμα δ' υἷα δόμων ἔκπεμπε νέεσθαι.
Ἔνθα δ' ἀβαντιάδην πεπρωμένη ἤλασε μοῖρα
ἴδμονα μαντοσύνῃσι κεκασμένον. ἀλλά μιν οὔ τι
μαντοσύναι ἐσάωσαν, ἐπεὶ χρειὼ ἦγε δαμῆναι,
κεῖτο γὰρ εἰαμενῇ δονακώδεος ἐν ποταμοῖο
ψυχόμενος λαγόνας τε, καὶ ἄσπετον ἰλύι νηδύν
κάπριος ἀργιόδων ὀλοὸν τέρας. ὅν ῥα καὶ αὐταὶ
νύμφαι ἑλειονόμοι ὑπεδείδισαν, οὐδέ τις ἀνδρῶν
ἠείδει. οἶος δὲ κατὰ πλατὺ βόσκετο τῖφος.

40 Αὐτὰρ ὅ γ' ἰλυόεντος ἀνὰ θρωσμοὺς ποταμοῖο
νίσσετ' ἀβαντιάδης. ὁ δ' ἄρ' ἔκποθεν ἀφράστοιο
ὑψοῦ μάλ' ἐκ δονάκων ἀνεπάλμενος ἤλασε μηρὸν
ἀίγδην.

αἴγδην. μέσσας δὲ σὺν ὀστέῳ ἶνας ἔκερσεν.
ὀξὺ δ' ὅγε κλάγξας οὔδει πέσεν. οἱ δὲ τυπέντος
ἀθρόοι ἀντιάχησαν. ὀρέξατο δ' αἶψ' ὀλοοῖο
πηλεὺς αἰγανέῃ φύγαδ' εἰς ἕλος ὁρμηθέντος
καπρίου. ἔσσυτο δ' αὖτις ἐναντίος ἀλλά μιν ἴδας
οὔτασε. βεβρυχὼς δὲ θοῷ περικάππεσε δουρί.
καὶ τὸν μὲν χαμάδις λίπον αὐτόθι πεπτηῶτα,
τὸν δ' ἕταροι ἐπὶ νῆα φέρον ψυχορραγέοντα,
ἀχνύμενοι. χείρεσσι δ' ἑῶν ἐνὶ κάτθαν' ἑταίρων.
ἔνθα δὲ ναυτιλίης μὲν ἐρητύοντο μέλεσθαι.
ἀμφὶ δὲ κηδείῃ νέκυος μένον ἀσχαλόωντες.
ἤματα δὲ τρία πάντα γόων. ἑτέρῳ δέ μιν ἤδη
τάρχυον μεγαλωστί. συνεκτερέιζε δὲ λαὸς
αὐτῷ ὁμοῦ βασιλῆϊ λύκῳ. πάρα δ' ἄσπετα μῆλα
ἣ θέμις οἰχομένοισι ταφήϊα λαιμοτόμησαν.
καὶ δή τοι κέχυται τοῦδ' ἀνέρος ἐν χθονὶ κείνῃ
τύμβος, σῆμα δ' ἔπεστι καὶ ὀψιγόνοισιν ἰδέσθαι
νηίου ἐκ κοτίνοιο φάλαγξ. θαλέθει δέ τε φύλλοις
ἄκρης τυτθὸν ἔνερθ' ἀχερουσίδος. εἰ δέ με καὶ τὸ
χρειὼ ἀπηλεγέως μουσέων ὑπογηρύσασθαι.
τόνδε πολισσοῦχον διεπέφραδε βοιωτοῖσιν
νισαίοισί τε φοῖβος, ἐπιῤῥήδην ἱλάεσθαι.
41 Ἀμφὶ δὲ τήνγε φάλαγγα παλαιγενέος κοτίνοιο
ἄστυ βαλεῖν. οἱ δ' ἀντὶ θεουδέος αἰολίδαο
ἴδμονος εἰσέτι νῦν ἀγαμήστορα κυδαίνουσιν.
τίς γὰρ δὴ θάνεν ἄλλος. ἐπεὶ καὶ ἔτ' αὖτις ἔχευαν
ἥρωες τότε τύμβον, ἀποφθιμένου ἑτάροιο.
δοιὰ γὰρ οὖν κείνων ἔτι σήματα φαίνεται ἀνδρῶν

ἁγνιάδην τῖφυν θανέειν φάτις. οὐδέ οἱ ἦεν
μοῖρ' ἔτι ναυτίλλεσθαι ἑκαστέρω. ἀλλά νυ καὶ τὸν
αὖθι μινυνθαδίη πάτρης ἑκὰς εὔνασε νοῦσος,
εἰσόκ' ἀβαντιάδαο νέκυν κτερέϊζεν ὅμιλος.
ἄτλητον δ' ὀλοῷ ἐπὶ πήματι κῆδος ἕλοντο.
δὴ γὰρ ἐπεὶ καὶ τόνδε παρασχεδὸν ἐκτερέϊξαν
αὐτοῦ ἀμηχανίῃσιν ἁλὸς προπάροιθε πεσόντες
ἐντυπὰς εὐκήλως εἰλυμένοι, οὔτε τι σίτου
μνώοντ' οὔτε ποτοῖο. κατήμυσαν δ' ἀχέεσσι
θυμόν. ἐπεὶ μάλα πολλὸν ἀπ' ἐλπίδος ἔπλετο νό
καί νύ κ' ἔτι προτέρω τετιημένοι ἰσχανόωντο. (στος·
εἰ μὴ ἄρ' ἀγκαίῳ περιώσιον ἔμβαλεν ἥρη
θάρσος. ὃν ἰμβρασίοισι παρ' ὕδασιν ἀστυπάλαια
τίκτε ποσειδάωνι. περιπρὸ γὰρ εὖ ἐκέκαστο
ἰθύνειν. πηλῆα δ' ἐπεσσύμενος προσέειπεν.
αἰακίδη. πῶς καλὸν ἀφειδήσαντας ἀέθλων
γαίῃ ἐν ἀλλοδαπῇ δὴν ἔμμεναι. οὐ μὲν ἄρηος
ἴδριν ἐόντα με τόσσον ἄγει μετὰ κῶας ἰήσων
παρθενίης ἀπάνευθεν, ὅσον τ' ἐπιΐστορα νηῶν.
τῷ μή τοι τυτθόν γε δέος περὶ νηὶ πελέσθω.
ὧς δὲ καὶ ὧλλοι δεῦρο δαήμονες ἄνδρες ἔασι.
τῶν ὅ τινα πρύμνης ἐπιβήσομεν, οὔ τις ἰάψει
ναυτιλίην. ἀλλ' ὦκα παραιφάμενος τάδε πάντα,
θαρσαλέως ὀρόθυνον ἐπιμνήσασθαι ἀέθλου.

42 Ὡς φάτο. τοῖο δὲ θυμὸς ὀρέξατο γηθοσύνῃσιν.
αὐτίκα δ' οὐ μετὰ δηρὸν ἐνὶ μέσσοισ' ἀγόρευσε
δαιμόνιοι. τί νυ πένθος ἐτώσιον ἴσχομεν αὔτως.
οἱ μὲν γὰρ ποθι πότμον ὃν ἔλλαχον οἶτον ὄλοντο.

ἡμῖν μὲν γὰρ ἔασι κυβερνητῆρες ὁμίλῳ
καὶ πλέονες. τῶν μή τι διατριβώμεθα πείρης.
ἀλλ᾽ ἔγρεσθ᾽ εἰς ἔργον ἀπορρίψαντες ἀνίας.
τὸν δ᾽ αὖτ᾽ αἴσονος υἱὸς ἀμηχανέων προσέειπεν.
αἰακίδη. τί ἦ δ᾽ οἵδε κυβερνητῆρες ἔασιν.
οὓς μὲν γὰρ τὸ πάροιθε δαήμονας εὐχόμεθ᾽ εἶναι,
οἵδε κατηφήσαντες ἐμεῦ πλέον ἀσχαλόωσι.
τῷ καὶ ὁμοῦ φθιμένοισι κακὴν προτιόσσομαι ἄτην.
εἰ δὴ μήτ᾽ ὀλοοῖο μετὰ πτόλιν αἰήταο
ἔσσεται. ἠὲ καὶ αὖτις ἐς ἑλλάδα γαῖαν ἱκέσθαι
πετράων ἔκτοσθε. κατ᾽ αὐτόθι δ᾽ ἄμμε καλύψει
ἀκλειῶς κακὸς οἶτος ἐτώσια γηράσκοντας.
Ὣς ἔφατ᾽. ἀγκαῖος δὲ μάλ᾽ ἐσσυμένως ὑπέδεκτο
νῆα θοὴν ἀξέμεν. δὴ γὰρ θεοῦ ἐτράπετ᾽ ὁρμῇ.
τὸν δὲ μετ᾽ ἐργῖνος καὶ ναύπλιος εὔφημός τε
ὤρνυντ᾽ ἰθύνειν λελιημένοι. ἀλλ᾽ ἄρα τούσγε
ἔσχεθον. ἀγκαίῳ δὲ πολεῖς ἤνησαν ἑταίρων.
ἠῷοι δ᾽ ἤπειτα δυωδεκάτῳ ἐπέβαινον
ἤματι. δὴ γάρ σφιν ζεφύρου μέγας οὖρος ἄητο.
καρπαλίμως δ᾽ ἀχέροντα διεξεπέρησαν ἐρετμοῖς.
ἐκ δ᾽ ἔχεαν πίσυνοι ἀνέμῳ λίνα. πουλὺ δ᾽ ἤθη πεδ
λαιφέων πεπταμένων τέμνον πλόον εὐδιόωντες.
43 Ὦκα δὲ καλλιχόροιο παρὰ προχοὰς ποταμοῖο
ἤλυθον. ἔνθ᾽ ἐνέπουσι διὸς νυσήϊον υἷα
ἰνδῶν ἡνίκα φῦλα λιπὼν κατεμάσσατο θήβας
ὀργιάσαι. στῆσαί τε χοροὺς ἄντροιο πάροιθεν.
ᾧ ἐν ἀμειλίκτους ἁγίας εὐνάζετο νύκτας,
ἐξ οὗ καλλίχορον ποταμὸν περιναιετάοντες

ἠδὲ τὸ αὔλιον ἄντρον ἐπώνυμον καλέουσιν.
ἔνθεν δὲ σθενέλου τάφον ἔδρακον ἀκτορίδαο.
ὅς ῥά τ' ἀμαζονίδων πολυθαρσέος ἐκ πολέμοιο
ἂψ ἀνιών. δὴ γὰρ συνανήλυθεν ἡρακλῆϊ
βλήμενος ἰῷ κεῖθεν ἐπ' ἀγχιάλου θάνεν ἀκτῆς.
οὐ μὲν θὴν προτέρω ἔτ' ἐμέτρεον. ἧκε γὰρ αὐτὴ
φερσεφόνη ψυχὴν πολυδάκρυον ἀκτορίδαο
λισσομένην. τυτθόν περ ὁμήθεας ἄνδρας ἰδέσθαι.
τύμβου δὲ στεφάνης ἐπιβὰς σκοπιάζετο νῆα.
τοῖος ἐών, οἷος πόλεμόνδ' ἴεν. ἀμφὶ δὲ καλὴ
τετράφαλος φοίνικι λόφῳ ἐπελάμπετο πήληξ.
καί ῥ' ὁ μὲν αὖτις ἔδυνε μέγαν ζόφον. οἱ δ' ἐσιδόντες
θάμβησαν. τοὺς δ' ὦρσε θεοπροπέων ἐπικέλσαι
ἀμπυκίδης μόψος. λοιβῇσί τε μειλίξασθαι. (τες
οἱ δ' ἀνὰ μὲν κραιπνῶς λαῖφος σπάσαν, ἐκ δὲ βαλόν
πείσματ' ἐν αἰγιαλῷ σθενέλου τάφον ἀμφεπένοντο,
χύτλα τέ οἱ χεύοντο καὶ ἥγνισαν ἔντομα μήλων.
ἄνδιχα δ' αὖ χύτλων νηοσσόῳ ἀπόλλωνι
βωμὸν δειμάμενοι μῆλ' ἔφλεγον. ἂν δὲ καὶ ὀρφεὺς
θῆκε λύρην. ἐκ τοῦ δὲ λύρη πέλει οὔνομα χώρῳ.
αὐτίκα δ' οἵγ' ἀνέμοιο κατασπέρχοντος ἔβησαν
νῆ' ἔπι. κὰδ δ' ἄρα λαῖφος ἐρυσσάμενοι τανύοντο
ἐς πόδας ἀμφοτέρους. ἡ δ' ἐς πέλαγος πεφόρητο
ἐντενές. ἠΰτε τίς τε δι' ἠέρος ὑψόθι κίρκος
ταρσὸν ἐφεὶς πνοιῇ φέρεται ταχύς. οὐδὲ τινάσσει
ῥιπὴν εὐκήλοισιν ἐνδιόων πτερύγεσσιν.
44 Καὶ δὴ παρθενίοιο ῥοὰς ἁλιμυρήεντος
πρηϋτάτου ποταμοῦ παρεμέτρεον. ᾧ ἔνι κούρη

λητωῒς ἀγρηθὲν ὅτ' οὐρανὸν εἰσαναβαίνει
ὃν δέμας ἱμερτοῖσιν ἀναψύχει ὑδάτεσσιν.
νυκτί τ' ἔπειτ' ἄληκτον ἐπιπροτέρωσε θέοντες,
σήσαμον. αἰπεινούς τε παρεξενέοντ' ἐρυθίνους.
κρωβίαλον, κρῶμνάν τε, καὶ ὑλήεντα κύτωρον.
ἔνθα δ' αὖτε κάραμβιν ἅμ' ἠελίοιο βολῆσι,
γνάμψαντες περὶ πουλὺν, ἔπειτ' ἤλαυνον ἐρετμοῖς
αἰγιαλὸν πρόπαν ἦμαρ ὁμῶς καὶ ἐπ' ἤματι νύκτα,
αὐτίκα δ' ἀσσυρίης ἐπέβαν χθονός. ἔνθα σινώπην
θυγατέρ' ἀσωποῖο καθίσσατο, καί οἱ ὄπασσε
παρθενίην ζεὺς αὐτὸς ὑποσχεσίῃσι δολωθείς.
δὴ γὰρ ὁ μὲν φιλότητος ἐέλδετο. νεῦσε δ' ὅγ' αὐτῇ
δωσέμεναι ὅ κεν ᾗσι μετὰ φρεσὶν ἰθύσειεν.
ἡ δέ ἑ παρθενίην ᾐτήσατο κερδοσύνῃσιν.
ὧς δὲ καὶ ἀπόλλωνα παρήπαφεν εὐνηθῆναι
ἱέμενον. ποταμόν τ' ἐπὶ τοῖς ἅλυν. οὐδὲ μὲν ἀνδρῶν
τήν γέ τις ἱμερτῇσιν ἐν ἀγκύνῃσι δάμασσεν.
45 Ἔνθα δὲ τρικκαίοιο ἀγαυοῦ δηϊμάχοιο
υἱέες, δηϊλέων τε καὶ αὐτόλυκος, φλογίος τε
τῆμος ὅθ' ἡρακλῆος ἀποπλαγχθέντες ἔναιον.
οἵ ῥα τόθ' ὡς ἐνόησαν ἀριστήων στόλον ἀνδρῶν
σφᾶς αὐτοὺς νημερτὲς ἐπέφραδον ἀντιάσαντες.
οὐδ' ἔτι μιμνάζειν θέλον ἔμπεδον. ἀλλ' ἐνὶ νηΐ
ἀργέσταο παρὰ ἄσσον ἐπιπνείοντος ἔβησαν.
τοῖσι δ' ὁμοῦ μετέπειτα θοῇ πεφορημένοι αὔρῃ
λεῖπον ἅλυν ποταμόν, λεῖπον δ' ἀγχίῤῥοον ἶριν.
ἠδὲ καὶ ἀσσυρίης πρόχυσιν χθονός. ἤματι δ' αὐτῷ
γνάμψαν ἀμαζονίδων ἕκαθεν λιμενήοχον ἄκρην

ἔνθα ποτὲ προμολοῦσαν ἀρητιάδα μελανίππην
ἥρως ἡρακλέης ἐλοχήσατο, καί οἱ ἄποινα
ἱππολύτη ζωστῆρα παναίολον ἐγγυάλιξεν
ἀμφὶ κασιγνήτης. ὁ δ' ἀπήμονα πέμψεν ὀπίσσω
τῆς οἵγ' ἐν κόλπῳ προχοαῖς ἔπι θερμώδοντος
κέλσαν. ἐπεὶ καὶ πόντος ὀρίνετο νισσομένοισιν.
46 τῷ δ' οὔτις ποταμῶν ἐναλίγκιος. οὐδὲ ῥέεθρα
τόσσ' ἐπὶ γαῖαν ἵησι. παρὲξ ἔθεν ἄνδιχα βάλλων
τετράκις εἰς ἑκατὸν δεύοιτό κεν, εἴ τις ἕκαστα
πεμπάζοι μία δ' οἴη ἐτήτυμος ἔπλετο πηγή.
ἡ μέν τ' ἐξ ὀρέων κατανείσεται ἤπειρόνδε
ὑψηλῶν ἅ τε φασὶν ἀμαζόνια κλείεσθαι.
Ενθεν δ' αἰπυτέρην ἐπικίδναται ἔνδοθι γαῖαν
αὐτικρύ. τῷ καί οἱ ἐπίστροφοί εἰσι κέλευθοι.
αἰεὶ δ' ἄλλυδις ἄλλη, ὅπῃ κύρσειε μάλιστα.
ἠπείρου χθαμαλῆς εἱλίσσεται. ἡ μὲν ἄπωθεν
ἡ δὲ πέλας. πολέες δὲ πόροι νώνυμνοι ἔασιν
ὅππῃ ὑπεξαφύονται. ὁ δ' ἀμφαδὸν ἄμμιγα παύροις
πόντον ἐς ἄξεινον κυρτὴν ὑπερεύγεται ἄκρην.
καὶ νύ κε δηθύνοντες ἀμαζονίδεσσιν ἔμιξαν
ὑσμίνην. καὶ δ' οὔ κεν ἀναιμωτί γ' ἐρίδηναν.
οὐ γὰρ ἀμαζονίδες μάλ' ἐπητέες οὐδὲ θέμιστας
τίουσαι πεδίον δοιάντιον ἀμφενέμοντο.
ἀλλ' ὕβρις στονόεσσα καὶ ἄρεος ἔργα μέμηλε.
δὴ γὰρ καὶ γενεὴν ἔσαν ἄρεος ἁρμονίης τε
νύμφης. ἥ τ' ἄρηϊ φιλοπτολέμους τέκε κούρας
ἄλσεος ἀκμονίοιο κατὰ πτύχας εὐνηθεῖσα,
εἰ μὴ ἄρ' ἐκ διόθεν πνοιαὶ πάλιν ἀργέσταο

κλυθόν. οἱ δ' ἀνέμῳ πολυηγέα κάλλιπον ἄκρην.
47 Ἔνθα Θεμισκύρειαι Ἀμαζόνες ὡπλίζοντο.
οὐ γὰρ ὁμηγερέες μίαν ἂμ πόλιν. ἀλλ' ἀνὰ γαῖαν
κεκριμέναι κατὰ φῦλα διάτριχα ναιετάασκον
νόσφι μὲν αἵδ' αὐτῇ τῇσιν τότε κοιρανέεσκεν
Ἱππολύτη νόσφι δὲ Λυκάστιαι ἀμφενέμοντο.
νόσφι δ' ἀκοντοβόλοι Χαδήσιαι, ἤματι δ' ἄλλῳ
νυκτί τ' ἐπιπλομένῃ Χαλύβων παρὰ γαῖαν ἵκοντο.
τοῖσι μὲν οὔτε βοῶν ἄροτος μέλει οὔτε τις ἄλλη
φυταλιὴ καρποῖο μελίφρονος. οὐδὲ μὲν οἵ γε
ποίμνας ἑρσήεντι νομῷ ἔνι ποιμαίνουσιν.
ἀλλὰ σιδηροφόρον στυφελὴν χθόνα γατμέοντες
ὦνον ἀμείβονται βιοτήσιον. οὐδέ ποτέ σφιν
ἠὼς ἀντέλλει καμάτων ἄτερ. ἀλλὰ κελαινῇ
λιγνύϊ καὶ καπνῷ, κάματον βαρὺν ὀτλεύουσι.
τοὺς δὲ μετ' αὐτίκ' ἔπειτα γενηταίου Διὸς ἄκρην
γνάμψαντες, σώοντο παρὲξ Τιβαρηνίδα γαῖαν.
ἔνθ' ἐπεὶ ἄρ κε τέκωνται ὑπ' ἀνδράσι τέκνα γυναῖκες
αὐτοὶ μὲν στενάχουσιν ἐνὶ λεχέεσσι πεσόντες
κράατα δησάμενοι. ταὶ δ' εὖ κομέουσιν ἐδωδῇ
ἀνέρας ἠδὲ λοετρὰ λεχώϊα τοῖσι πένονται.
48 Ἱερὸν δ' αὖτ' ἐπὶ τοῖσιν ὄρος καὶ γαῖαν ἄμειβον.
ᾗ ἔνι μοσσύνοικοι ἀν' οὔρεα, ναιετάουσι
μόσσυνας. καὶ δ' αὐτοὶ ἐπώνυμοι ἔνθεν ἔασιν.
ἀλλοίη δὲ δίκη καὶ θέσμια τοῖσι τέτυκται.
ὅσσα μὲν ἀμφαδίην ῥέζειν θέμις, ἢ ἐνὶ δήμῳ,
ἢ ἀγορῇ, τάδε πάντα δόμοις ἔνι μηχανόωνται.
ὅσσα δ' ἐνὶ μεγάροις πεπονήμεθα, κεῖνα θύραζε

ἀφεγέως μέσσῃσιν ἐνὶ ῥέζουσιν ἀγυιαῖς.
οὐδ᾽ εὐνῆς αἰδὼς ἐπιδήμιος. ἀλλὰ σύες ὣς
φορβάδες. οὐδ᾽ ἠβαιὸν ἀτυζόμενοι παρεόντας
μίσγονται χαμάδις ξυνῇ φιλότητι γυναικῶν.
αὐτὰρ ἐν ὑψίστῳ βασιλεὺς μόσσυνι θαάσσων
ἰθείας πλέεσσι δίκας λαοῖσι δικάζει
σχέτλιος. ἢν γάρ που * θεμιστεύων ἀλίτηται,
λιμῷ μιν κεῖν᾽ ἦμαρ ἐνικλείσαντες ἔχουσιν.
τοὺς παραμειβόμενοι καὶ δὴ σχεδὸν αὐτιπέρηθεν
νήσου ἀρητιάδος τέμνον πλόον εἰρεσίῃσιν
ἠμάτιοι. λιαρὴ γὰρ ὑπὸ κνέφας ἔλλιπεν αὔρη,
ἤδη καί τιν᾽ ὕπερθεν, ἀρήιον ἀίσσοντα
ἐνναέτην νήσοιο δι᾽ ἠέρος ὄρνιν ἴδοντο.
ὅς ῥα τιναξάμενος πτέρυγας κατὰ νῆα θέουσαν
ἧκ᾽ ἐπί οἱ πτερὸν ὀξύ. τὸ δ᾽ ἐν λαιῷ πέσεν ὤμῳ
δίου ὀϊλῆος. μεθέηκε δὲ χερσὶν ἐρετμὸν
βλήμενος. οἱ δὲ τάφον πτερόεν βέλος εἰσορόωντες.
καὶ τὸ μὲν ἐξείρυσε παρεδριόων ἐρυβώτης.
ἕλκος δὲ ξυνέδησεν ἀπὸ σφετέρου κολεοῖο
λυσάμενος τελαμῶνα κατήορον. ἐκ δὲ φαάνθη
ἄλλος ἐπὶ προτέρῳ πεποτημένος. ἀλλά μιν ἥρως
εὐρυτίδης κλυτίος. πρὸ γὰρ ἀγκύλα τείνατο τόξα
ἧκε δ᾽ ἐπ᾽ οἰωνὸν ταχινὸν βέλος. αὐτὰρ ἔπειτα
πλῆξεν. δινηθεὶς δὲ θοῆς πέσεν ἀγχόθι νηός.
τοῖσι δ᾽ ἀμφιδάμας μυθήσατο παῖς ἀλεοῖο
νῆσος μὲν πέλας ἥμιν ἀρητιάς ἴστε καὶ αὐτοὶ
τούσδ᾽ ὄρνιθας ἰδόντες. ἐγὼ δ᾽ οὐκ ἔλπομαι ἰοὺς
τόσσον ἐπαρκέσσειν εἰς ἔκβασιν. ἀλλά τιν᾽ ἄλλην

μῆτιν

μῆτιν ἐπισύνωμεν ἐπίῤῥοθον. εἴ κ᾽ ἐπικέλσαι
μέλλετε, Φινῆος μεμνημένοι ὡς ἐπέτελλεν.
50 Οὐδὲ γὰρ ἡρακλέης ὁπότ᾽ ἤλυθεν ἀρκαδίην δε.
πλωίδας ὄρνιθας στυμφαλίδας ἔσθενε λίμνης
ὤσασθαι τόξοισι. τὸ μέν τ᾽ ἐγὼ αὐτὸς ὄπωπα.
ἀλλ᾽ ὅγε χαλκείην πλαταγὴν ἐνὶ χερσὶ τινάσσων
δούπει ἐπὶ σκοπιῆς περιμήκεος. αἱ δ᾽ ἐφέβοντο
τηλοῦ ἀτυζηλῷ ὑπὸ δείματι κεκληγυῖαι.
τῶ καὶ νῦν τοίην τιν᾽ ἐπιφραζώμεθα μῆτιν,
αὐτὸς δ᾽ ἂν τὸ πάροιθεν ἐπιφρασθεὶς ἐνέποιμι
ἀνθέμενοι κεφαλῆσιν ἀερσιλόφους τρυφαλείας
ἡμίσεες μὲν ἐρέσσετ᾽ ἀμοιβαδίς. ἡμίσεες δὲ
δούρασί τε ξυστοῖσι καὶ ἀσπίσιν ἄρσετε νῆα.
αὐτὰρ πασσυδίῃ περιώσιον ὄρνυτ᾽ ἀυτὴν
ἀθρόοι. ὄφρα κολῳὸν ἀηθείῃ φοβέωνται
νεύοντάς τε λόφους καὶ ἐπήορα δούραθ᾽ ὕπερθεν.
εἰ δέ κεν αὐτὴν νῆσον ἱκώμεθα, δὴ τότ᾽ ἔπειτα
σὺν κελάδῳ σακέεσσι πελώριον ὄρσατε δοῦπον.
ὣς ἄρ᾽ ἔφη. πάντεσσι δ᾽ ἐπίῤῥοθος ἥνδανε μῆτις.
ἀμφὶ δὲ χαλκείας κόρυθας κεφαλῆσιν ἔθεντο,
δεινὸν λαμπομένας. ἐπὶ δὲ λόφοι ἐσσείοντο
φοινίκεοι. καὶ τοὶ μὲν ἀμοιβήδην ἐλάασκον.
τοὶ δ᾽ αὖτ᾽ ἐγχείῃσι καὶ ἀσπίσι νῆ᾽ ἐκάλυψαν.
51 Ὡς δ᾽ ὅτε τις κεράμῳ κατερέψεται ἑρκίον ἀνὴρ
δώματος ἀγλαΐην τε καὶ ὑετοῦ ἔμμεναι ἄλκαρ,
ἄλλῳ δ᾽ ἔμπεδον ἄλλος ὁμῶς ἐπαμοιβὸς ἄρηρεν.
Ὣς οἵγ᾽ ἀσπίσι νῆα συναρτύναντες ἔρεψαν
οἵη δὲ κλαγγὴ δήιου πέλει ἐξ ὁμάδοιο

ἀνδρῶν κινυμένων ὁπότε ξυνίωσι φάλαγγες.
τοίη ἄρ' ὑψόθι νηὸς ἐς ἠέρα κίδνατ' ἀϋτή.
οὐδέ τιν' οἰωνῶν ἔτ' ἐσέδρακον. ἀλλ' ὅτε νήσῳ
χρίμψαντες σάκεεσσιν ἐπέκτυπον. αὐτίκ' ἄρ' οἵγε
μυρίοι ἔνθα καὶ ἔνθα πεφυζότες ἠερέθοντο.
Ὡς δ' ὁπότε κρονίδης πυκινὴν ἐφέηκε χάλαζαν
ἐκ νεφέων ἀνά τ' ἄστυ καὶ οἰκία. τοὶ δ' ὑπὸ τοῖσιν
ἐνναέται κόναβον, τεγέων ὑπερεισαΐοντες
ἧνται ἀκήν. ἐπεὶ οὔ σφι κατέλλαβε χείματος ὥρη
ἀπροφάτως. ἀλλὰ πρὶν ἐκαρτύναντο μέλαθρον.
Ὡς πυκινὰ πτερὰ τοῖσιν ἐφίεσαν ἀΐσσοντες
ὕψι μάλ' ἀμπέλαγος περάτης εἰς οὔρεα γαίης.
τίς γὰρ δὴ φινῆος ἔην νόος ἐνθάδε κέλσαι
ἀνδρῶν ἡρώων θεῖον στόλον. ἢ καὶ ἔπειτα
ποῖον ὄνειαρ ἔμελλεν ἐελδομένοισιν ἱκέσθαι.
υἱῆες φίξοιο μετὰ πτόλιν ὀρχομενοῖο
ἐξ αἴης ἐνέοντο παρ' αἰήταο κυταίου,
κολχίδα νῆ' ἀναβάντες ἵν' ἄσπετον ὄλβον ἄρωνται
πατρός. ὁ γὰρ θνήσκων ἐπετείλατο τήνδε κέλευθον
καὶ δὴ ἔσαν νήσοιο μάλα σχεδὸν ἤματι κείνῳ.
52 Ζεὺς δ' ἀνέμου βορέαο μένος κίνησεν ἀῆναι
ὕδατι σημαίνων διερὴν ὁδὸν ἀρκτούροιο.
αὐτὰρ ὅγ' ἠμάτιος μὲν ἐν οὔρεσι φύλλ' ἐτίνασσεν
τυτθὸν ἐπ' ἀκροτάτοισιν ἀήσυρος ἀκρεμόνεσσιν
νυκτὶ δ' ἔβη πόντονδε πελώριος. ὦρσε δὲ κῦμα
κεκληγὼς πνοιῇσι. κελαινὴ δ' οὐρανὸν ἀχλὺς
ἄμπεχεν. οὐδέ πῃ ἄστρα διαυγέα φαίνετ' ἰδέσθαι
ἐκ νεφέων. σκοτόεις δὲ περὶ ζόφος ἠρήρειστο.

οἱ δ'

οἱ δ' ἄρα μυδαλέοι στυγερὸν ζομέοντες ὄλεθρον
υἷες Φρίξοιο. φέρονθ' ὑπὸ κύμασιν αὔτως.
ἱστία δ' ἐξήρπαξ' ἀνέμου μένος. ἠδὲ καὶ αὔτως
νῆα διάνδιχ' ἔαξε τινασσομένην ῥοθίοισιν.
ἔνθα δ' ὑπαινεσίῃσι θεῶν πίσυρές περ ἐόντες
δούρατος ὠρέξαντο πελωρίου. οἷά τε πολλὰ
ῥαισθείσης κεκέδαστο, θοοῖς συναρηρότα γόμφοις.
καὶ τοὺς μὲν νῆσον δὲ παρὲξ ὀλίγον θανάτοιο
κύματα καὶ ῥιπαὶ ἀνέμου φέρον ἀσχαλόωντας.
αὐτίκα δ' ἐρράγη ὄμβρος ἀθέσφατος. ὗε δὲ πόντον
καὶ νῆσον, καὶ πᾶσαν ὅσην κατεναντία νήσου
νῆσόν τ' ἤπειρόν τε περαίης ἀγχόθι νήσου
χώρην Μοσσύνοικοι ὑπέρβιοι ἀμφενέμοντο.
τοὺς δ' ἅμυδις κρατερῷ σὺν δούρατι κύματος ὁρμὴ
υἷας Φρίξοιο μετ' ἠιόνας βάλε νήσου
νύχθ' ὑπὸ λυγαίην. τὸ δὲ μυρίον ἐκ Διὸς ὕδωρ
λῆξεν ἅμ' ἠελίῳ. τάχα δ' ἐγγύθεν ἀντεβόλησαν
ἀλλήλοις. ἄργος δὲ πρώτιστος ἔκφατο μῦθον.
53 Ἀντόμεθα πρὸς Ζηνὸς ἐποψίου οἵτινές ἐστε.
ἀνθρώπων εὐμενέειν τε καὶ ἀρκέσαι χατέουσι.
πόντῳ γὰρ τρηχεῖαι ἐπιβρίσασαι ἄελλαι
νηὸς ἀεικελίης διὰ δούρατα πάντ' ἐκέδασσαν.
ᾗ ἔνι τειρόμενοι ἅμ' ἐπὶ χρέος ἐμβεβαῶτες.
τοὔνεκα νῦν ὑμέας γουνάζομαι, αἴ κε πίθησθε
δοῦναι ὅσον τ' εἴλυμα περὶ χροὸς ἠδὲ κομίσσαι
ἀνέρας οἰκτείραντας ὁμήλικας ἐν κακότητι.
ἀλλ' ἱκέτας ξείνους Διὸς εἵνεκεν αἰδέσασθε.
ξεινίου ἱκεσίου τε Διὸς δ' ἄμφω ἱκέται τε

καὶ ξεῖνοι. ὁ δέ που ἐπόψιος ἄμμι τέτυκται.
τὸν δ' αὖτ' αἴσονος υἱὸς ἐπιφραδέως ἐρέεινε.
μαντοσύνας φινῆος ὀισσάμενος τελέεσθαι.
ταῦτα μὲν αὐτίκα πάντα παρέξομεν εὐμενέοντες.
ἀλλ' ἄγε μοι κατάλεξον ἐτήτυμον, ὅππη γαίης
ναίετε καὶ χρέος οἷον ὑπεὶρ ἅλα νεῖσθαι ἀνώγει.
αὐτῶν θ' ὑμείων ὄνομα κλυτὸν, ἠδὲ γενέθλην.
τὸν δ' ἄργος προσέειπεν ἀμηχανέων κακότητι.
αἰολίδην φίξον τιν' ἀφ' ἑλλάδος αἶαν ἱκέσθαι.
ἀτρεκέως δοκέω που ἀκούετε καὶ πάρος αὐτοὶ
φίξον. ὅ τις πτολίεθρον αἰήταο
κειοῦ ἐπεμβεβαώς. τόν ῥα χρύσειον ἔθηκεν
ἑρμείας. κῶας δὲ καὶ εἰσέτι νῦν κεν ἴδοισθε
πεπτάμενον λασίοισιν ἐπὶ δρυὸς ἀκρεμόνεσσι.
τὸν μὲν ἔπειτ' ἔρρεξεν ἑῆς ὑποθημοσύνῃσι
φυξίῳ ἐκ πάντων κρονίδῃ διί. καί μιν ἔδεκτο
αἰήτης μεγάρῳ. κούρην τέ οἱ ἐγγυάλιξε
χαλκιόπην ἀνάεδνον, ἐϋφροσύνῃσι νόοιο.
τῶν ἐξ ἀμφοτέρων εἰμὲν γένος. ἀλλ' ὁ μὲν ἤδη
γηραιὸς θάνε φίξος ἐν αἰήταο δόμοισιν.
ἡμεῖς δ' αὐτίκα πατρὸς ἐφετμάων ἀλέγοντες,
νεύμεθ' ἐς ὀρχομενὸν κτεάνων ἀθάμαντος ἕκητι.
εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις δεδαῆσθαι,
τῷδε κυτίσωρος πέλει οὔνομα. τῷδε δὲ φρόντις.
τῷδε μέλας. ἐμὲ δ' αὐτὸν ἐπικλείοιτέ κεν ἄργον,
Ὣς φάτ', ἀριστῆες δὲ συνηβολίῃ κεχάροντο.
καί σφεας ἀμφίεπον περιθαμβέες, αὐτὰρ ἰήσων
ἐξαῦτις κατὰ μοῖραν ἀμείψατο τοῖσδ' ἐπέεσσιν.

Ἦ ἄρα

Η ἄρα δὴ γνωτοὶ πατρώϊοι ἄμμιν ἐόντες
λίσσεσθ' εὐμενέοντας ἐπαρκέσαι κακότητα.
κρηθεὺς γάρ ῥ' ἀθάμας τε κασίγνητοι γεγάασι.
κρηθῆος δ' υἱωνὸς ἐγὼ σὺν τοῖσι δ' ἑταίροις
ἑλλάδος ἐξ αὐτῆς νέομ' ἐς πόλιν αἰήταο.
ἀλλὰ τὰ μὲν καὶ ἐσαῦτις ἐνίψομεν ἀλλήλοισι.
νῦν δ' ἕσσασθε πάροιθεν ὑπ' ἐννεσίῃσι δ' ὀΐω
ἀθανάτων ἐς χεῖρας ἐμὰς χατέοντας ἱκέσθαι.
Ηρα, καὶ ἐκ νηὸς δῶκέ σφιν εἵματα δῦναι.
πασσυδίῃ δ' ἤπειτα κίον μετὰ νηὸν ἄρηος
μῆλ' ἱρευσάμενοι. περὶ δ' ἐσχάρῃ ἐστήσαντο
ἐσσυμένως. ἥ τ' ἐκτὸς ἀνηρεφέος πέλε νηοῦ
στιάων. εἴσω δὲ μέλας λίθος ἠρήρειστο
ἱερός, ᾧ ποτε πᾶσαι ἀμαζόνες εὐχετόωντο.
οὐδέ σφιν θέμις ἦεν ὅτ' ἀντιπέρηθεν ἵκοιντο
μήλων τ' ἠδὲ βοῶν τῇδ' ἐσχάρῃ ἱρὰ καίειν.
ἀλλ' ἵππους δαίτρευον ἐπηετανὸν κομέουσαι.
αὐτὰρ ἐπεὶ ῥέξαντες ἐπαρτέα δαῖτα πάσαντο,
δὴ τότ' ἄρ' αἰσονίδης μετεφώνεεν ἦρχέ τε μύθων,
54 Ζεὺς αὐτὸς τὰ ἕκαστ' ἐπιδέρκεται. οὐδέ μιν ἄνδρες
λήθομεν ἔμπεδον οἵ τε θεουδέες οὐδὲ δίκαιοι.
ὡς μὲν γὰρ πατέρ' ὑμῖν ὑπεξείρυτο φόνοιο
μητρυιῆς. καὶ νόσφιν ἀπειρέσιον πόρεν ὄλβον.
ὣς δὲ καὶ ὑμέας αὖτις ἀπήμονας ἐξεσάωσε
χείματος οὐλομένοιο. πάρεστι δὲ τῆσδ' ἐπὶ νηὸς
ἔνθα καὶ ἔνθα νέεσθαι ὅπῃ φίλον. εἴτε μετ' αἶαν
εἴτε μετὰ φθίην θείου πόλιν ὀρχομενοῖο.
τὴν γὰρ ἀθηναίη τεχνήσατο καὶ τάμε χαλκῷ

δούρατα πηλιάδος κορυφῆς πέρι. σὺν δέ οἱ ἄργος
τεῦξεν. ἀτὰρ κείνην γε κακὸν διὰ κῦμ' ἐκέδασε
πρὶν καὶ πετράων σχεδὸν ἐλθεῖν. αἵ τ' ἐνὶ πόντῳ
στεινωπῷ συνίασι πανήμεροι ἀλλήλῃσιν.
ἀλλ' ἄγεθ' ὧδε καὶ αὐτοὶ ἐς ἑλλάδα μαιομένοισι
κῶας ἄγειν χρύσειον ἐπίρροθοι ἄμμι πέλεσθε.
καὶ πλόου ἡγεμονῆες. ἐπεὶ φρίξοιο θυηλὰς
στέλλομαι ἀμπλήσων ζηνὸς χόλον αἰολίδῃσιν.
ἴσκε παρηγορέων. οἱ δ' ἔστυγον εἰσαΐοντες.
οὐ γὰρ ἔφαν τεύξεσθαι ἐνηέος αἰήταο
κῶας ἄγειν κριοῖο μεμαότας. ὧδε δ' ἔειπεν
ἄργος ἀτεμβόμενος, τοῖον στόλον ἀμφιπένεσθαι.
Ω φίλοι ἡμέτερον μὲν ὅσον σθένος οὔποτ' ἀρωγῆς
σχήσεται, οὐδ' ἠβαιὸν ὅτε χρειώ τις ἵκηται.
ἀλλ' αἰνῶς ὀλοῇσιν ἀπηνείῃσιν ἄρηρεν
αἰήτης. τῶ καὶ περιδείδια ναυτίλλεσθαι.
στεῦται δ' ἠελίου γόνος ἔμμεναι. ἀμφὶ δὲ κόλχων
ἔθνεα ναιετάουσιν ἀπείρονα. καὶ δέ κεν ἄρει
σμερδαλέην ἐνοπὴν μέγα τε σθένος ἰσοφαρίζοι.
οὐ μὰν οὐδ' ἀπάνευθεν ἑλεῖν δέρος αἰήταο
ῥηίδιον. τοῖός μιν ὄφις περί τ' ἀμφί τ' ἔρυται
ἀθάνατος καὶ ἄυπνος, ὃν αὐτὴ γαῖ' ἀνέφυσεν
καυκάσου ἐν κνημοῖσι τυφαονίη ὅθι πέτρη.
ἔνθα τυφάονα φασὶ διὸς κρονίδαο κεραυνῷ
βλήμενον. ὁππότε οἱ στιβαρὰς ἐπορέξατο χεῖρας
θερμὸν ἀπὸ κρατὸς στάξαι φόνον. ἵκετο δ' αὔτως
οὔρεα καὶ πεδίον νυσήιον. ἔνθ' ἔτι νῦν περ
κεῖται ὑποβρύχιος στερβωνίδος ὕδασι λίμνης.

Ὣς ἄρ' ἔφη. πλέεσι δ' αὖθι χλόος εἷλε παρειάς
αὐτίκα τοῖον ἄεθλον ὅτ' ἔκλυον. αἶψα δὲ πηλεὺς
θαρσαλέως ἐπέεσσιν ἀμείψατο φώνησέν τε.
Μὴ δ' οὕτως ἠθεῖε λίην δειδίσσεο θυμῷ.
οὔτε γὰρ ὧδ' ἀλκὴν ἐπιδευόμεθ' ὥστε χερείους
ἔμμεναι αἰήταο σὺν ἔντεσι πειρηθῆναι.
ἀλλὰ καὶ ἡμέας οἴω ἐπισταμένους πολέμοιο
κεῖσε μολεῖν μακάρων σχεδὸν αἵματος ἐκγεγαῶτας.
τῷ εἰ μὴ φιλότητι δέρος χρύσειον ὀπάσσει,
οὔ οἱ χραισμήσειν ἐπέλπομαι ἔθνεα κόλχων.
Ὣς οἵ γ' ἀλλήλοισιν ἀμοιβαδὸν ἠγορόωντο.
μέσφ' αὖτις δόρποιο κορεσσάμενοι κατέδαρθεν.
ἦρι δ' ἀνεγρομένοισιν ἐϋκραὴς ἄεν οὖρος.
ἱστία δ' ἤειραν. τὰ δ' ὑπαὶ ῥιπῆς ἀνέμοιο
τείνετο. ῥίμφα δὲ νῆσον ἀπὸ προέλειπον ἄρηος.
νυκτὶ δ' ἐπιπλομένη φιλυρηΐδα νῆσον ἄμειβον.
ἔνθα μὲν οὐρανίδης φιλύρῃ κρόνος εὖτ' ἐν ὀλύμπῳ
τιτήνων ἤνασσεν. ὁ δὲ κρηταῖον ὑπ' ἄντρον
ζεὺς ἔτι κουρήτεσσι μετετρέφετ' ἰδαίοισιν.
ῥείην ἐξαπαφὼν παρελέξατο. τοὺς δ' ἐνὶ λέκτροις
τέτμε θεὰ μεσσηγύς. ὁ δ' ἐξ εὐνῆς ἀνορούσας
ἔσσυτο χαιτήεντι φυὴν ἐναλίγκιος ἵππῳ.
ἡ δ' αἰδοῖ χῶρόν τε καὶ ἤθεα κεῖνα λιποῦσα
ὠκεανὶς φιλύρη, εἰς οὔρεα μακρὰ πελασγῶν
ἐνθ' ἵνα δὴ χείρωνα πελώριον. ἄλλα μὲν ἵππῳ
ἄλλα θεῷ ἀτάλαντον ἀμοιβαίῃ τέκεν εὐνῇ.
κεῖθεν δ' αὖ μάκρωνας, ἀπειρεσίην τε βεχείρων
γαῖαν, ὑπερφιάλους τε παρεξενέοντο σάπειρας,

βυζῆράς τ' ἠδὲ τοῖσιν ἐπιπρὸ γὰρ αἰὲν ἔτεμνον
ἐσσυμένως λιαροῖο φορεύμενοι ἐξ ἀνέμοιο.
καὶ δὴ νισσομένοισι μυχὸς διεφαίνετο πόντου.
56 καὶ δὴ καυκασίων ὀρέων ἀνέτελλον ἐρίπναι
ἠλίβατοι. τόθι γυῖα περὶ στυφελοῖσι πάγοισιν
ἰλλόμενος χαλκέῃσιν ἀλυκτοπέδῃσι προμηθεὺς
αἰετὸν ἥπατι φέρβε παλιμπετὲς ἀΐσσοντα.
τὸν μὲν ἐπ' ἀκροτάτης ἴδον ἕσπερον ὀξέϊ ῥοίζῳ
νηὸς ὑπερπτάμενον νεφέων σχεδόν. ἀλλὰ καὶ ἔμπης
λαίφεα πάντ' ἐτίναξε παραιθύξας πτερύγεσσιν.
οὐ γὰρ ὅγ' αἰθερίοιο φυὴν ἔχεν οἰωνοῖο.
ἶσα δ' ἐυξέστοις ὠκύπτερα πάλλεν ἐρετμοῖς.
δηρὸν δ' οὐ μετέπειτα πολύστονον ἄϊον αὐδὴν
ἧπαρ ἀνελκομένοιο προμηθέος. ἔκτυπε δ' αἰθὴρ
οἰμωγῇ. μέσφ' αὖτις ἀπ' οὔρεος ἀΐσσοντα
αἰετὸν ὠμηστὴν αὐτὴν ὁδὸν εἰσενόησαν.
ἐννύχιοι δ' ἄργοιο δαημοσύνῃσιν ἵκοντο
φᾶσίν τ' εὐρυρέοντα καὶ ἔσχατα πείρατα πόντου.
αὐτίκα δ' ἱστία μὲν καὶ ἐπίκριον ἔνδοθι κοίλης
ἱστοδόκης στείλαντες ἐκόσμεον. ἐν δὲ καὶ αὐτὸν
ἱστὸν ἄφαρ χαλάσαντο παρακλιδόν. ὦκα δ' ἐρετμοῖς
εἰσέλασαν ποταμοῖο μέγαν ῥόον. αὐτὰρ ὁ πάντῃ
καχλάζων ὑπόεικεν. ἔχον δ' ἐπ' ἀριστερὰ χειρῶν
καύκασον αἰπήεντα. κυταιΐδα τε πτόλιν αἴης.
ἔνθεν δ' αὖ πεδίον τ' ἀρήϊον ἱρά τ' ἄλση
τοῖο θεοῦ. τόθι κῶας ὄφις εἴρυτο δοκεύων
πεπτάμενον λασίοισιν ἐπὶ δρυὸς ἀκρεμόνεσσιν.
αὐτὸς δ' αἰσονίδης χρυσέῳ ποταμόνδε κυπέλλῳ

οἴνου

οἴνου ἀκηρασίοιο μελισταγέας χέε λοιβάς.
57 Γαίῃ τ' ἐνναέταις τε θεοῖς, ψυχαῖς τε καμόντων
ἡρώων. γουνοῦτο δ' ἀπήμονας εἶν ἀρωγοὺς
εὐμενέως. καὶ νηὸς ἐναίσιμα πείσματα δέχθαι.
αὐτίκα δ' ἀγκαῖος τοῖον μετὰ μῦθον ἔειπεν,
κολχίδα μὲν δὴ γαῖαν ἱκάνομεν, ἠδὲ ῥέεθρα
φάσιδος. ὥρη δ' ἡμῖν ἐνὶ σφίσι μητιάασθαι.
εἴτ' οὖν μειλιχίῃ πειρησόμεθ' αἰήταο,
εἴτε καὶ ἀλλοίη τις ἐπήβολος ἔσσεται ὁρμή.
ὣς ἔφατ'. ἄργου δ' αὖτε παρηγορίῃσιν ἰήσων
ὑψόθι νῆ' ἐκέλευσεν ἐπ' εὐναίῃσιν ἐρύσσαι.
δάσκιον εἰσελάσαντας, ἕλος τὸ δ' ἐπισχεδὸν ἦεν
νισσομένων, ἔνθ' οἵγε διὰ κνέφας ηὐλίζοντο.
ἠὼς δ' οὐ μετὰ δηρὸν ἐελδομένοισι φαάνθη.

Ἀπολλωνίου ῥοδίου Ἀργοναυτικῶν
δευτέρου, τέλος.

# ΑΠΟΛΛΩ
## ΝΙΟΥ ΡΟΔΙΟΥ ΑΡΓΟΝΑΥ
## ΤΙΚΩΝ ΤΡΙΤΟΝ.

1 Εἰ δ' ἄγε νῦν ἐρατὼ παρά θ' ἵστα-
σο, καί μοι ἔνισπε
ἔνθεν ὅπως ἐς ἰωλκὸν ἀνήγαγε
κῶας ἰήσων
Μηδείης ὑπ' ἔρωτι. σὺ γὰρ καὶ
κύπριδος αἶσαν
ἔμμορες, ἀδμῆτας δὲ τεοῖς μελε-
δήμασι θέλγεις
παρθενικάς. τῷ καί τοι ἐπήρατον οὔνο-
μα ἀνῆπται.
Ὣς οἱ μὲν πυκινοῖσιν ἀνωΐστως δονάκεσσι
μίμνον ἀριστῆες λελοχημένοι. αἱ δ' ἐνόησαν
ἥρη ἀθηναίη τε. διός δ' αὐτοῖο καὶ ἄλλων
ἀθανάτων ἀπὸ νόσφι θεῶν, θάλαμόν δὲ κιοῦσαι
βούλευον. πείραζε δ' ἀθηναίην πάρος ἥρη.
αὐτὴ νῦν προτέρη θύγατερ διὸς ἄρχεο βουλῆς.
τί χρέος, ἠὲ δόλον τινὰ μήσεαι, ᾧ κεν ἑλόντες
χρύσεον αἰήταο μεθ' ἑλλάδα κῶας ἄγοιντο.

ἢ καὶ τόνγ' ἐπέεσσι παραιφάμεναι πεπίθοιεν
μειλιχίοις. ἦ μὲν γὰρ ὑπερφίαλος πέλει αἰνῶς.
ἔμπης δ' οὔ τινα πεῖραν ἀποτρωπᾶσθαι ἔοικεν.
Ὣς φάρ· τὴν δὲ παράσσον ἀθηναίη προσέειπε·
καὶ δ' αὐτὴν ἐμὲ τοῖα μετὰ φρεσὶν ὁρμαίνουσαν
ἥρη ἀπηλεγέως ἐξείρεαι. ἀλλά τοι οὔπω
φράσσασθαι νοέω τοῦτον δόλον ὅστις ὀνήσει
θυμὸν ἀριστήων. πολέας δ' ἐπεδοίασα βουλάς.
Ἦ, καὶ ἐπ' οὔδεος αἵγε ποδῶν πάρος ὄμματ' ἔπηξαν,
ἄνδιχα πορφύρουσαι ἐνὶ σφίσιν. αὐτίκα δ' ἥρη
τοῖον μητιόωσα παροιτέρη ἔκφατο μῦθον.
δεῦρ' ἴομεν μετὰ κύπριν. ἐπιπλόμεναι δέ μιν ἄμφω
παιδὶ ἑῷ εἰπεῖν ὀτρύνομεν αἴ κε πίθηται
κούρην αἰήταο πολυφάρμακον οἷσι βέλεσσι
θέλξαι ὀιστεύσασ' ἐπ' ἰήσονι. τὸν δ' ἂν ὀίω
κείνης ἐννεσίῃσιν ἐς ἑλλάδα κῶας ἀνάξειν.
Ὣς ἄρ' ἔφη. πυκινὴ δὲ συνεύαδε μῆτις ἀθήνῃ.
καί μιν ἔπειτ' ἐξαῦτις ἀμείβετο μειλιχίοισιν.
ἥρη. νήιδα μέν με πατὴρ τέκε τοῖο βολάων.
οὐδέ τινα χρειὼ θελκτήριον οἶδα πόθοιο.
εἰ δέ σοι αὐτῇ μῦθος ἐφανδάνει, ἦ τ' ἂν ἔγωγε
ἑσποίμην, σὺ δέ κεν φαίης ἔπος ἀντιόωσα.
Ἦ, καὶ ἀναΐξασαι ἐπὶ μέγα δῶμα νέοντο
κύπριδος, ὅ ῥά τέ οἱ δεῖμεν πόσις ἀμφιγυήεις.
ὁππότε μιν τὰ πρῶτα παραὶ διὸς ἦγεν ἄκοιτιν.
ἕρκεα δ' εἰσελθοῦσαι ὑπ' αἰθούσῃ θαλάμοιο
ἔσταν. ἵν' ἔντυνεσκε θεὰ λέχος ἡφαίστοιο.
ἀλλ' ὁ μὲν ἐς χαλκεῶνα καὶ ἄκμονας ἦρι βεβήκει,
νήσοιο

νήσοιο πλαγκτῆς εὐρὺν μυχόν. ᾧ ἔνι πάντα
δαίδαλα χαλκεύεσκε ῥιπῇ πυρός. οὐδ' ἄρα μούνη
ἧστο δόμῳ. δινωτὸν ἀνὰ θρόνον ἄντα θυράων
λευκοῖσιν δ' ἑκάτερθε κόμας ἐπιειμένη ὤμοις
κόσμει χρυσείῃ διὰ κερκίδι. μέλλε δὲ μακροὺς
πλέξασθαι πλοκάμους. τὰς δὲ προπάροιθεν ἰδοῦσα
ἔσχεθεν. εἴσω τέ σφ' ἐκάλει καὶ ἀπὸ θρόνου ὦρτο.
εἷσέ τ' ἐνὶ κλισμοῖσιν. ἀτὰρ μετέπειτα καὶ αὐτὴ
ἵζανεν. ἀψήκτους δὲ χεροῖν ἀνεδήσατο χαίτας.
τοῖα δὲ μειδιόωσα προσέννεπεν αἱμυλίοισιν.

Ἠθεῖαι. τίς δεῦρο νόος χρειώ τε κομίζει
δηναιὰς αὔτως τόδ' ἱκάνετον. οὔ τι πάρος γε
λίην φοιτίζουσαι. ἐπεὶ περίεστε θεάων.
τὴν δ' Ἥρη τοίοισιν ἀμειβομένη προσέειπεν.
κερτομέεις. νῶιν δὲ κέαρ συνορίνεται ἄτῃ.
ἤδη γὰρ ποταμῷ ἐνὶ Φάσιδι νῆα κατίσχει
αἰσονίδης, ἠδ' ἄλλοι ὅσοι μετὰ κῶας ἕπονται.
τῶν ἤτοι πάντων μὲν, ἐπεὶ πέλας ἔργον ὄρωρεν.
δείδιμεν ἐκπάγλως, περὶ δ' αἰσονίδαο μάλιστα.
τὸν μὲν ἐγὼν εἰ καί περ ἐς Ἄϊδα ναυτίλληται
λυσόμενος χαλκέων ἰξίονα νειόθι δεσμῶν
ῥύσομαι, ὅσσον ἐμοῖσιν ἐνὶ σθένος ἔπλετο γυίοις.
ὄφρα μὴ ἐγγελάσῃ πελίης κακὸν οἶτον ἀλύξας.
ὅς μ' ὑπερηνορέῃ θυέων ἀγέραστον ἔθηκεν.
καὶ δ' ἄλλως ἔτι καὶ πρὶν ἐμοὶ μέγα φίλατ' ἰήσων.
ἐξ ὅτ' ἐπὶ προχοῇσιν ἅλις πλήθοντος ἀναύρου,
ἀνδρῶν εὐνομίης πειρωμένη ἀντεβόλησεν
θήρης ἐξανιών. νιφετῷ δ' ἐπαλύνετο πάντα

οὔρεα καὶ σκοπιὰς περιμήκεας. οἱ δὲ κατ' αὐτῶν
χείμαρροι καναχηδὰ κυλινδόμενοι φορέονται.
γρηὶ δέ μ' εἰσαμένην ὀλοφύρατο. καί μ' ἀναείρας
αὐτὸς ἑοῖς ὤμοισι διὲκ προαλὲς φέρεν ὕδωρ.
τῷ νῦν μοι ἄληκτον περιτίεται. οὐδέ κε λώβην
τίσειεν πελίης, εἰ μὴ σύ γε νόστον ὀπάσσῃς.
Ὡς ηὔδα. κύπριν δ' ἐνεοστασίη λάβε μύθων.
ἅζετο δ' ἀντομένην ἥρην ἕθεν εἰσορόωσα.
καί μιν ἔπειτ' ἀγανοῖσι προσέννεπεν ἥγ' ἐπέεσσι.
πότνα θεά. μή τοι τι κακώτερον ἄλλο πέλοιτο
κύπριδος. εἰ δὴ σεῖο λιλαιομένης ἀθερίζω
ἢ ἔπος, ἠέ τι ἔργον, ὅ κεν χέρες αἵγε κάμοιεν
ἠπεδαναί. καὶ μή τις ἀμοιβαίη χάρις ἔστω.
Ὡς ἔφαθ'. ἥρη δ' αὖτις ἐπιφραδέως ἀγόρευσεν.
οὔτι βίης χατέουσαι ἱκάνομεν, οὐδέ τι χειρῶν.
ἀλλ' αὔτως ἀκέουσα τεῷ ἐπικέκλεο παιδὶ
παρθένον αἰήτεω θέλξαι πόθῳ αἰσονίδαο.
εἰ γάρ οἱ κείνη συμφράσεται εὐμενέουσα,
ῥηιδίως μιν ἑλόντα δέρος χρύσειον ὀίω
νοστήσειν ἐς ἰωλκὸν, ἐπεὶ δολόεσσα τέτυκται.
Ὡς ἄρ' ἔφη. κύπρις δὲ μετ' ἀμφοτέρῃσιν ἔειπεν.
ἥρη ἀθηναίη τε, πίθοιτό κεν ὔμμι μάλιστα
ἢ ἐμοί. ὑμείων γὰρ ἀναιδήτῳ περ ἐόντι,
τυτθή γ' αἰδὼς ἔσσετ' ἐν ὄμμασιν. αὐτὰρ ἐμεῖο
οὐκ ὄθεται, μάλα δ' αἰὲν ἐριδμαίνων ἀθερίζει.
καὶ δή οἱ μενέηνα περισχομένη κακότητι
αὐτοῖσιν τόξοισι δυσηχέας ἆξαι ὀιστοὺς
ἀμφαδίην. τοῖον γὰρ ἐπηπείλησε χαλεφθείς.

εἰ μὴ τηλόθι χεῖρας ἔχουσ' ἔτι θυμὸν ἐρύκει
ἔξω ἐμάς. μετέπειτά γ' ἀτεμβοίμην ἑοῖ αὐτῇ.
Ὡς φάτο. μείδησαν δὲ θεαὶ καὶ ἐσέδρακον ἄντην
ἀλλήλας. ἡ δ' αὖτις ἀκηχεμένη προσέειπεν.
ἄλλοις ἄλγεα τἀμὰ γέλως πέλει. οὐδέ τί με χρὴ
μυθεῖσθαι πάντεσσιν, ἅλις εἰδυῖα καὶ αὐτή.
νῦν δ' ἐπεὶ ὔμμι φίλον τόδε δὴ πέλει ἀμφοτέρῃσι,
πειρήσω. καί μιν μειλίξομαι, οὐδ' ἀπιθήσει.
6 Ὡς φάτο. τὴν δ' Ἥρη ῥαδινῆς ἐπεμάσσατο χερός.
ἦκα δὲ μειδιόωσα παραβλήδην προσέειπεν.
οὕτω νῦν κυθέρεια τόδε χρέος ὡς ἀγορεύεις
ἔρξον ἄφαρ. καὶ μή τι χαλέπτεο. μηδ' ἐρίδαινε
χωομένη σῷ παιδί. μεταλλήξει γὰρ ὀπίσω.
Ἦ ῥα καὶ ἔλλιπε θῶκον. ἐφωμάρτησε δ' Ἀθήνη.
ἐκ δ' ἴσαν ἄμφω ταίγε παλίσσυτοι. ἣ δὲ καὶ αὐτὴ
βῆ ῥ' ἴμεν οὐλύμποιο κατὰ πτύχας εἴ μιν ἐφεύροι.
εὗρε δὲ τόν γ' ἀπάνευθε διὸς θαλερῇ ἐν ἀλωῇ.
οὐκ οἶον. μετὰ καὶ γανυμήδεα. τόν ῥά ποτε Ζεὺς
οὐρανῷ ἐγκατένασσεν ἐφέστιον ἀθανάτοισιν,
κάλλεος ἱμερθείς. ἀμφ' ἀστραγάλοισι δὲ τώγε
χρυσείοις, ἅτε κοῦροι ὁμήθεες ἑψιόωντο.
καί ῥ' ὁ μὲν ἤδη πάμπαν ἐνίπλεον ᾧ ὑπὸ μαζῷ
μάργος ἔρως λαιῆς ὑποΐσχανε χειρὸς ἀγοστῷ
ὀρθὸς ἐφεστηκώς. γλυκερὸν δέ οἱ ἀμφὶ παρειὰς
χροιῇ θάλλεν ἔρυθος. ὁ δ' ἐγγύθεν ὀκλαδὸν ἧστο
σῖγα κατηφιόων. δοιὼ δ' ἔχεν ἄλλον ἔτ' αὔτως
ἄλλῳ ἐπιπροϊείς. κεχόλωτο δὲ καγχαλόωντι
καὶ μὴν τούς γε παρᾶσον ἐπὶ προτέροισιν ὀλέσας

ἔτι, κενεαῖς σὺν χερσὶν ἀμήχανος, οὐδ' ἐνόησε
κύπριν ἐπιπλομένην. ἡ δ' ἀντίη ἵστατο παιδός,
καί μιν ἄφαρ γναθμοῖο κατασχομένη προσέειπε.
7 Τίπτ' ἐπιμειδιάεις ἄφατον κακόν. ἦέ μιν αὔτως
ἤπαφες, οὐδὲ δίκῃ περιέπλεο νῆιν ἐόντα.
εἰ δ' ἄγε μοι πρόφρων τέλεσον χρέος ὅττι κεν εἴπω.
καί κέν τοι ὀπάσαιμι Διὸς περικαλλὲς ἄθυρμα,
κεῖνο τό οἱ ποίησε φίλη τροφὸς Ἀδρήστεια.
ἄντρῳ ἐν Ἰδαίῳ ἔτι νήπια κουρίζοντι,
σφαῖραν ἐυτρόχαλον, τῆς οὐ σύ γε μείλιον ἄλλο
χειρῶν Ἡφαίστοιο κατακτεατίσῃ ἄρειον.
χρύσεα μέν οἱ κύκλα τετεύχαται. ἀμφὶ δ' ἑκάστῳ
διπλόαι ἁψῖδες περιηγέες εἱλίσσονται.
κρυπταὶ δὲ ῥαφαί εἰσιν. ἕλιξ δ' ἐπιδέδρομε πάσαις
κυανέη. ἀτὰρ εἴ μιν ἑαῖς ἐνὶ χερσὶ βάλοιο.
ἀστὴρ ὣς φλεγέθοντα δι' ἠέρος ὁλκὸν ἵησι,
τήν τοι ἐγὼν ὀπάσω. σὺ δὲ παρθένον Αἰήταο
θέλξον ὀιστεύσας ἐπ' Ἰήσονι. μηδέ τις ἔστω
ἀμβολίη. δὴ γάρ κεν ἀφαυροτέρη χάρις εἴη.
Ὣς φάτο. τῷ δ' ἀσπαστὸν ἔπος γένετ' εἰσαΐοντι.
μείλια δ' ἔκβαλε πάντα, καὶ ἀμφοτέρῃσι χιτῶνος
νωλεμὲς ἔνθα καὶ ἔνθα θεᾶς ἔχεν ἀμφιμεμαρπώς.
λίσσετο δ' αἶψα πορεῖν αὐτοσχεδόν. ἡ δ' ἀγανοῖσιν
ἀντομένη μύθοισιν ἐπειρύσασα παρειάς,
κύσσε ποτισχομένη, καὶ ἀμείβετο μειδιόωσα.
ἴστω νῦν τόδε σεῖο φίλον κάρη ἠδ' ἐμὸν αὐτῆς,
ἦ μέν τοι δῶρόν γε παρέξομαι, οὐδ' ἀπατήσω,
εἴ κεν ἐνισκίμψῃς κούρῃ βέλος Αἰήταο.

φῆ,

φῆ. ὁ δ' ἄρ' ἀστραγάλους συναμήσατο. κὰδ δὲ φαεινῷ
μητρὸς ἑῆς εὖ πάντας ἀριθμήσας βάλε κόλπῳ.
αὐτίκα δ' ἰοδόκην χρυσέῃ περικάτθετο μίτρῃ,
πρέμνῳ κεκλιμένην. ἀνὰ δ' ἀγκύλον εἵλετο τόξον.
βῆ δὲ διὲκ μεγάροιο Διὸς πάγκαρπον ἀλωήν.
αὐτὰρ ἔπειτα πύλας ἐξήλυθεν οὐλύμποιο
αἰθερίας. ἔνθεν δὲ καταιβάτις ἐστὶ κέλευθος
οὐρανίη. δοιὼ δὲ πόλοι ἀνέχουσι κάρηνα
οὐρέων ἠλιβάτων. κορυφαὶ χθονὸς ἧχι τ' ἀερθεὶς
ἠέλιος πρώτῃσιν ἐρεύθεται ἀκτίνεσσι.
νειόθι δ' ἄλλοτε γαῖα φερέσβιος, ἄστεα τ' ἀνδρῶν
φαίνετο, καὶ ποταμῶν ἱεροὶ ῥόοι. ἄλλοτε δ' αὖτε
ἄκριες. ἀμφὶ δὲ πόντος ἐν αἰθέρι πολλὸν ἰόντι.
8 Ἥρωες δ' ἀπάνευθεν ἑῆς ἐπὶ σέλμασι νηὸς
ἐν ποταμῷ καθ' ἕλος λελοχημένοι ἠγορόωντο.
αὐτὸς δ' αἰσονίδης μετεφώνεεν. οἱ δ' ὑπάκουον.
ἠρέμα ᾗ ἐνὶ χώρῃ ἐπισχερὼ ἑδριόωντες.
Ὦ φίλοι, ἤτοι ἐγὼ μὲν ὅ μοι ἐπιανδάνει αὐτῷ,
ἐξερέω, τοῦ δ' ὔμμι τέλος κρηῆναι ἔοικεν.
ξυνὴ γὰρ χρειώ. ξυνοὶ δέ τε μῦθοι ἔασι
πᾶσιν ὁμῶς. ὁ δὲ σῖγα νόον βουλήν τ' ἀπερύκων,
ἴστω καὶ νόστου τόνδε στόλον οἶος ἀπούρας.
ὧλλοι μὲν κατὰ νῆα σὺν ἔντεσι μίμνεθ' ἕκηλοι.
αὐτὰρ ἐγὼν ἐς δώματ' ἐλεύσομαι αἰήταο
υἷας ἑλὼν Φρίξοιο. δύω δ' ἐπὶ τοῖσιν ἑταίρους.
πειρήσω δ' ἐπέεσσι παροίτερον ἀντιβολήσας,
εἴ κ' ἐθέλοι φιλότητι δέρος χρύσειον ὀπάσσαι,
ἦε καὶ οὔ. πίσυνος δὲ βίῃ μετιόντας ἀτίσσει.

ὧδε γὰρ ἐξ αὐτοῖο πάρος κακότητα δαέντες,
φρασσόμεθ' εἴτ' ἄρηϊ συνοισόμεθ' εἴτε τις ἄλλη
μῆτις ἐπίρροθος ἔσται ἐεργομένοισιν ἀϋτῆς.
μὴ δ' αὔτως ἀλκῇ πρὶν ἔπεσί τε πειρηθῆναι,
τόνδ' ἀπαμείρωμεν σφέτερον κτέρας. ἀλλὰ πάροι
λωίτερον μύθῳ μιν ἀρέσασθαι μετιόντας. (θε
πολλάκι τοι ῥέα μῦθος ὅ κεν μόγις ἐξανύσειεν
ἠνορέη τόδ' ἔρεξε κατὰ χρέος, ᾗ περ ἐῴκει
πρηΰνας. ὁ δὲ καὶ ποτ' ἀμύμονα φρίξον ἔδεκτο
μητρυιῆς φεύγοντα δόλον, πατρός τε θυηλάς.
πάντες ἐπεὶ πάντῃ, καὶ ὅτις μάλα κύντατος ἀνδρῶν
ξεινίου αἰδεῖται ζηνὸς θέμιν ἠδ' ἀλεγίζει.
Ως φάτ'. ἐπῄνεσαν δὲ νέοι ἔπος αἰσονίδαο
πασσυδίη. οὐδ' ἔσκε παρὲξ ὅτις ἄλλο κελεύοι.
καὶ τότ' ἄρ' υἱῆας φρίξου τελαμῶνα θ' ἕπεσθαι
ὦρσε καὶ αὐγείην. αὐτὸς δ' ἕλεν ἑρμείαο
σκῆπτρον. ἄφαρ δ' ἀνὰ νηὸς ὑπὲρ δόνακάς τε καὶ
χέρσονδ' ἐξαπέβησαν ἐπὶ θρωσμοῦ πεδίοιο. (ὕδωρ
κιρκαῖον τό δέ που κικλήσκεται. ἔνθα δὲ πολλαὶ
ἑξείης πρόμαλοί τε καὶ ἰτέαι ἐκπεφύασιν.
τῶν καὶ ἐπ' ἀκροτάτων νέκυες σειρῇσι κρέμανται
δέσμιοι εἰσέτι. νῦν γὰρ ἄγος κόλχοισιν ὄρωρεν
ἀνέρας οἰχομένους πυρὶ καιέμεν. οὐδ' ἐνὶ γαίῃ
ἔστι θέμις στείλαντας ὕπερθ' ἐπὶ σῆμα χέεσθαι.
ἀλλ' ἐν ἀδεψήτοισι κατειλύσαντε βοείαις,
δενδρέων ἐξάπτειν ἑκὰς ἄστεος. ἠέρι δ' ἴσην
καὶ χθὼν ἔμμορεν αἶσαν ἐπεὶ χθονὶ ταρχύουσι
θηλυτέρας. ἢ γάρ κε δίκη θεσμοῖο τέτυκται.

τοῖσι δ' ἐνισσομένοις ἥρη φίλα μητιόωσα
ἠέρα πουλὺν ἐφῆκε δι' ἄστεος, ὄφρα λάθοιεν
κόλχων μυρίον ἔθνος ἐς αἰήταο κιόντες.
ὦκα δ' ὅτ' ἐκ πεδίοιο πόλιν καὶ δώμαθ' ἵκοντο
αἰήτεω, τότε δ' αὖτις ἀπεσκέδασε νέφος ἥρη.
ἔσταν δ' ἐν προμολῇσι τεθηπότες ἕρκε' ἄνακτος.
εὐρείας τε πύλας καὶ κίονας, οἳ περὶ τοίχους
ἑξείης ἄνεχον. θριγκός δ' ἐφύπερθε δόμοιο
λαΐνεος χαλκείαις ἐπὶ γλυφίδεσσιν ἀρήρει.
εὔκηλοι δ' ὑπὲρ οὐδὸν ἔπειτ' ἔβαν. ἄγχι δὲ τοῖο
ἡμερίδες χλοεροῖσι καταστεφέες πετάλοισιν
ὑψοῦ ἀειρόμεναι μέγ' ἐθήλεον. αἱ δ' ὑπὸ τῇσιν
ἀέναοι κρῆναι πίσυρες ῥέον, ἃς ἐλάχηνεν
ἥφαιστος. καί ῥ' ἡ μὲν ἀναβλύεσκε γάλακτι,
ἡ δ' οἴνῳ, τριτάτη δὲ θυώδεϊ νᾶεν ἀλοιφῇ.
ἡ δ' ἄρ' ὕδωρ προρέεσκε. τὸ μέν ποθι δυομένῃσιν
θέρμετο πληϊάδεσσιν. ἀμοιβηδὶς δ' ἀνιούσαις
κρυστάλλῳ ἴκελον κοίλης ἀνεκήκιε πέτρης.
τοῖ' ἄρ' ἐνὶ μεγάροισι κυταιέος αἰήταο
τεχνήεις ἥφαιστος ἐμήσατο θέσκελα ἔργα. (ων
καί οἱ χαλκόποδας ταύρους κάμε. χάλκεα δέ σφε
ἦν στόματ'. ἐκ δὲ πυρὸς δεινὸν σέλας ἀμπνείεσκον.
πρὸς δὲ καὶ αὐτόγυον στιβαροῦ ἀδάμαντος ἄροτρον
ἤλασεν ἠελίῳ τίνων χάριν. ὅς ῥά μιν ἵπποις
δέξατο φλεγραίῃ κεκμηκότα δηϊοτῆτι.
ἔνθα δὲ καὶ μέσαυλος ἐλήλατο. τῇ δ' ἐπὶ πολλαὶ
δικλίδες εὐπηγεῖς, θάλαμοί τ' ἔσαν ἔνθα καὶ ἔνθα.
δαιδαλέη δ' αἴθουσα παρὲξ ἑκάτερθε τέτυκτο.

Λέσχαις δ' αἰπύτεροι δόμοι ἕστασαν ἀμφοτέρωθεν·
τῶν ἤτοι ἄλλον μὲν ὅ τις καὶ ὑπείροχος ἦεν
κρείων Αἰήτης σὺν ἑῇ ναίεσκε δάμαρτι.
ἄλλῳ δ' Ἄψυρτος ναῖεν πάις Αἰήταο.
τὸν μὲν Καυκασίη νύμφη τέκεν Ἀστερόδεια,
πρίν περ κουριδίην θέσθαι Ἰδυῖαν ἄκοιτιν
Τηθύος ὠκεανοῦ τε πανοπλοτάτην γεγαυῖαν.
καί μιν Κόλχων υἷες ἐπωνυμίην Φαέθοντα
ἔκλεον, οὕνεκα πᾶσι μετέπρεπεν ἠιθέοισι.
τοὺς δ' ἔχον ἀμφίπολοί τε καὶ Αἰήταο θύγατρες
ἄμφω Χαλκιόπη Μήδειά τε. τὴν μὲν ἄρ' οἵγε
ἐκ θαλάμου θαλαμόνδε κασιγνήτην μετιοῦσαν.
Ἥρη γάρ μιν ἔρυκε δόμῳ· πρὶν δ' οὔ τι θάμιζεν
ἐν μεγάροις. Ἑκάτης δὲ πανήμερος ἀμφεπονεῖτο
νηόν, ἐπεί ῥα θεῆς αὐτὴ πέλεν ἀρήτειρα.
καί σφεας ὡς ἴδεν ἆσσον, ἀνίαχεν. ὀξὺ δ' ἄκουσε
Χαλκιόπη. δμωαὶ δὲ ποδῶν προπάροιθε βαλοῦσαι
νήματα καὶ κλωστῆρας ἀολλέες ἔκτοθι πᾶσαι
ἔδραμον. ἡ δ' ἅμα τοῖσιν ἑοὺς υἷας ἰδοῦσα,
ὑψοῦ χάρματι χεῖρας ἀνέσχεθεν. ὣς δὲ καὶ αὐτοὶ
μητέρα δεξιόωντο, καὶ ἀμφαγάπαζον ἰδόντες,
γηθόσυνοι. τοῖον δὲ κινυρομένη φάτο μῦθον.
Ἔμπης οὐκ ἄρ' ἐμέλλετ' ἀκηδείῃ με λιπόντες
τηλόθι πλάγξασθαι. μετὰ δ' ὑμέας ἔτραπεν αἶσα.
δειλὴ ἐγώ, οἷον πόθον Ἑλλάδος ἔκποθεν ἄτης
λευγαλέης Φρίξοιο ἐφημοσύνῃσι νέεσθαι
πατρός. ὁ μὲν θνήσκων στυγερὰς ἐπετείλατ' ἀνίας
ἡμετέρῃ κραδίῃ, τί δέ κεν πόλιν Ὀρχομενοῖο

ὅς τις

ἐν τισ' ὅτ' ὀρχομενὸν δ' ὅσ κτεάνων ἀθάμαντος ἐπι
μητέρ' ἐὴν· χήρωσαν ἀτερ προλιπόντες ἵκοισθε.
Ὣς ἔφατ'. αἰήτης δὲ πανύστατος ὦρτο θύραζε.
ἐκ δ' αὐτὴ εἰδυῖα δάμαρ κίεν αἰήταο
χαλκιόπης ἀίουσα. τάχα δ' αὐτίκα πᾶν ὁμάδοιο
ἕρκος ἐπεπλήθει. τοὶ μὲν μέγαν ἀμφεπένοντο
ταῦρον ἅλις δμῶες. τοὶ δὲ ξύλα κάγκανα χαλκῷ
κόπτον. τοὶ δὲ λοετρὰ πυρὶ ζέον. οὐδέ τις ἦεν,
ὃς καμάτου μεθίεσκεν ὑποδρήσσων βασιλῆϊ.
τόφρα δ' ἔρως πολιοῖο δι' ἠέρος ἷξεν ἄφαντος
τετρηχὼς οἷόν τε νέαις ἐπὶ φορβάσιν οἶστρος
τέλλεται ὅν τε μύωπα βοῶν κλείουσι νομῆες.
ὦκα δ' ὑπὸ φλοιὴν προδόμῳ ἔνι τόξα τανύσσας
ἰοδόκης ἀβλῆτα πολύστονον ἐξέλετ' ἰόν.
ἐκ δ' ὅγε καρπαλίμοισι λαθὼν ποσὶν οὐδὸν ἄμειψεν
ὀξέα δενδίλλων αὐτῷ δ' ὑπὸ βαιὸς ἐλυσθεὶς
αἰσονίδῃ γλυφίδας μέσσῃ ἐνικάτθετο νευρῇ.
ἰθὺς δ' ἀμφοτέρῃσι διασχόμενος παλάμῃσιν
ἧκ' ἐπὶ μηδείῃ. τὴν δ' ἀμφασίη λάβε θυμόν.
αὐτὸς δ' ὑψορόφοιο παλιμπετὲς ἐκ μεγάροιο
καγχαλόων ἤϊξε βέλος δ' ἐνεδαίετο κούρῃ
νέρθεν ὑπὸ κραδίῃ πυρὶ ἴκελον. αὐτία δ' αἰεὶ
βάλλεν ὑπ' αἰσονίδην ἀμαρύγματα. καί οἱ ἄηντο
στηθέων ἐκ πυκιναὶ καμάτῳ φρένες, οὐδέ τιν' ἄλλην
μνῆστιν ἔχεν. γλυκερῇ δὲ κατείβετο θυμὸν ἀνίῃ.
12 Ὡς δὲ γυνὴ μαλερῷ περὶ κάρφεα χεύατο δαλῷ
χερνῆτις. τῇπερ ταλασήϊα ἔργα μέμηλεν.
ὥς κεν ὑπωρόφιον νύκτωρ σέλας ἐντύναιτο

ἄγχι μάλ' ἐγρομένη. τὸ δ' ἀθέσφατον ἐξ ὀλίγοιο
δαλοῦ ἀνεγρόμενον σὺν κάρφεα πάντ' ἀμαθύνει,
τοῖος ὑπὸ κραδίῃ εἰλυμένος αἴθετο λάθρῃ
οὖλος ἔρως. ἁπαλὰς δὲ μετετρωπᾶτο παρειὰς
ἐς χλόον, ἄλλοτ' ἔρευθος ἀκηδείῃσι νόοιο.
δμῶες δ' ὁππότε δή σφιν ἐπαρτέα θῆκαν ἐδωδήν,
αὐτοί τε λιαροῖσιν ἐφαιδρύνοντο λοετροῖς,
ἀσπασίως δόρπῳ τε ποτῆτί τε θυμὸν ἄρεσαν.
ἐκ δὲ τοῦ αἰήτης σφετέρης ἐρέεινε θυγατρὸς
υἱῆας, τοίοισι παρηγορέων ἐπέεσσι.
παιδὸς ἐμῆς κοῦροι φρίξοιό τε. τὸν περὶ πάντων
ξείνων ἡμετέροισιν ἐνὶ μεγάροισιν ἔτισα.
πῶς αἶανδε νέεσθε παλίσσυτοι. ἦέ τις ἄτη
σωομένοις μεσσηγὺς ἐνέκλασεν. οὐ μὲν ἐμεῖο
πείθεσθε προφέροντος ἀπείρονα μέτρα κελεύθου.
ᾔδειν γάρ ποτε πατρὸς ἐν ἅρμασιν ἠελίοιο
δινεύσας ὅτ' ἐμεῖο κασιγνήτην ἐκόμιζεν
κίρκην ἑσπερίης εἴσω χθονός. ἐκ δ' ἱκόμεσθα
ἀκτὴν ἠπείρου τυρσηνίδος. ἔνθ' ἔτι νῦν περ
ναιετάει μάλα πολλὸν ἀπόπροθι κολχίδος αἴης.
ἀλλὰ τί μύθων ἦδος. ἃ δ' ἐν ποσὶν ὕμμιν ὄρωρεν
εἴπατ' ἀριφραδέως. ἠδ' οἵτινες οἵδ' ἐφέπονται
ἀνέρες, ὁππότε γλαφυρῆς ἐκ νηὸς ἔβητε.
τοῖά μιν ἐξερέοντα κασιγνήτων προπάροιθεν
ἄργος ὑποδδείσας ἀμφὶ στόλῳ αἰσονίδαο
μειλιχίως προσέειπεν. ἐπεὶ προγενέστερος ἦεν.
αἰήτη. κείνην μὲν ἄφαρ διέχευαν ἄελλαι
ζαχρηεῖς. αὐτοὺς δ' ὑπὸ δούρασι πεπτηῶτας

νήσου

νήσου ἐνυαλίοιο περὶ ξερὸν ἔκβαλε κῦμα
λυγαίῃ ὑπὸ νυκτί. θεὸς δέ τις ἄμμ' ἐσάωσεν.
οὐδὲ γὰρ αἱ τὸ πάροιθεν ἐρημαίην κατὰ νῆσον
ηὐλίζοντ' ὄρνιθες ἀρήϊαι. οὐδέ τι κείνας
εὕρομεν. ἀλλ' οἵγ' ἀνδρῶν ἀπήλασαν ἐξαποβάντες
νηὸς ἑῆς προτέρῳ ἐνὶ ἤματι, καὶ σφ' ἀπέρυκεν
ἡμέας οἰκτείρων Ζηνὸς νόος, ἠέ τις αἶσα.
αὐτίκ' ἐπεὶ καὶ βρῶσιν ἅλις καὶ εἵματ' ἔδωκαν
οὔνομά τε Φρίξοιο περικλεὲς εἰσαΐοντες
ἠδ' αὐτοῖο σέθεν. μετὰ γὰρ τεὸν ἄστυ νέονται.
χρειὼ δ' ἣν ἐθέλεις δεδαημέναι οὔ σ' ἐπικεύσω.
τόνδε τις ἱέμενος πάτρης ἀπάνευθεν ἐλάσσαι
καὶ κτεάνων βασιλεὺς περιώσιον, οὕνεκεν ἀλκῇ
σφωϊτέρῃ πάντεσσι μετέπρεπεν αἰολίδῃσιν,
πέμπει δεῦρο νέεσθαι ἀμήχανον. οὐδ' ὑπαλύξειν
13 Στεῦται ἀμειλίκτοιο Διὸς θυμαλγέα μῆνιν,
καὶ χόλον. οὐδ' ἄτλητον ἄγος Φρίξοιό τε ποινὰς
αἰολιδῶν γενεήν, πρὶν ἐς ἑλλάδα κῶας ἱκέσθαι.
νῆα δ' ἀθηναίη παλλὰς κάμεν. οὐ μάλα τοίην
οἷαί περ κόλχοισι μετ' ἀνδράσι νῆες ἔασι.
τάων αἰνοτάτης ἐπεκύρσαμεν. ἤλυθε γάρ μιν
λάβρον ὕδωρ πνοιή τε διέτμαγεν. ἡ δ' ἐνὶ γόμφοις
ἴσχεται. ἣν καὶ πᾶσαι ἐπιβρίσωσιν ἄελλαι.
ἶσον δ' ἐξ ἀνέμοιο θέει. καὶ ὅτ' ἀνέρες αὐτοὶ
νωλεμέως χείρεσσιν ἐπισπέρχωσιν ἐρετμοῖς.
τῇ δ' ἐναγειράμενος παναχαιΐδος εἴ τι φέριστον
ἡρώων, τεὸν ἄστυ μετήλυθε πόλλ' ἐπαληθεὶς
ἄστεα καὶ πελάγη στυγερῆς ἁλός, εἴ οἱ ὀπάσσαις.

ἀντιόων δ' ὥς κεν ἄδοι τῶς ἔσσεται. οὐ γὰρ ἱκάνει
χερσὶ βιησάμενος. μέμονεν δέ τοι ἄξια τίσειν
δωτίνης ἀΐων ἐμέθεν μέγα δυσμενέοντας
σαυρομάτας, τοὺς σοῖσιν ὑπὸ σκήπτροισι δαμάσσει.
εἰ δὲ καὶ οὔνομα δῆθεν ἐπιθύεις γενεήν τε
ἴδμεναι οἵτινες εἰσὶν, ἕκαστά γε μυθησαίμην.
τόνδε μὲν οἷό περ οὕνεκ' ἀφ' ἑλλάδος ὧλλοι ἄγερθεν
κλείουσ' αἴσονος υἱὸν ἰήσονα κρηθείδαο.
εἰ δ' αὐτοῦ κρηθῆος ἐτήτυμόν ἐστι γενέθλης,
14 οὕτω κεν γνωτὸς πατρώϊος ἄμμι πέλοιτο.
ἄμφω γὰρ κρηθεὺς ἀθάμας τ' ἔσαν αἰόλου υἷες,
φρίξος δ' αὖτ' ἀθάμαντος ἔην πάϊς αἰολίδαο.
τόνδε δ' ἄρ' ἠελίου γόνον ἔμμεναι εἴ τιν' ἀκούεις,
δέρκεαι αὐγείην. τελαμὼν δ' ὅγε κυδίστοιο
αἰακοῦ ἐκγεγαώς. ζεὺς δ' αἰακὸν αὐτὸς ἔτικτεν.
ὣς δὲ καὶ ὧλλοι πάντες ὅσοι συνέπονται ἑταῖροι
ἀθανάτων υἷές τε, καὶ υἱωνοὶ γεγάασιν.
τοῖα παρέννεπεν ἄργος. ἄναξ δ' ἐπεχώσατο μύθοις
εἰσαΐων. ὑψοῦ δὲ χόλῳ φρένες ἠερέθοντο.
φῆ δ' ἐπαλαστήσας, μενέηνε δὲ παισὶ μάλιστα
χαλκιόπης. τῶν γάρ σφε μετελθέμεν οὕνεκ' ἐόλπει.
ἐκ δέ οἱ ὄμματ' ἔλαμψαν ὑπ' ὀφρύσιν ἱεμένοιο.
οὐκ ἄφαρ ὀφθαλμῶν μοι ἀπόπροθι λωβητῆρες
νεῖσθ' αὐτοῖσι δόλοισι παλίσσυτοι ἔκτοθι γαίης
πρίν τινα λευγαλέον τε δέρος καὶ φρίξον ἰδέσθαι
αὐτίχ' ὁμαρτήσαντες ἀφ' ἑλλάδος. οὐδ' ἐπὶ κῶας
σκῆπτρα δὲ καὶ τιμὴν βασιληίδα δεῦρο νέεσθε.
εἰ δέ κε μὴ προπάροιθεν ἐμῆς ἥψασθε τραπέζης

εἴτ' ἂμ

εἶτ' ἂν ἀπὸ γλώσσας τε ταμὼν καὶ χεῖρε κεάσσας
ἀμφοτέρας οἴοισιν ἐπιπροέηκα πόδεσσιν.
ὥς κεν ἐρητύοισθε καὶ ὕστερον ὁρμηθῆναι;
οἷα δὲ καὶ μακάρεσσιν ἐπεψεύσασθε θεοῖσι.
φῆ ῥα χαλεψάμενος. μέγα δὲ φρένες αἰακίδαο
νειόθεν οἰδαίνεσκον. ἐέλδετο δ' ἔνδοθι θυμὸς
ἀντιβίην ὀλοὸν φάσθαι ἔπος. ἀλλ' ἀπέρυκεν
αἰσονίδης. πρὸ γὰρ αὐτὸς ἀμείψατο μειλιχίοισιν.
Αἰήτη σχέο μοι τῷδε στόλῳ· οὔτι γὰρ αὔτως
ἄστυ τεὸν καὶ δώμαθ' ἱκάνομεν, ὥς που ἔολπας.
οὐδὲ μὲν ἱέμενοι. τίς δ' ἂν τόσον οἶδμα περῆσαι
τλαίη ἑκὼν ὀθνεῖον ἐπὶ κτέρας. ἀλλά με δαίμων
καὶ κρυερὴ βασιλῆος ἀτασθάλου ὦρσεν ἐφετμή.
δὸς χάριν ἀντομένοισι σέθεν δ' ἐγὼ ἑλλάδι πάσῃ
θεσπεσίην οἴσω κληηδόνα. καὶ δέ τοι ἤδη
πρόφρονές εἰμεν ἄρηι θοὴν ἀποτῖσαι ἀμοιβήν.
εἴτ' οὖν σαυρομάτας γε λιλαίεαι εἴτε τιν' ἄλλον
δῆμον σφωιτέροισιν ὑπὸ σκήπτροισι δαμάσσαι:
ἴσκεν ὑποσσαίνων ἀγανῇ ὀπί. τοῖο δὲ θυμὸς
διχθαδίην πόρφυρεν ἐνὶ στήθεσσι μενοινήν:
ἤ σφεας ὁρμηθεὶς αὐτοσχεδὸν ἐξεναρίζοι,
ἢ ὅγε πειρήσαιτο βίης. τό οἱ εἴσατ' ἄρειον
φραζομένῳ. καὶ δή μιν ὑποβλήδην προσέειπε.
ξεῖνε. τί κεν τὰ ἕκαστα διηνεκέως ἀγορεύεις.
εἰ γὰρ ἐτήτυμόν ἐστε θεῶν γένος. ἠὲ καὶ ἄλλως
οὐδὲν ἐμεῖο χέρηες ἐπ' ὀθνείοισιν ἔβητε,
δώσω τοι χρύσειον ἄγειν δέρος. ἤν κ' ἐθέλητε
πειρηθείς. ἐσθλοῖς γὰρ ἐπ' ἀνδράσιν οὔτι μεγαίρω,

ὥς αὐτοὶ μυθεῖσθε ὃν ἑλλάδι κοιρανέοντα.
πεῖρα δέ τοι μένεός τε καὶ ἀλκῆς ἔσσετ' ἄεθλος,
τόν ῥ' αὐτὸς περίειμι χεροῖν ὀλοόν περ ἐόντα.
δοιώ μοι πεδίον τὸ ἀρήιον ἀμφινέμονται
ταύρω χαλκόποδε στόματι φλόγα φυσιόωντε.
τοὺς ἐλάω ζεύξας στυφελὴν κατὰ νειὸν ἄρηος
τετράγυον. τὴν αἶψα ταμὼν ἐπὶ τέλσον ἀρότρῳ,
οὐ σπόρον ὅλκοισιν δηοῦς ἐνιβάλλομαι ἀκτήν.
ἀλλ' ὄφιος δεινοῖο μεταλδήσκοντας ὀδόντας,
ἀνδράσι τευχηστῇσι δέμας. τοὺς δ' αὖθι δαΐζων
κείρω ἐμῷ ὑπὸ δουρὶ περισταδὸν ἀντιόωντας.
ἠέριος ζεύγνυμι βόας καὶ δείελον ὥρην
παύομαι ἀμήτοιο. σὺ δ' εἰ τάδε τοῖα τελέσσεις,
αὐτῆμαρ τόδε κῶας ἀποίσεαι εἰς βασιλῆος.
πρὶν δέ κεν οὐ δοίην, μηδ' ἔλπεο. δὴ γὰρ ἀεικὲς
ἄνδρ' ἀγαθὸν γεγαῶτα κακωτέρῳ ἀνέρι εἶξαι.
Ὣς ἄρ' ἔφη. ὁ δὲ σῖγα ποδῶν πάρος ὄμματα πήξας,
ἧστ' αὔτως ἄφθογγος ἀμηχανέων κακότητι.
βουλὴν δ' ἀμφὶ πολὺν στρώφα χρόνον. οὐδέ πη εἶχε
θαρσαλέως ὑποδέχθαι. ἐπεὶ μέγα φαίνετο ἔργον.
ὀψὲ δ' ἀμειβόμενος προσελέξατο κερδαλέοισιν.
αἰήτη. μάλα τοί με δίκῃ περιπολλὸν ἐέργεις.
τῷ καὶ ἐγὼ τὸν ἄεθλον ὑπερφίαλόν περ ἐόντα,
τλήσομαι. εἰ καί μοι θανέειν μόρος. οὐ γὰρ ἔτ' ἄλλο
ῥίγιον ἀνθρώποισι κακῆς ἐπικείσετ' ἀνάγκης.
ἥ με καὶ ἐνθάδε νεῖσθαι ἐπέχραεν ἐκ βασιλῆος.
Ὣς φάτ' ἀμηχανίῃ βεβολημένος. αὐτὰρ ὁ τόνγε
σμερδαλέοις ἐπέεσσι προσέννεπεν ἀσχαλόωντα.

ἔρχεο νῦν μεθ' ὅμιλον, ἐπεὶ μέμονάς γε πόνοιο.
εἰ δέ σύ γε ζυγὰ βουσὶν ὑποδδείσῃς ἐπαεῖραι
ἠὲ καὶ οὐλομένου μεταχάσσεαι ἀμήτοιο,
αὐτῷ κεν τὰ ἕκαστα μέλοιτό μοι, ὄφρα καὶ ἄλλος
ἀνὴρ ἐρρίγῃσιν ἀρείονα φῶτα μετελθεῖν.
27 Ἴσκεν ἀπηλεγέως. ὁ δ' ἀπὸ θρόνου ὤρνυτ' Ἰήσων.
Αὐγείης. Τελαμών τε παρασχεδόν. εἵπετο δ' Ἄργος
οἶος. ἐπεὶ μεσσηγὺς ἔτ' αὐτόθι, νεῦσε λιπέσθαι
αὐτοκασιγνήτοις. οἱ δ' ἤισαν ἐκ μεγάροιο.
θεσπέσιον δ' ἐν πᾶσι μετέπρεπεν Αἴσονος υἱὸς
κάλλεϊ καὶ χαρίτεσσιν. ἐπ' αὐτῷ δ' ὄμματα κούρη
λοξὰ παρὰ λιπαρὴν σχομένη θηεῖτο καλύπτρην
κῆρ ἄχεϊ σμύχουσα. νόος δέ οἱ ἠΰτ' ὄνειρος
ἑρπύζων πεπότητο μετ' ἴχνια νισσομένοιο.
καί ῥ' οἱ μὲν ῥα δόμων ἐξήλυθεν ἀσχαλόωντες
Χαλκιόπη δὲ χόλον πεφυλαγμένη Αἰήταο
καρπαλίμως θάλαμόνδε σὺν υἱάσιν οἷσι βεβήκει.
αὔτως δ' αὖ Μήδεια μετέστιχε. πολλὰ δὲ θυμῷ
ὥρμαιν'. ὅσσα τ' ἔρωτες ἐποτρύνουσι μέλεσθαι.
28 Πρὸ πρὸ δ' ἄρ ὀφθαλμῶν ἔτι οἱ ἰνδάλλετο πάντα.
αὐτός θ' οἷος ἔην. οἵοισί τε φάρεσιν ἧστο.
οἷά τ' ἔειφ' ὥς θ' ἕζετ' ἐπὶ θρόνου. ὥς τε θύραζε
ἤιεν. οὐδέ τιν' ἄλλον ὀίσσατο πορφύρουσα
ἔμμεναι ἀνέρα τοῖον. ἐν οὔασι δ' αἰὲν ὀρώρει
αὐδή τε μῦθοί τε μελίφρονες, οὓς ἀγόρευσε.
τάρβει δ' ἀμφ' αὐτῷ μή μιν βόες ἠὲ καὶ αὐτὸς
Αἰήτης φθίσειεν. ὀδύρετο δ' ἠΰτε πάμπαν
ἤδη τεθνειῶτα, τέρεν δέ οἱ ἀμφὶ παρειὰς

δάκρυον αἰνοτάτῳ ἐλέῳ ῥέε κηδοσύνῃσιν.
ἦκα δ' ἐμυρομένη λιγέως ἀνενείκατο μῦθον.
τίπτε με δειλαίην τόδ' ἔχει ἄχος. εἴθ' ὅ γε πάντων
φθίσεται ἡρώων προφερέστατος, εἴτε χερείων.
ἐρρέτω. ἦ μὲν ὄφελλεν ἀκήριος ἐξαλέασθαι.
ναὶ δὴ τοῦτό γε πότνα θεὰ περσηῒ πέλοιτο
οἴκαδε νοστήσειε φυγὼν μόρον. εἰ δέ μιν αἶσα
δμηθῆναι ὑπὸ βουσὶ, τόδε προπάροιθε δαείη
οὕνεκεν οὔ οἱ ἔγωγε κακῇ ἐπαγαίομαι ἄτῃ.
Ἡ μὲν ἄρ ὣς ἐόλητο νόον μελεδήμασι κούρη.
οἱ δ' ἐπεὶ οὖν δήμου τε καὶ ἄστεος ἐκτὸς ἔβησαν
τὴν ὁδὸν ἣν τὸ πάροιθεν ἀνήλυθον ἐκ πεδίοιο,
δὴ τότ' ἰήσονα τοῖσδε προσέννεπεν ἄργος ἔπεσσι,
αἰσονίδη. μῆτιν μὲν ὀνόσσεαι ἥν τιν' ἐνίψω.
πείρης δ' οὐ μάλ' ἔοικε μεθιέμεν ἐν κακότητι.
κούρην δή τινα πρόσθεν ὑπέκλυες αὐτὸς ἐμεῖο
φαρμάσσειν ἑκάτης περσηΐδος ἐννεσίῃσιν.
τὴν εἴ κεν πεπίθοιμεν ὀΐομαι οὐκέτι τάρβος
ἔσσετ' ἀεθλεύοντι δαμήμεναι. ἀλλὰ μάλ' αἰνῶς
δείδω μή πως οὔ μοι ὑποσταίη τόγε μήτηρ.
ἔμπης δ' ἐξαῦτις μετελεύσομαι ἀντιβολήσων.
ξυνὸς ἐπεὶ πάντεσσιν ἐπικρέμαθ' ἧμιν ὄλεθρος.
Ἴσκεν ἐϋφρονέων, ὁ δ' ἀμείβετο τοῖσδ' ἐπέεσσιν.
19 Ὦ πέπον, εἴ νύ τοι αὐτῷ ἐφανδάνει, οὔτι μεγαίρω.
βάσκ' ἴθι, καὶ πυκινοῖσι τεὴν παρὰ μητέρα μύθοις
ὄρνυθι λισσόμενος. μελέη γε μὲν ἧμιν ὄρωρεν
ἐλπωρὴ ὅτε νόστον ἐπετραπόμεσθα γυναιξίν.
Ὣς ἔφατ', ὦκα δ' ἕλος μετεκίαθον. αὐτὰρ ἑταῖροι

γηθόσυνοι ἐρέεινον, ὅπως περιόντας ἴδον περ.
τοῖσι δ' Αἰσονίδης τετιημένος ἔκφατο μῦθον.
Ὦ φίλοι, Αἰήταο ἀπηνέος ἄμμι φίλον κῆρ
ἄντικρυ κεχόλωται. ἕκαστα γὰρ οὔ νύ τι τέκμωρ
οὔτ' ἐμοί, οὔτε κεν ὔμμι διειρομένοισι πέλοιτο.
φῆ δὲ δύω πεδίον τὸ Ἀρήϊον ἀμφινέμεσθαι
ταύρω χαλκόποδε, στόματι φλόγα φυσιόωντε,
τετράγυον δ' ἐπὶ τοῖσιν ἐφίετο νειὸν ἀρόσσαι,
δώσειν δ' ἐξ ὄφιος γενύων σπόρον, ὅς ῥ' ἀνίησιν
γηγενέας χαλκέοις σὺν τεύχεσιν. ἤματι δ' αὐτῷ
χρειὼ τούσδε δαΐξαι. ὁ δή νύ οἱ, οὔτι γὰρ ἄλλο
βέλτερον ἦν φράσσασθαι, ἀπηλεγέως ὑποέστην.
Ὣς ἄρ' ἔφη. πάντεσσι δ' ἀνήνυτος εἴσατ' ἄεθλος.
δὴν δ' ἄνεῳ καὶ ἄναυδοι ἐς ἀλλήλους ὁρόωντο
ἄτῃ ἀμηχανίῃ τε κατηφέες. ὀψὲ δὲ Πηλεὺς
θαρσαλέως μετὰ πᾶσιν ἀριστήεσσιν ἔειπεν.
Ὥρη μητιάασθαι ὅ κ' ἕρξομεν. οὐ μὲν ἔολπα
βουλῆς εἶναι ὄνειαρ, ὅσον τ' ἐπὶ καρτεῖ χειρῶν.
εἰ μέν νυν τύνη ζεῦξαι βόας Αἰήταο
ἥρως Αἰσονίδη φρονέεις, μέμονάς τε πόνοιο,
ἦτ' ἂν ὑποσχεσίην πεφυλαγμένος ἐντύναιο.
* εἰ δ' οὔ τοι μάλα θυμὸς ἑῇ ἐπὶ πάγχυ πέποιθεν
ἠνορέῃ, μήτ' αὐτὸς ἐπείγεο, μήτε τιν' ἄλλον
τῶνδ' ἀνδρῶν πάπταινε παρήμενος. οὐ γὰρ ἔγωγε
σχήσομ'. ἐπεὶ θάνατός γε τὸ κύντατον ἔσσεται ἄλγος.
Ὣς ἔφατ' Αἰακίδης. Τελαμῶνι δὲ θυμὸς ὀρίνθη.
σπερχόμενος δ' ἀνόρουσε θοῶς. ἐπὶ δὲ τρίτος Ἴδας
ὦρτο μέγα φρονέων. ἐπὶ δ' υἷες Τυνδαρέοιο.

σὺ δὲ καὶ εἰ εἴδης ἐναρίθμιος αἰζηοῖσιν
ἀνδράσιν. οὐδέ τι τόσσον ἐπαιθύσσοντας ἰσύλλου
ἀντέλλαν· τοίω οἱ ἀείρετο κάρτεϊ θυμός.
οἱ δ' ἄλλοι εἴξαντο, ἀκὴν ἔχον. αὐτίκα δ' ἄργος
τοῖον ἔπος μετέειπεν ἐελδομένοισιν ἀέθλου.
20 Ὦ φίλοι. ἤτοι μὲν τόδε λοίσθιον. ἀλλά τιν' οἴω
μητρὸς ἐμῆς ἔσσεσθ' ἐναίσιμον ὔμμιν ἀρωγήν.
τὼ καί περ μεμαῶτες ἐρητύοισθ' ἐνὶ νηὶ
τυτθὸν ἔθ' ὡς τὸ πάροιθεν, ἐπεὶ καὶ ἐπισχέμεν ἔμπης
λώϊον. ἢ κακὸν οἶτον ἀφειδήσαντας ἑλέσθαι.
κούρη τίς μεγάροισιν ἐνιτρέφετ' αἰήταο,
τὴν ἑκάτη περίαλλα θεὰ δάε τεχνήσασθαι
φάρμαχ' ὅσ' ἤπειρός τε φύει καὶ νήχυτον ὕδωρ.
τοῖσι καὶ ἀκαμάτοιο πυρὸς μειλίσσεται ἀϋτμὴ
καὶ ποταμοὺς ἵστησιν ἄφαρ κελαδεινὰ ῥέοντας.
31 ἄστρά τε καὶ μήνης ἱερῆς ἐπέδησι κελεύθους.
τῆς μὲν ἀπὸ μεγάροιο κατὰ στίβον ἐνθάδ' ἰόντες
μνησάμεθ' εἴ κε δύναιτο κασιγνήτη γε γαῦα
μήτηρ ἡμετέρη πεπιθεῖν ἐπαρῆξαι ἀέθλῳ.
εἰ δὲ καὶ αὐτοῖσι τόδ' ἐφανδάνει, ἦ τ' ἂν ἱκοίμην
ἤματι τῷδ' αὐτῷ πάλιν εἰς δόμον αἰήταο
πειρήσων, τάχα δ' ἂν σὺν δαίμονι πειρηθείην.
Ὣς φάτο, τοῖσι δὲ σῆμα θεοὶ δόσαν εὐμενέοντες.
τρήρων μὲν φεύγουσα βίην κίρκοιο πελειὰς
ὑψόθεν αἰσονίδεω πεφοβημένη ἔμπεσε κόλποις.
κίρκος δ' ἀφλάστῳ περικάππεσεν. αἶψα δὲ μόψος
τοῖον ἔπος μετὰ πᾶσι θεοπροπέων ἀγόρευεν.
ὔμμι φίλοι τόδε σῆμα θεῶν ἰότητι τέτυκται.

οὐδέ

οὐδέ πῃ ἄλλως ἐστὶν ὑποκρίνασθαι ἄρειον.
παρθενικὴν δ' ἐπέεσσι μετελθέμεν ἀμφιέποντας
μήτε πανυρίῃ. δοκέω δέ μιν οὐκ ἀθερίζειν.
εἰ ἐτεὸν Φινεύς γε θεῇ ἐνὶ Κύπριδι νόστον
πέφραδεν ἔσσεσθαι. κείνης δ' ὅγε μείλιχος ὄρνις
πότμον ὑπεξήλυξε. κέαρ δέ μοι ὡς ἐνὶ θυμῷ
τόνδε κατ' οἰωνὸν προτιόσσεται. ὧς δὲ πέλοιτο.
ἀλλὰ φίλοι. Κυθέρειαν ἐπικλείοντες ἀμύνειν,
ἤδη νῦν Ἄργοιο παραιφασίῃσι πίθεσθε.
Ἴσκεν. ἐπῄνησαν δὲ νέοι Φινῆος ἐφετμὰς
μνησάμενοι. μοῦνος δ' Ἀφαρήϊος ἄνθορεν Ἴδας
δεῖν' ἐπαλαστήσας. μεγάλῃ ὀπὶ φώνησέν τε.
Ὢ πόποι. ἦ ῥα γυναιξὶν ὁμόστολοι ἐνθάδ' ἔβημεν
οἳ Κύπριν καλέουσιν ἐπίρροθον ἄμμι πέλεσθαι.
οὐκ ἔτ' Ἐνυαλίοιο μέγα σθένος. ἐς δὲ πελείας
καὶ κίρκους λεύσσοντες ἐρητύεσθε ἀέθλων.
ἔρρετε. μὴ δ' ὔμμι πολεμήϊα ἔργα μέλοιτο.
παρθενικὰς δὲ λιτῇσιν ἀνάλκιδας ἠπεροπεύειν.
32 Ὣς ηὔδα μεμαώς. πλέες δ' ὁμάδησαν ἑταῖροι.
ἦκα μάλ'. οὐδ' ἄρα τίς οἱ ἐναντίον ἔκφατο μῦθον.
χωόμενος δ' ὅγ' ἔπειτα καθέζετο. τοῖσι δ' Ἰήσων
αὐτίκ' ἐποτρύνων τὸν ἑὸν νόον ὧδ' ἀγόρευσεν.
Ἄργος μὲν παρὰ νηὸς ἐπεὶ τόδε πᾶσιν ἕαδε,
στελλέσθω. ἀτὰρ αὐτοὶ ἀπὸ χθονὸς ἐκ ποταμοῖο
ἀμφαδὸν ἤδη πείσματ' ἀνάψομεν. ἦ γὰρ ἔοικε
μηκέτι δηθὰ κρύπτεσθαι πτήσσοντας ἀϋτήν.
Ὣς ἄρ' ἔφη. καὶ τὸν μὲν ἄφαρ προΐαλλε νέεσθαι
καρπαλίμως ἐξαῦτις ἀνὰ πτόλιν. οἱ δ' ἀπὸ νηὸς

Μινύας ἐρύσαντες ἐφετμαῖς αἰσονίδαο.
τυτθὸν ὑπ' ἐξ ἕλεος χέρσῳ ἐπέκελσαν ἐρετμοῖς.
αὐτίκα δ' αἰήτης ἀγορὴν ποιήσατο κόλχων,
νόσφιν ἑοῖο δόμου. τόθι περ καὶ πρόσθε καθῖζον.
ἀτλήτους μινύεσι δόλους καὶ κήδεα τεύχων.
73 στεῦτο δ' ἐπεί κεν πρῶτα βόες διαδηλήσονται
ἄνδρα τὸν ὅς ῥ' ὑπέδεκτο βαρὺν καμέεσθαι ἄεθλον
δρυμὸν ἀναρρήξας λασίης καθύπερθε κολώνης
αὔτανδρον φλέξειν δόρυ νήϊον. ὄφ' ἀλεγεινὴν
ὕβριν ἀποφλύξωσιν ὑπέρβια μηχανόωντες.
οὐδὲ γὰρ αἰολίδην φρίξον μάλα περ χατέοντα
δέχθαι ἐνὶ μεγάροισιν ἐφέστιον. ὃς περὶ πάντων
ξείνων μειλιχίῃ τε, θεουδείῃ τ' ἐκέκαστο.
εἰ μή οἱ ζεὺς αὐτὸς ἀπ' οὐρανοῦ ἄγγελον ἧκεν
ἑρμείαν. ὥς κεν προσκηδέος ἀντιάσειε,
μὴ καὶ ληϊστῆρας ἑὴν ἐς γαῖαν ἰόντας
ἔσσεσθαι δηναιὸν ἀπήμονας. οἷσι μέμηλεν
ὀθνείοις ἐπὶ χεῖρα ἑὴν κτεάτεσσιν ἀείρειν,
κρυπταδίους τε δόλους τεκταινέμεν. ἠδὲ βοτήρων
αὔλια δυσκελάδοισιν ἐπιδρομίοισι δαΐξαι.
νόσφιν δ' οἷ αὐτῷ φάτ' ἐοικότα μείλια τίσειν
υἷας φρίξοιο κακορρέκτῃσιν ὀπηδοὺς
ἀνδράσι νοστήσαντας ὁμιλαδόν. ὄφρα ἑ τιμῆς
καὶ σκήπτρων ἐλάσειαν ἀκηδέες. ὥς ποτε βάξιν
λευγαλέην οὗ πατρὸς ἐπέκλυεν ἠελίοιο
χρῆναί μιν πυκινόν τε δόλον βουλάς τε γενέθλης
σφωϊτέρης. ἄτην τε πολύτροπον ἐξαλέασθαι.
74 τῷ καὶ ἐελδομένους πέμπειν ἐς ἀχαιΐδα γαῖαν

πατρὸς

πατρὸς ἐφημοσύνῃ δολιχὴν ὁδόν. οὐδέ ἑ θυμῷ
εἶναί οἱ τυτθόν γε δέος, μή πού τινα μῆτιν
φράσσονται στυγερήν. οὐδ' υἱέος αἰήταο,
ἀλλ' ἐνὶ χαλκιόπης γενεῇ τάδε λυγρὰ τετύχθαι.
καί ῥ' ὁ μὲν ἄσχετα ἔργα πιφαύσκετο δημοτέροισιν,
χωόμενος. μέγα δέ σφιν ἀπείλεε νῆά τ' ἐρύσθαι
ἠδ' αὐτούς. ἵνα μή τις ὑπὲκ κακότητος ἀλύξῃ.
τόφρα δὲ μητέρ' ἑὴν μετιὼν δόμον αἰήταο
ἄργος παντοίοισι παρηγορέεσκεν ἔπεσσιν.
μήδειαν λίσσεσθαι ἀμυνέμεν. ἡ δὲ καὶ αὐτὴ
πρόσθεν μητιάασκε δέος δέ μιν ἴσχανε θυμόν,
μή πως ἠὲ παρ' αἶσαν ἐτώσια μειλίσσοιτο
πατρὸς ἀτυζομένην ὀλοὸν χόλον, ἠὲ λιτῇσιν
ἑσπομένης ἀείδηλα καὶ ἀμφαδὰ ἔργα πέλοιτο.
κούρην δ' ἐξ ἀχέων ἀδινὸς κατελώφεεν ὕπνος
λέκτρῳ ἀνακλινθεῖσαν. ἄφαρ δέ μιν ἠπεροπῆες
οἷά τ' ἀκηχεμένην ὀλοοὶ ἐρέθεσκον ὄνειροι,
τὸν ξεῖνον δ' ἐδόκησεν ὑφεστάμεναι τὸν ἄεθλον.
οὔ τι μάλ' ὁρμαίνοντα δέρος κριοῖο κομίσσαι.
οὐδέ τι τοῖο ἕκητι, μετὰ πτόλιν αἰήταο
ἐλθέμεν. ὄφρα δέ μιν σφέτερον δόμον εἰσαγάγοιτο
κουριδίην παράκοιτιν. ὀίετο δ' ἀμφὶ βόεσσιν
αὐτὴ ἀεθλεύουσα μάλ' εὐμαρέως πονέεσθαι
Σφωϊτέρους δὲ τοκῆας ὑποσχεσίης ἀθερίζειν.
οὕνεκεν οὐ κούρῃ ζεῦξαι βόας. ἀλλά οἱ αὐτῷ
προύθεσαν. ἐκ δ' ἄρα τοῦ νεῖκος πέλεν ἀμφήριστον
πατρί τε καὶ ξείνοις αὐτῇ δ' ἐπιέτρεπον ἄμφω.
τὼς ἔμεν, ὥς κεν ἑῇσι μετὰ φρεσὶν ἰθύσειεν.

ἡ δ' ἄφνω τὸν ξεῖνον ἀφειδήσασα τοκήων
εἵλετο. τοῖς δ' ἀμέγαρτον ἄχος λάβεν. ἐκ δ' ἐβόησαν
χωόμενοι. τὴν δ' ὕπνος ἅμα κλαγγῇ μεθέηκε.
παλλομένη δ' ἀνόρουσε φόβῳ. περί τ' ἀμφί τε τοίχους
πάπτηνεν θαλάμοιο. μόλις δ' ἐσαγείρατο θυμὸν,
ὡς πάρος ἐν στέρνοις. ἀδινὴν δ' ἀνενείκατο φωνήν.
δειλὴ ἐγών. οἷόν με βαρεῖς ἐφόβησαν ὄνειροι.
δείδια μὴ μέγα δή τι φέρει κακὸν ἥδε κέλευθος
ἡρώων. περί μοι ξείνῳ φρένες ἠερέθονται.
μνάσθω ἑὸν κατὰ δῆμον ἀχαιΐδα τηλόθι κούρην,
ἄμμι δὲ παρθενίη τε μέλοι καὶ δῶμα τοκήων.
ἔμπα γε μὴν θεμένη κύνεον κέαρ. οὐκέτ' ἄνευθεν
αὐτοκασιγνήτης πειρήσομαι. εἴ κέ μ' ἀέθλῳ
χραισμεῖν ἀντιάσῃσιν ἐπὶ σφετέροις ἀχέουσα
παισί. τό κέν μοι λυγρὸν ἐνὶ κραδίῃ σβέσοι ἄλγος.
Ἦ ῥα. καὶ ὀρθωθεῖσα θύρας ὤιξε δόμοιο,
νήλιπος. οἰέανος. καὶ δὴ λελίητο νέεσθαι
αὐτοκασιγνήτηνδε. καὶ ἕρκεος οὐδὸν ἄμειψε.
δὴν δὲ κατ' αὐτόθι μίμνεν ἐνὶ προδόμῳ θαλάμοιο
αἰδοῖ ἐεργομένη. μετὰ δ' ἐτράπετ' αὖτις ὀπίσσω
στρεφθεῖσ'. ἐν δὲ πάλιν κίεν ἔνδοθεν. ἄψ τ' ἀλέεινεν
εἴσω. τηΰσιοι δὲ πόδες φέρον ἔνθα καὶ ἔνθα.
ἤτοι ὅτι θύσειεν ἔρυκέ μιν ἔνδοθεν αἰδώς.
αἰδοῖ δ' ἐεργομένην θρασὺς ἵμερος ὀτρύνεσκεν.
τρὶς μὲν ἐπειρήθη. τρὶς δ' ἔσχετο. τέτρατον αὖθις
λέκτροισι πρηνὴς ἐνικάππεσεν εἱλιχθεῖσα.
26 Ὡς δ' ὅτε τις νύμφη θαλερὸν πόσιν ἐν θαλάμοισι
μύρεται. ᾧ μιν ἀδελφεοὶ ὤπασαν, ἠδὲ τοκῆες.

τὸν δέ

οὐδέ τι πω πάσαις ἐπιμίσγεται ἀμφιπόλοισιν
αἰδοῖ ἐπιφροσύνῃ τε. μυχῷ δ' ἀχέουσα θαάσσει.
τόνδε τις ὤλεσε μοῖρα. πάρος ταρπήμεναι ἄμφω
δήνεσιν ἀλλήλων. ἡ δ' ἔνδοθι δαιομένη περ
σῖγα μάλα κλαίει χῆρον λέχος εἰσορόωσα,
μή μιν κερτομέουσαι ἐπιστοβέωσι γυναῖκες.
τῇ ἰκέλη μήδεια κινύρετο. τὴν δέ τις ἄφνω
μυρομένην μεσσηγὺς ἐπιπρομολοῦσ' ἐνόησεν
δμωάων. ἣ οἱ ἐπέτης πέλε κουρίζουσα,
χαλκιόπῃ δ' ἤγγειλε παρασχεδόν. ἣ δ' ἐνὶ παισὶν
ἧστ' ἐπιμητιόωσα. κασιγνήτην ἀρέσασθαι
ἀλλ' οὐδ' ὣς ἀπίθησεν. ὅτ' ἔκλυεν ἀμφιπόλοιο
μῦθον ἀνώϊστον. διὰ δ' ἔσσυτο θαμβήσασα
ἐκ θαλάμου θάλαμόνδε διαμπερὲς ᾧ ἔνι κούρη
κέκλιτ' ἀκηχεμένη. δρύψεν δ' ἑκάτερθε παρειάς.
ὡς δ' ἴδε δάκρυσιν ὄσσε πεφυρμένα φώνησέν μιν.
ὤ μοι ἐγὼ μήδεια. τί δὴ τάδε δάκρυα λείβεις.
τίπτ' ἔπαθες τί τοι αἰνὸν ὑπὸ φρένας ἵκετο πένθος;
27 Η νύ σε θευμορίη περιδέδρομεν ἅψεα νοῦσος.
ἠέ τιν' οὐλομένην ἐδάης παρὰ πατρὸς ἐνιπὴν
ἀμφί τ' ἐμοὶ καὶ παισίν. ὄφελλέ με μήτε τοκήων
δῶμα τόδ' εἰσοράαν. μὴ δὲ πτόλιν. ἀλλ' ἐπὶ γαίης
πείρασι ναιετάειν. ἵνα μὴ δὲ περ οὔνομα κόλχων.
Ὡς φάτο. τῆς δ' ἐρύθηνε παρήϊα. δὴν δέ μιν αἰδὼς
παρθενίη κατέρυκεν ἀμείψασθαι μεμαυῖαν.
μῦθος δ' ἄλλοτε μέν οἱ ἐπ' ἀκροτάτης ἀνέτελλε
γλώσσης. ἄλλοτ' ἔνερθε κατὰ στῆθος πεπότητο.
πολλάκι δ' ἱμερόεν μὲν ἀνὰ στόμα θυῖεν ἐνισπεῖν.

φθογγὴ δ' οὐ προὔβαινε παροιτέρω. ὀψὲ δ' ἔειπε
τοῖα δόλῳ. θρασέες γὰρ ἐπεκλονέεσκον ἔρωτες.
28 Χαλκιόπη, περί μοι παίδων σέο θυμὸς ἄηται
μή σφε πατὴρ ξείνοισι σὺν ἀνδράσιν αὐτίκ' ὀλέσσῃ.
τοῖα κατακνώσσουσα μινυνθαδίῳ νέον ὕπνῳ
λεύσσω ὀνείρατα λυγρά, τά τις θεὸς ἀκράαντα
θείη. μηδ' ἀλεγεινὸν ἐφ' υἱέσι κῆδος ἕλοιο.
φῆ ῥα κασιγνήτης πειρωμένη, εἴ κέ μιν αὐτὴ
ἀντιάσειε πάροιθεν ἑοῖς τεκέεσσιν ἀμύνειν.
τὴν δ' αἰνῶς ἄτλητος ἐπέκλυσε θυμὸν ἀνίη
δείματι. τοῖ' ἐσάκουσεν. ἀμείβετο δ' ὧδ' ἐπέεσσι.
καὶ δ' αὐτὴ τάδε πάντα μετήλυθον ὁρμαίνουσα
εἴ τινα συμφράσσαιο καὶ ἀρτύνειας ἀρωγήν.
ἀλλ' ὄμοσον γαῖάν τε καὶ οὐρανὸν ὅττι τοι εἴπω
σχήσειν ἐν θυμῷ. σύν τε δρήστειρα πέλεσθαι.
λίσσομ' ὑπὲρ μακάρων σέο τ' αὐτῆς ἠδὲ τοκήων
μή σφε κακῇ ὑπὸ κηρὶ διαρραισθέντας ἰδέσθαι
λευγαλέως. ἢ σοί γε φίλοις σὺν παισὶ θανοῦσα
εἴην ἐξ ἀίδεω στυγερὴ μετόπισθεν ἐρινύς.
Ὣς ἄρ' ἔφη. τὸ δὲ πολλὸν ὑπεξέχυτ' αὐτίκα δάκρυ,
νειόθι δ' ἀμφοτέροισι περίσχετο γούνατα χερσί.
σὺν δὲ κάρη κόλποισ περικάββαλον. ἔνθ' ἐλεεινὸν
ἄμφω ἐπ' ἀλλήλοισι θέσαν γόον. ὦρτο δ' ἰωὴ
λεπταλέη διὰ δώματ' ὀδυρομένων ἀχέεσσιν.
τὴν δὲ πάρος μήδεια προσέννεπεν ἀσχαλόωσα.
δαιμονίη, τί νύ τοι ῥέξω ἄκος, οἷ' ἀγορεύεις;
ἀραῖς τε στυγερὰς καὶ ἐριννύας. αἲ γὰρ ὄφελλεν
ἔμπεδον εἶναι ἐπ' ἄμμι τεοὺς υἷας ἔρυσθαι.

ἴστω κόλχων ὅρκος ὑπέρβιος. ὅν τιν' ὀμόσαι
αὐτὴ ἐποτρύνεις μέγας οὐρανὸς ἠδ' ὑπένερθε
γαῖα θεῶν μήτηρ ὅσον σθένος ἐστὶν ἐμοῖο
μή σ' ἐπὶ δευήσεσθαι ἀνυστά περ αἰτιόωσαν.
φῆ ἄρα. χαλκιόπη δ' ἠμείβετο τοῖς δ' ἐπέεσσιν.
οὐκ ἂν δὴ ξείνῳ τλαίης χατέοντι καὶ αὐτῷ
ἢ δόλον, ἤ τινα μῆτιν ἐπιφράσσασθαι ἀέθλου
παίδων εἵνεκ' ἐμοῖο καὶ ἐκ κείνοιο δ' ἱκάνει
ἄργος ἐποτρύνων με τεῆς πειρῆσαι ἀρωγῆς,
μεσσηγὺς μὲν τόν γε δόμον λίπον ἐνθάδ' ἰοῦσα.
29 Ως φάτ'. τῇ δ' ἔνδοθεν ἀνέπτατο χάρματι θυμός.
φοινίχθη δ' ἄμυδις καλὸν χρόα. κὰδ δέ μιν ἀχλὺς
εἷλεν ἰαινομένην. τοῖον δ' ἐπὶ μῦθον ἔειπεν.
χαλκιόπη ὡς ὔμμι φίλον τερπνόν τε τέτυκται.
ὣς ἔρξω. μὴ γάρ μοι ἐν ὀφθαλμοῖσι φαείνοι
ἠώς. μηδέ με δηρὸν ἔτι ζώουσαν ἴδοιο,
30 εἴ τι σῆς ψυχῆς προφερέστερον, ἤ τι παίδων
σῶν θείην, οἳ δή μοι ἀδελφεοὶ γεγάασιν.
κηδεμόνες τε φίλοι, καὶ ὁμήλικες, ὡς δὲ καὶ αὐτὴν
φημὶ κασιγνήτην τε σέθεν, κούρην τε πέλεσθαι
ἶσον. ἐπεὶ κείνοις με τεῷ ἐπαείραο μαζῷ,
νηπυτίην ὡς αἰὲν ἐγώ ποτε μητρὸς ἄκουον.
ἀλλ' ἴθι. κεῦθε δ' ἐμὴν σιγῇ χάριν. ὄφρα τοκῆας
λήσομαι, ἐντύνουσα ὑπόσχεσιν. ἦρι δὲ νηὸν
οἴσομαι εἰς ἑκάτης θελκτήρια φάρμακα ταύρων.
31 Ως ἥ γ' ἐκ θαλάμοιο πάλιν κίε. παισί τ' ἀρωγὴν
αὐτοκασιγνήτης διεπέφραδεν. τὴν δέ μιν αὖθις
αἰδώς τε στυγερόν τε δέος λάβε μουνωθεῖσαν

ρία τριέξου πατρὸς ἐπ' ἀνέρι μητιάασθαι.
νὺξ μὲν ἔπειτ' ἐπὶ γαῖαν ἄγεν κνέφας. οἱ δ' ἐνὶ πόντῳ
ναῦται εἰς ἑλίκην τε καὶ ἀστέρας ὠρίωνος
ἔδρακον ἐκ νηῶν. ὕπνοιο δὲ καί τις ὁδίτης
ἤδη καὶ πυλαωρὸς ἐέλδετο. καί τινα παίδων
μητέρα τεθνεότων ἀδινὸν περὶ κῶμ' ἐκάλυπτεν.
οὐδὲ κυνῶν ὑλακὴ ἔτ' ἀνὰ πτόλιν. οὐ θρόος ἦεν
ἠχήεις. σιγὴ δὲ μελαινομένην ἔχεν ὄρφνην.
32 Ἀλλὰ μάλ' οὐ μήδειαν ἐπὶ γλυκερὸς λάβεν ὕπνος.
πολλὰ γὰρ αἰσονίδαο πόθῳ μελεδήματ' ἔγειρεν
δειδυῖαν ταύρων κρατερὸν μένος. οἷσιν ἔμελλεν
φθεῖσθαι ἀεικελίῃ μοίρῃ κατὰ νειὸν ἄρηος.
πυκνὰ δέ οἱ κραδίη στηθέων ἔντοσθεν ἔθυιεν
ἠελίου ὥς τίς τε δόμοις ἐνιπάλλεται αἴγλη
ὕδατος ἐξανιοῦσα. τὸ δὴ νέον ἠὲ λέβητι
ἠέ που ἐν γαυλῷ κέχυται. ἡ δ' ἔνθα καὶ ἔνθα
ὠκείῃ στροφάλιγγι τινάσσεται ἀίσσουσα.
Ὡς δὲ καὶ ἐν στήθεσι κέαρ ἐλελίζετο κούρης.
δάκρυ δ' ἀπ' ὀφθαλμῶν ἐλέῳ ῥέεν. ἔνδοθι δ' αἰεὶ
τεῖρ' ὀδύνη σμύχουσα διὰ χροός. ἀμφί τ' ἀραιὰς
ἶνας καὶ κεφαλῆς ὑπὸ νείατον ἰνίον ἄχρις.
33 Ἔνθ' ἀλεγεινότατον δύνει ἄχος. ὁππότ' ἀνίας
ἀκάματοι πραπίδεσιν ἐνισκίμψωσιν ἔρωτες.
φῆ δέ οἱ ἄλλοτε μὲν θελκτήρια φάρμακα ταύρων
δωσέμεν. ἄλλοτε δ' οὔ τι. καταφθεῖσθαι δὲ καὶ αὐτή.
αὐτίκα δ' οὔτ' αὐτὴ θανέειν. οὐ φάρμακα δώσειν.
ἀλλ' αὔτως εὔκηλος ἑὴν ὀτλησέμεν ἄτην.
ἑζομένη δ' ἤπειτα δοάσσατο φώνησέν τε.

δειλὴ

δειλὴ ἐγώ. νῦν ἔνθα κακῶν ἢ ἔνθα γένωμαι.
πάντῃ μοι φρένες εἰσὶν ἀμήχανοι· οὐδέ τις ἀλκὴ
πήματος. ἀλλ' αὔτως φλέγει ἔμπεδον. ὡς ὄφελόν γε
ἀρτέμιδος κραιπνοῖσι πάρος βελέεσσι δαμῆναι.
πρὶν τόν γ' εἰσιδέειν. πρὶν ἀχαιίδα γαῖαν ἱκέσθαι
χαλκιόπης υἷας. τοὺς μὲν θεὸς ἤ τις ἐριννὺς
ἄμμι πολυκλαύτους δεῦρ' ἤγαγε κεῖθεν ἀνίας.
φθείσθω ἀεθλεύων. εἴ οἱ κατὰ νειὸν ὀλέσθαι
μοῖρα πέλει. πῶς γάρ κεν ἐμοὺς λελάθοιμι τοκῆας
φάρμακα μησαμένη. ποῖον δ' ἐπὶ μῦθον ἐνίψω.
34 τίς δὲ δόλος. τίς μῆτις ἐπίκλοπος ἔσσετ' ἀρωγῆς
ἦ μιν ἄνευθ' ἑτάρων προσπτύξομαι οἶον ἰδοῦσα.
δύσμορος. οὐ μὲν ἔολπα καταφθιμένοιό περ ἔμπης
λωφήσειν ἀχέων. τότε δ' ἂν κακὸν ἄμμι πέλοιτο
κεῖνος ὅτε ζωῆς ἀπαμείρεται. ἐρρέτω αἰδώς.
ἐρρέτω ἀγλαΐη. ὁ δ' ἐμῇ ἰότητι σαωθεὶς
ἀσκηθής. ἵνα οἱ θυμῷ φίλον ἔνθα νέοιτο.
αὐτὰρ ἐγὼν αὐτῆμαρ ὅτ' ἐξανύσειεν ἄεθλον,
τεθναίην, ἢ λαιμὸν ἀναρτήσασα μελάθρῳ
ἢ καὶ πασσαμένη ῥαιστήρια φάρμακα θυμοῦ.
ἀλλὰ καὶ ὧς φθιμένῃ μοι ἐπιλλίξουσιν ὀπίσσω
κερτομίας. τηλοῦ δὲ πόλις περὶ πᾶσα βοήσει
πότμον ἐμὸν καί κέν με διὰ στόματος φορέουσαι
κολχίδες ἄλλυδις ἄλλαι ἀεικέα μωμήσονται.
ἥ τις κηδομένη τόσον ἀνέρος ἀλλοδαποῖο
κάτθανεν. ἥ τις δῶμα καὶ οὓς ᾔσχυνε τοκῆας
μαργοσύνῃ εἴξασα. τί δ' οὐκ ἐμὸν ἔσσεται αἶσχος.
ὤ μοι ἐμῆς ἄτης. ἦ τ' ἂν πολὺ κέρδιον εἴη

τῇ δ' αὐτῇ ἐν νυκτὶ λιπεῖν βίον ἐν θαλάμοισιν
πότμῳ ἀνωΐστῳ καὶ ἐλέγχεα πάντα φυγοῦσαν,
πρὶν τάδε λωβήεντα καὶ οὐκ ὀνομαστὰ τελέσσαι.
85 Ἦ, καὶ φωριαμὸν μετεκίαθεν. ᾗ ἔνι πολλὰ
φάρμακά οἱ τὰ μὲν ἐσθλά, τὰ δὲ ῥαιστήρι' ἔκειτο.
ἐνθεμένη δ' ἐπὶ γούνατ' ὀδύρετο δεῦε δὲ κόλπους
ἄλληκτον δακρύοισι. τὰ δ' ἔρρεεν ἀσταγὲς αὔτως
αἴν' ὀλοφυρομένης τὸν ἑὸν μόρον. ἵετο δ' ἥγε
86 φάρμακα λέξασθαι θυμοφθόρα τόφρα πάσαιτο.
ἤδη καὶ δεσμοὺς ἀνελύετο φωριαμοῖο
ἐξελέειν μεμαυῖα δυσάμμορος. ἀλλά οἱ ἄφνω
δεῖμ' ὀλοὸν στυγεροῖο κατὰ φρένας ἦλθ' Ἀΐδαο.
ἔσχετο δ' ἀμφασίῃ δηρὸν χρόνον, ἀμφὶ δὲ πᾶσαι
θυμηδεῖς βιότοιο μελησύναι ἰνδάλλοντο.
μνήσατο μὲν τερπνῶν ὅσ' ἐνὶ ζωοῖσι πέλονται,
μνήσαθ' ὁμηλικίης περιγηθέος οἷά τε κούρη.
καί τέ οἱ ἠέλιος γλυκίων γένετ' εἰσοράασθαι
ἢ πάρος ἢ ἐτεόν γε νόῳ ἐπεμαίεθ' ἕκαστα.
καὶ τὴν μέν ῥα πάλιν σφετέρων ἀποκάτθετο γούνων
ἥρης αἰνεσίῃσι μετάτροπος οὐδ' ἔτι βουλὰς
ἄλλῃ δοιάζεσκεν, ἐέλδετο δ' αἶψα φανῆναι
ἠῶ τελλομένην ἵνα οἱ θελκτήρια δοίη
φάρμακα συνθεσίῃσι, καὶ ἀντήσειεν ἐς ὠπήν.
πυκνὰ δ' ἀνὰ κληῖδας ἑῶν λύεσκε θυράων,
αἴγλην σκεπτομένη τῇ δ' ἀσπάσιον βάλε φέγγος
ἠριγενής. κίνυντο δ' ἀνὰ πτολίεθρον ἕκαστοι.
ἔνθα κασιγνήτους μὲν ἔτ' αὐτόθι μεῖναι ἀνώγει
ἄργος, ἵνα φράζοιντο νόον καὶ δήνεα κούρης.

αὐτοὺς δ' αὖτ' ἠῶθι νῆα κίεν προπάροιθε λιασθείς.
Ἡ δ' ἐπεὶ οὖν τὰ πρῶτα φαεινομένην ἴδεν ἠῶ
παρθενικὴ, ξανθὰς μὲν ἀνήψατο χερσὶν ἐθείρας.
αἵ οἱ ἀτημελίῃ καταειμέναι ἠερέθοντο.
αὐσταλέος δ' ἔψησε παρηίδας. αὐτὰρ ἀλοιφῇ
νεκταρέῃ φαιδρύνετ' ἐπὶ χρόα. δῦνε δὲ πέπλον
καλὸν ἐϋγνάμπτοισιν ἀρηρέμενον περόνῃσιν.
ἀμβροσίῳ δ' ἐφύπερθε καρήατι βάλλε καλύπτρην
ἀργυφέην. αὐτοῦ δὲ δόμοις ἔνι δινεύουσα
37 στεῖβε πέδον λήθῃ ἀχέων. τά οἱ ἐν ποσὶν ἦεν
θεσπέσι'. ἄλλα τ' ἔμελλεν ἀεξήσεσθαι ὀπίσσω.
κέκλετο δ' ἀμφιπόλοισιν. αἵ οἱ δυοκαίδεκα πᾶσαι
ἐν προδόμῳ θαλάμοιο θυώδεος ηὐλίζοντο
ἥλικες, οὔπω λέκτρα σὺν ἀνδράσι πορσύνουσαι,
ἐσσυμένως οὐρῆας ὑποζεύξασθαι ἀπήνῃ,
οἵ κέ μιν εἰς ἑκάτης περικαλλέα νηὸν ἄγοιεν.
ἔνθ' αὖτ' ἀμφίπολοι μὲν ἐφοπλίζεσκον ἀπήνην.
ἡ δὲ τέως γλαφυρῆς ἐξείλετο φωριαμοῖο
φάρμακον. ὅ ῥά τε φασὶ προμήθειον καλέεσθαι.
τῷ εἴ κ' ἐννυχίοισιν ἀρεσσάμενος θυέεσσι
38 δαίραν μουνογένειαν ἑὸν δέμας ἰκμαίνοιτο.
ἦ τ' ἂν ὅγ' οὔτε ῥηκτὸς ἔοι χαλκοῖο τυπῇσιν.
οὔτε κεν αἰθομένῳ πυρὶ εἰκάθοι. ἀλλὰ καὶ ἀλκῇ
λωΐτερος κεῖν' ἦμαρ ὁμῶς κάρτει τε πέλοιτο.
πρωτοφυὲς τόγ' ἀνέσχε καταστάζοντος ἔραζε
αἰετοῦ ὠμηστέω κνημοῖς ἔνι καυκασίοισιν
αἱματόεντ' ἰχῶρα προμηθῆος μογεροῖο.
τοῦ δ' ἤτοι ἄνθος μὲν ὅσον πηχυῖον ὕπερθε

χροιῇ κωρυκίῳ ἴκελον κρόκῳ ἐξεφαάνθη.
καυλοῖσιν διδύμοισιν ἐπήορον. ἡ δ' ἐνὶ γαίῃ
σαρκὶ νεοτμήτῳ ἐναλίγκιον ἔπλετο ῥίζα.
39 Τῆς οἵην τ' ἐν ὄρεσσι κελαινὴν ἰκμάδα φηγοῦ
κασπίῃ ἐν κόχλῳ ἀμήσατο φαρμάσσεσθαι.
ἑπτὰ μὲν ἀενάοισι λοεσσαμένη ὑδάτεσσιν.
ἑπτάκι δὲ βριμὼ κουροτρόφον ἀγκαλέσασα
βριμὼ νυκτιπόλον χθονίην ἐνέροισιν ἄνασσαν,
λυγαίῃ ἐνὶ νυκτὶ σὺν ὀρφναίοις φαρέεσσι.
μυκηθμῷ δ' ὑπένερθεν ἐρεμνὴ σείετο γαῖα
ῥίζης τεμνομένης τιτηνίδος. ἔστενε δ' αὐτὸς
ἰαπετοῖο πάϊς ὀδύνῃ πέρι θυμὸν ἀλύων.
τό ῥ' ἥ γ' ἐξανελοῦσα θυώδεϊ κάτθετο μίτρῃ.
ἥ τέ οἱ ἀμβροσίοισι περὶ στήθεσσιν ἔερτο.
ἐκ δὲ θύραζε κιοῦσα θοῆς ἐπεβήσατ' ἀπήνης.
σὺν δέ οἱ ἀμφίπολοι δοιαὶ ἑκάτερθεν ἔβησαν.
αὐτὴ δ' ἡνί' ἔδεκτο καὶ εὐποίητον ἱμάσθλην
δεξιτερῇ. ἔλαεν δὲ δι' ἄστεος. αἱ δὲ δὴ ἄλλαι
ἀμφίπολοι πείρινθος ἐφαπτόμεναι μετόπισθε
τρόχων εὐρεῖαν κατ' ἀμαξιτόν. ἂν δὲ χιτῶνας
λεπταλέους λευκῆς ἐπιγουνίδος ἄχρις ἄειρον.
40 Οἵη δὲ λιαροῖσιν ἐφ' ὕδασι παρθενίοιο
ἠὲ καὶ ἀμνισοῖο λοεσσαμένη ποταμοῖο
χρυσείοις λητωῒς ἐφ' ἅρμασιν ἑστηυῖα
ὠκείαις κεμάδεσσι διεξελάῃσι κολώνας
τηλόθεν ἀντιόωσα πολυκνίσου ἑκατόμβης.
τῇ δ' ἅμα νύμφαι ἕπονται ἀμορβάδες. αἱ μὲν ἐπ' αὐτῆς
ἀγρόμεναι πηγῆς ἀμνισίδος. αἱ δὲ δὴ ἄλλαι

ἄλ

ἄλσεα καὶ σκοπιὰς πολυπίδακας. ἀμφὶ δὲ θῆρες
κνυζηθμῷ σαίνουσιν ὑποτρομέοντες ἰοῦσαν.
Ὡς αἵγ' ἐσσεύοντο δι' ἄστεος. ἀμφὶ δὲ λαοὶ
εἶκον ἀλευάμενοι βασιληίδος ὄμματα κούρης.
αὐτὰρ ἐπεὶ πόλιος μὲν ἐυδμήτους λίπ' ἀγυιάς,
νηὸν δ' εἰσαφίκανε διὲκ πεδίων ἐλάουσα,
δὴ τότ' ἐυτροχάλοιο κατ' αὐτόθι βήσατ' ἀπήνης
ἱεμένη. καὶ τοῖα μετὰ δμωῇσιν ἔειπεν.
Ὦ φίλαι. ἦ μέγα δή τι παρήλιτον. οὐδ' ἐνόησα
μὴ ἴμεν ἀλλοδαποῖσι μετ' ἀνδράσιν. οἵ τ' ἐπὶ γαῖαν
ἡμετέρην στρωφῶσιν. ἀμηχανίῃ βεβόληται
πᾶσα πόλις. τὸ καὶ οὔ τις ἀνήλυθε δεῦρο γυναικῶν
τάων. αἳ τὸ πάροιθεν ἐπημάτιαι ἀγέροντο.
ἀλλ' ἐπεὶ οὖν ἱκόμεσθα καὶ οὔ νύ τις ἄλλος ἔπεισιν
εἰ δ' ἄγε μολπῇ θυμὸν ἀφειδείως κορέσωμεν
μειλιχίῃ. τὰ δὲ καλὰ τερείνης ἄνθεα ποίης
41 λεξάμεναι, τότ' ἔπειτ' αὐτὴν ἀπονισόμεθ' ὥρην.
καὶ δέ κε σὺν πλέεσιν ὀνείασιν οἴκαδ' ἵκοισθε
ἤματι τῷ, εἴ μοι συναρέσσετε τήνδε μενοινήν.
ἄργος γάρ μ' ἐπέεσσι παρατρέπει. ὡς δὲ καὶ αὐτὴ
Χαλκιόπη. τὰ δὲ σῖγα νόῳ ἔχετ' εἰσαΐουσαι
ἐξ ἐμέθεν. μὴ πατρὸς ἐς οὔατα μῦθος ἵκηται.
τὸν ξεῖνόν με κέλονται ὅτις περὶ βουσὶν ὑπέστη
δῶρ' ἀποδεξαμένην, ὀλοῶν ῥύσασθαι ἀέθλων.
αὐτὰρ ἐγὼ τὸν μῦθον ἐπῄνεον. ἠδὲ καὶ αὐτὸν
κέκλομαι εἰς ὠπὴν ἑτάρων ἄπο μοῦνον ἱκέσθαι.
ὄφρα τὰ μὲν δασόμεσθα κατὰ σφίσιν εἴ κεν ὀπάσσῃ
δῶρα φέρων. τῷ δ' αὖτε κακώτερον ἄλλο πόρωμεν

φάρμακ᾽. ἀλλ᾽ ἄτερ νόσφι πέλεσθέ μοι εὖτ᾽ ἂν ἵκηται.
Ὣς ηὔδα. πάσῃσι δ᾽ ἐπίκλοπος ἥνδανε μῆτις.
αὐτίκα δ᾽ αἰσονίδην ἑτάρων ἄπο μοῦνον ἐρύσσας
42 Ἄργος, ὅτ᾽ ἤδη τήνδε κασιγνήτων ἐσάκουσεν
ἠερίην ἑκάτης ἱερὸν μετὰ νηὸν ἰοῦσαν,
ἦγε δ᾽ ἐκ πεδίου, μετὰ δέ σφισιν εἵπετο μόψος
ἀμπυκίδης. ἐσθλὸς μὲν ἐπιπροφανέντας ἐνισπεῖν
οἰωνούς. ἐσθλὸς δὲ συμφράσσασθαι ἰοῦσιν.
Ἔνθ᾽ οὔ πω τις τοῖος τῶν προτέρων γένετ᾽ ἀνδρῶν,
οὔθ᾽ ὅσοι ἐξ αὐτοῖο Διὸς γένος. οὔθ᾽ ὅσοι ἄλλων
ἀθανάτων ἥρωες ἀφ᾽ αἵματος ἐβλάστησαν,
οἷον ἰήσονα θῆκε Διὸς δάμαρ ἤματι κείνῳ
ἠμὲν ἐς ἄντα ἰδεῖν ἠδὲ προτιμυθήσασθαι.
τὸν καὶ παπταίνοντες, ἐθάμβεον αὐτοὶ ἑταῖροι
λαμπόμενον χαρίτεσσιν. ἐγήθησεν δὲ κελεύθῳ
ἀμπυκίδης, ἤδη που ὀισάμενος τὰ ἕκαστα.
Ἔστι δέ τις πεδίοιο κατὰ στίβον ἐγγύθι νηοῦ
αἴγειρος φύλλοισιν ἀπειρεσίοις κομόωσα,
τῇ θαμὰ δὴ λακέρυζαι ἐπηυλίζοντο κορῶναι.
τάων τις μεσσηγὺς ἀνὰ πτερὰ κινήσασα
ὑψοῦ ἐπ᾽ ἀκρεμόνων ἥρης ἠνίπαπε βουλάς
ἀκλειής. ὅδε μάντις. ὃς οὐδ᾽ ὅσα παῖδες ἴσασιν
οἶδε νόῳ φράσσασθαι ὁθούνεκεν οὔτε τι λαρὸν
οὔτ᾽ ἐρατὸν κούρη κεν ἔπος προτιμυθήσαιτο
ἠιθέῳ εὖτ᾽ ἄν σφιν ἐπήλυδες ἄλλοι ἕπωνται.
ἔρροις ὦ κακόμαντι. κακοφραδές, οὐδέ σε κύπρις
οὔτ᾽ ἀγανοὶ φιλέοντες ἐπιπνείουσιν ἔρωτες.
43 Ἴσκεν ἀτεμβομένη. μείδησε δὲ μόψος ἀκούσας

ὀμφὴν

ὀμφὴν οἰωνοῖο θεήλατον. ὧδέ τ' ἔειπε.
τύνη μὲν νηόνδε θεᾶς ἴθι. τῷ ἔνι κούρην
δήεις αἰσονίδη. μάλα δ' ἠπίῃ ἀντιβολήσεις
κύπριδος ἐννεσίῃς ἥ τοι συνέριθος ἀέθλων
ἔσσεται. ὡς δὴ καὶ πρὶν ἀγηνορίδης φάτο φινεύς.
νῶι δ' ἐγὼν ἄργος τε δεδεγμένοι εὖτ' ἂν ἵκηαι
τῷδ' αὐτῷ ἐνὶ χώρῳ ἀπεσσόμεθ'. οἰόθι δ' αὐτὸς
λίσσεό μιν πυκινοῖσι παρατροπέων ἐπέεσσιν.
ἦ ῥα περιφραδέως. ἐπὶ δὲ σχεδὸν ᾔνεον ἄμφω.
οὐδ' ἄρα μηδείης θυμὸς τράπετ' ἄλλα νοῆσαι
μελπομένης περ ὅμως. πᾶσαι δέ οἱ, ἥν τιν' ἀθύροι
μολπὴν οὐκ ἐπὶ δηρὸν ἐφήνδανεν ἑψιάασθαι.
ἀλλὰ μεταλλήγεσκεν ἀμήχανος. οὐδέ ποτ' ὄσσε
ἀμφιπόλων μεθ' ὅμιλον ἔχ' ἀτρέμας. ἐς δὲ κελεύθους
τηλόσε παπταίνεσκε παρακλίνουσα παρειάς.
ἦ θαμὰ δὴ στηθέων ἐάγη κέαρ. ὁππότε δοῦπον
ἢ ποδὸς ἢ ἀνέμοιο παραθρέξαντα δοάσσαι.
αὐτὰρ ὅγ' οὐ μετὰ δηρὸν ἐελδομένῃ ἐφαάνθη
ὑψόσ' ἀναθρώσκων ἅτε σείριος ὠκεανοῖο.
ὃς δή τοι καλὸς μὲν ἀρίζηλός τ' ἐσιδέσθαι
ἀντέλλει. μήλοισι δ' ἀνάσπετον ἧκεν ὀϊζύν.
Ὣς ἄρα τῇ καλὸς μὲν ἐπήλυθεν εἰσοράασθαι
αἰσονίδης. κάματον δὲ δυσίμερον ὦρσε φανθείς,
ἐκ δ' ἄρα οἱ κραδίη στηθέων πέσεν. ὄμματα δ' αὔτως
ἤχλυσαν. θερμὸν δὲ παρηίδας εἷλεν ἔρευθος.
γούνατα δ' οὔτ' ὀπίσω οὔτε προπάροιθεν ἀεῖραι
ἔσθενεν. ἀλλ' ὑπένερθε πάγη πόδας. αἱ δ' ἄρα τείως
ἀμφίπολοι μάλα πᾶσαι ἀπὸ σφείων ἐλίασθε.

τὼ δ' ἄνεῳ καὶ ἄναυδοι ἐφέστασαν ἀλλήλοισιν
ἢ δρυσὶν ἢ μακρῇσιν ἐειδόμενοι ἐλάτῃσιν.
αἵ τε παρᾶσσον ἕκηλοι ἐν οὔρεσιν ἐρρίζωνται
νηνεμίῃ. μετὰ δ' αὖτις ὑπαὶ ῥιπῆς ἀνέμοιο
44 κινύμεναι ὁμάδησαν ἀπείριτον. ὡς ἄρα τώγε
μέλλον ἅλις φθέγξασθαι ὑπὸ πνοιῇσιν ἔρωτος,
γνῶ δέ μιν αἰσονίδης ἄτῃ ἔνι πεπτηυῖαν
θευμορίῃ. καὶ τοῖον ὑποσσαίνων φάτο μῦθον.
τίπτε με παρθενικὴ τόσον ἅζεαι οἶον ἐόντα,
οὔτοι ἐγὼν οἷοί τε δυσαυχέες ἄλλοι ἔασιν
ἀνέρες. οὐδ' ὅτε περ πάτρῃ ἔνι ναιετάεσκον
ἦα πάρος. τῷ μή με λίην ὑπεραιδέο κούρη,
ἤ τι παρεξερέεσθαι ὅ τοι φίλον ἠέ τι φάσθαι.
ἀλλ' ἐπεὶ ἀλλήλοις ἱκάνομεν εὐμενέοντες
χώρῳ ἐν ἠγαθέῳ ἵνα τ' οὐ θέμις ἔστ' ἀλιτέσθαι,
ἀμφαδίην ἀγόρευε καὶ εἴρεο. μηδέ με τερπνοῖς
φηλώσῃς ἐπέεσσιν. ἐπεὶ τὸ πρῶτον ὑπέστης
αὐτοκασιγνήτῃ μενοεικέα φάρμακα δώσειν.
πρὸς αὐτῆς ἑκάτης μειλίσσομαι ἠδὲ τοκήων
καὶ Διός. ὃς ξείνοις, ἱκέτῃσί τε χεῖρ' ὑπερίσχει,
ἀμφότερον δ' ἱκέτης ξεῖνος δ' ἔτι ἐνθάδ' ἱκάνω
χρειοῖ ἀναγκαίῃ γουνούμενος. οὐ γὰρ ἄνευθεν
ὑμείων στονόεντος ὑπέρτερος ἔσσομ' ἀέθλου.
σοὶ δ' ἂν ἐγὼ τίσαιμι χάριν μετόπισθεν ἀρωγῆς
ἣ θέμις, ὡς ἐπέοικε διάνδιχα ναιετάοντας
οὔνομα καὶ καλὸν τεύχων κλέος. ὡς δὲ καὶ ὧλλοι
45 ἥρωες κλῄσουσιν ἐς ἑλλάδα νοστήσαντες
ἡρώων τ' ἄλοχοι καὶ μητέρες, αἵ νύ που ἤδη

ἡμέ

ἡμέας ἠιόνεσσιν ἐφεζόμεναι γοάασιν.
ταίων ἀργαλέας κεν ἀποσκεδάσειας ἀνίας.
δή ποτε καὶ θησῆα κακῶν ὑπελύσατ' ἀέθλων
παρθενικὴ μινωῒς ἐϋφρονέουσ' ἀριάδνη.
ἥν ῥά τε πασιφάη κούρη τέκεν ἠελίοιο.
ἀλλ' ἡ μὲν καὶ νηὸς ἐπεὶ χόλον εὔνασε μίνως,
σὺν τῷ ἐφεζομένη πάτρην λίπε. τὴν δὲ καὶ αὐτοὶ
ἀθάνατοι φίλαντο. μέσῳ δέ οἱ αἰθέρι τέκμαρ
ἀστερόεις στέφανος. τόν τε κλείουσ' ἀριάδνης
πάννυχος οὐρανίοισιν ἑλίσσεται εἰδώλοισιν
Ὧς καὶ σοὶ θεόθεν χάρις ἔσσεται εἴ κε σαώσεις
τόσσον ἀριστήων ἀνδρῶν στόλον. ἦ γὰρ ἔοικας
ἐκ μορφῆς ἀγανῇσιν ἐπητείῃσι κεκάσθαι
46 Ὧς φάτο κυδαίνων. ἡ δ' ἐγκλιδὸν ὄσσε βαλοῦσα
νεκτάρεον μείδησε. ἐχύθη δέ οἱ ἔνδοθι θυμὸς.
αἴνῳ ἀειρομένης. καὶ ἀνέδρακεν ὄμμασιν ἄντην.
οὐδ' ἔχεν ὅττι πάροιθεν ἔπος προτιμυθήσαιτο.
ἀλλ' ἀμυδὶς μενέαινεν ἀολλέα πάντ' ἀγορεῦσαι.
προπρὸ δ' ἀφειδήσασα θυώδεος ἔξελε μίτρης
φάρμακον. αὐτὰρ ὅγ' αἶψα χεροῖν ὑπέδεκτο γεγηθώς.
καί νύ κέ οἱ καὶ πᾶσαν ἀπὸ στηθέων ἀρύσασα
ψυχὴν ἐγγυάλιξεν ἀγαιομένη χατέοντι.
τοῖος ἀπὸ ξανθοῖο καρήατος αἰσονίδαο
στράπτεν ἔρως ἡδεῖαν ἀπὸ φλόγα. τῆς δ' ἀμαρυγὰς
ὀφθαλμῶν ἥρπαζεν. ἰαίνετο δὲ φρένας εἴσω
47 τηκομένη. οἷόν τε περὶ ῥοδέῃσιν ἐέρση
τήκεται ἠῴοισιν ἰαινομένη φαέεσσιν.
ἄμφω δ' ἄλλοτε μέν τε κατ' οὔδεος ὄμματ' ἔρειδον

αἰδόμενοι. ὅτε δ' αὖτις ἐπὶ σφίσι βάλλον ὀπωπὰς
ἱμερόεν φαιδρῇσιν ὑπ' ὀφρύσι μειδιόωντες.
ὀψὲ δὲ δὴ τοίοισι μόλις προσπτύξατο κούρη.
φράζεο νῦν ὥς κέν τοι ἐγὼ μητίσομ' ἀρωγήν.
εὖτ' ἂν δὴ μετιόντι πατὴρ ἐμὸς ἐγγυαλίξῃ
ἐξ ὄφιος γενύων ὀλοοὺς σπείρασθαι ὀδόντας.
48 δὴ τότε μέσσην νύκτα διαμμοιρηδὰ φυλάξας
ἀκαμάτοιο ῥοῇσι λοεσσάμενος ποταμοῖο,
οἶος ἄνευθ' ἄλλων ἐνὶ φάρεσι κυανέοισι
βόθρον ὀρύξασθαι περιηγέα. τοῦ δ' ἐνὶ θῆλυν
ἀρνειὸν σφάζειν, καὶ ἀδαίετον ὠμοθετῆσαι
αὐτοῦ πυρκαϊὴν εὖ νηήσας ἐπὶ βόθρῳ.
μουνογενῆ δ' Ἑκάτην Περσηίδα μειλίσσοιο
λείβων ἐκ δέπαος σιμβλήια ἔργα μελισσῶν.
ἔνθα δ' ἔπειτα θεὰν μεμνημένος ἱλάσκαι.
ἂψ δ' ἀπὸ πυρκαϊῆς ἀναχάζεο. μηδέ σε δοῦπος
ἠὲ ποδῶν ὄρσῃσι μεταστρεφθῆναι ὀπίσσω,
49 ἠὲ κυνῶν ὑλακή, μή πως τὰ ἕκαστα κολούσας.
οὐδ' αὐτὸς κατὰ κόσμον ἑοῖς ἑτάροισι πελάσσῃς,
ἦρι δὲ μυδήνας τόδε φάρμακον, ἠύτ' ἀλοιφῇ
γυμνωθεὶς φαίδρυνε τεὸν δέμας. ἐν δέ οἱ ἀλκὴ
ἔσσετ' ἀπειρεσίη μέγα τε σθένος. οὐδέ κε φαίης
ἀνδράσιν, ἀλλὰ θεοῖσιν ἰσαζέμεν ἀθανάτοισιν.
πρὸς δὲ καὶ αὐτοῦ δουρὶ σάκος πεπαλαγμένον ἔστω
καὶ ξίφος. ἔνθ' οὐκ ἄν σε διατμήξειαν ἀκωκαὶ
γηγενέων ἀνδρῶν, οὐδ' ἄσχετος ἀίσσουσα
φλὸξ ὀλοῶν ταύρων. τοῖός γε μὲν οὐκ ἐπὶ δηρὸν
ἔσσεαι, ἀλλ' αὐτῆμαρ. ὅμως σύ γε μή ποτ' ἀέθλου

χάζεο.

χαλκέω. σὺ δέ ῥι ἄλλο πάρεξ ὑποθήσομ᾽ ὄνειαρ.
αὐτίκ᾽ ἐπὴν κρατεροὺς ζεύξῃς βόας, ὦκα δὲ πᾶσαν
χερσὶ σὺ ἠνορέῃ στυφελὴν διὰ νειὸν ἀρόσσῃς.
οἱ δ᾽ ἤδη κατὰ ὦλκας ἀνασταχύωσι γίγαντες
σπειρομένων ὄφιος δνοφερὴν ἐπὶ βῶλον ὀδόντων.
αἴ κεν ὀρινομένους πολέας νειοῖο δοκεύσῃς
λάθρῃ λᾶαν ἄφες στιβαρώτερον. οἱ δ᾽ ἂν ἐπ᾽ αὐτῷ
καρχαλέοι κύνες ὥς τε περὶ βρώμης ὀλέκοιεν
ἀλλήλους. καὶ δ᾽ αὐτὸς ἐπείγεο δηιοτῆτος
ἰθῦσαι. τὸ δὲ κῶας ἐς ἑλλάδα τοῖό γ᾽ ἕκητι
οἴσεαι ἐξ αἴης τηλοῦ ποθι. νείσεο δ᾽ ἔμπης
οὗ φίλον. εἴ τοι ἕαδεν ἀφορμηθέντι νέεσθαι.
Ως ἄρ᾽ ἔφη. καὶ σῖγα ποδῶν πάρος ὄσσε βαλοῦσα
θεσπέσιον λιαροῖσι παρηίδα δάκρυσι δεῦε
μυρομένη. ὅτ᾽ ἔμελλεν ἀπόπροθι πολλὸν ἑοῖο
πόντον ἐπιπλάγξασθαι. ἀνιηρῷ δέ μιν ἄντην
ἐξαῦτις μύθῳ προσεφώνεεν, εἷλέ τε χειρὸς
δεξιτερῆς ἤδη γὰρ ἀπ᾽ ὀφθαλμοὺς λίπεν αἰδώς.
μνώεο δ᾽ ἢν ἄρα δή ποθ᾽ ὑπότροπος οἴκαδ᾽ ἵκηαι
οὔνομα μηδείης. ὡς δ᾽ αὖτ᾽ ἐγὼ ἀμφὶς ἐόντος
μνήσομαι. εἰπὲ δέ μοι πρόφρων τόδε πῇ τοι ἔασι
δώματα. πῇ νῦν ἔνθεν ὑπεὶρ ἅλα νηὶ περήσεις.
ἤ νύ που ἀφνειοῦ σχεδὸν ἵξεαι ὀρχομενοῖο.
ἠὲ καὶ αἰαίης νήσου πέλας. εἰπὲ δὲ κούρην
ἥν τινα τήν δ᾽ ὀνόμηνας ἀριγνώτην γεγαυῖαν
πασιφάην. ἣ πατρὸς ὁμόγνιός ἐστιν ἐμεῖο.
Ως φάτο. τὸν δὲ καὶ αὐτὸν ὑπήιε δάκρυσι κούρης
οὖλος ἔρως. τοῖον δὲ παραβλήδην ἔπος ηὔδα.

καί ῥά μιν οὐ νύκτας ὀΐομαι οὐδέ ποτ' ἦμαρ
σεῦ ἐπιλήσεσθαι προφυγὼν μόρον. εἰ ἐτεόν γε
φεύξομαι ἀσκηθὴς ἐς ἀχαιΐδα. μηδέ τιν' ἄλλον
αἰήτης προβάλῃσι κακώτερον ἄμμιν ἄεθλον.
εἰ δέ τι ἡμετέρην ἐξίδμεναι εὔαδε πάτρην,
ἐξερέω. μάλα γάρ με καὶ αὐτὸν θυμὸς ἀνώγει.
50 ἔστι τις αἰπεινοῖσι περίδρομος οὔρεσι γαῖα,
πάμπαν ἐΰρρηνός τε καὶ εὔβοτος. ἔνθα προμηθεὺς
ἰαπετιονίδης ἀγαθὸν τέκε δευκαλίωνα.
ὃς πρῶτος ποίησε πόλεις καὶ ἐδείματο νηοὺς
ἀθανάτοις. πρῶτος δὲ καὶ ἀνθρώπων βασίλευσεν.
αἱμονίην δὴ τήνδε περικτίονες καλέουσιν.
ἐν δ' αὐτῇ ἰωλκὸς ἐμὴ πόλις. ἐν δὲ καὶ ἄλλαι
πολλαὶ ναιετάουσιν. ἵν' οὐδέ περ οὔνομ' ἀκοῦσαι
αἰαίης νήσου. μινύην γέ μὲν ὁρμηθέντα
αἰολίδην μινύην ἔνθεν φάτις ὀρχομενοῖο
δή ποτε καδμείοισιν ὁμούριον ἄστυ πολίσσαι.
ἀλλὰ τίη τὰ δέ τοι μεταμώνια πάντ' ἀγορεύω.
ἡμετέρους τε δόμους τηλεκλειτήν τ' ἀριάδνην
κούρην μίνωος τό περ ἀγλαὸν οὔνομα κείνην
παρθενικὴν καλέεσκον ἐπήρατον. ἥν μ' ἐρεείνεις.
51 αἴθε γὰρ ὡς θησῆϊ τότε ξυναρέσατο μίνως
ἀμφ' αὐτῆς, ὣς ἄμμι πατὴρ τεὸς ἄρθμιος εἴη.
Ως φάτο μειλιχίοισι καταψύχων ὀάροισι.
τῆς δ' ἀλεγεινόταται κραδίην ἐρέθεσκον ἀνῖαι.
καί μιν ἀκηχεμένη ἀδινῷ προσπτύξατο μύθῳ.
ἑλλάδι που τάδε καλὰ συνημοσύνας ἀλεγύνειν.
αἰήτης δ' οὐ τοῖος ἐν ἀνδράσιν οἷον ἔειπας

μίνω

μίνω πασιφάης πόσιν ἔμμεναι. οὐδ' ἀριάδνῃ
ἰσοῦμαι. τῶ μή τι φιλοξενίην ἀγόρευε.
ἀλλ' οἶον τύνη μὲν ἐμεῦ ὅτ' ἰωλκὸν ἵκηαι
μνώεο. σεῖο δ' ἐγὼ καὶ ἐμῶν ἀέκητι τοκήων
μνήσομαι. ἔλθοι δ' ἧμιν ἀπόπροθεν ἠέ τις ὄσσα
ἠέ τις ἄγγελος ὄρνις. ὅτ' ἐκλελάθοιο ἐμεῖο.
ἢ αὐτήν με ταχεῖαι ὑπὲρ πόντοιο φέροιεν
ἐνθένδ' εἰς ἰωλκὸν ἀναρπάξασαι ἄελλαι,
ὄφρα σ' ἐν ὀφθαλμοῖσιν ἐλεγχείας προφέρουσα,
μνήσω ἐμῇ ἰότητι πεφυγμένον. αἴθε γὰρ εἴην
ἀπροφάτως τότε σοῖσιν ἐφέστιος ἐν μεγάροισιν.
Ὡς ἄρ' ἔφη. ἐλεεινὰ καταπροχέουσα παρειῶν
δάκρυα. τὴν δ' ὅγε δῆθεν ὑποβλήδην προσέειπε.
δαιμονίη. κενεὰς μὲν ἔα πλάζεσθαι ἀέλλας.
ὡς δὲ καὶ ἄγγελον ὄρνιν, ἐπεὶ μεταμώνια βάζεις.
εἰ δέ κεν ἤθεα κεῖνα καὶ ἑλλάδα γαῖαν ἵκηαι,
τιμήεσσα γυναιξὶ καὶ ἀνδράσιν αἰδοίη τε
ἔσσεαι. οἱ δέ σε πάγχυ θεὸν ὡς πορσανέουσιν.
οὕνεκα τῶν μὲν παῖδες ὑπότροποι οἴκαδ' ἵκοντο
σῇ βουλῇ. τῶν δ' αὖτε κασίγνητοί τε ἔται τε
καὶ θαλεροὶ κακότητος ἄδην ἐσάωθεν ἀκοῖται.
ἡμέτερον δὲ λέχος θαλάμοις ἔνι κουριδίοισι
πορσανέεις. οὐδ' ἄμμε διακρινέει φιλότητος
ἄλλο. πάρος θάνατόν γε μεμορμένον ἀμφικαλύψαι.
52 Ὡς φάτο. τῇ δ' ἔνδοθε κατείβετο θυμὸς ἀκουῇ,
ἔμπης δ' ἔργ' ἀΐδηλα κατερρίγησεν ἰδέσθαι.
σχετλίη οὐ μὲν δηρὸν ἀπαρνήσασθαι ἔμελλεν
ἑλλάδα ναιετάειν. ὡς γὰρ τόδε μήδετο ἥρη,

ὄφρα κακὸν πελίῃ ἱερὴν ἐς ἰωλκὸν ἵκηται
αἰαίη μήδεια λιποῦσά γε πατρίδα γαῖαν.
ἤδη δ᾿ ἀμφίπολοι μὲν ὀπιπτεύουσαι ἄπωθεν
σιγῇ ἀνιάζεσκον. ἐδεύετο δ᾿ ἤματος ὥρη
ἂψ οἶκόνδε νέεσθαι ἑὴν μετὰ μητέρα κούρην.
ἡ δ᾿ οὔπω κομιδῆς μιμνήσκετο. τέρπετο γάρ οἱ
θυμὸς ὁμῶς μορφῇ τε καὶ αἱμυλίοισι λόγοισιν.
εἰ μὴ ἄρ αἰσονίδης πεφυλαγμένος ὀψέ περ ηὔδα.
Ὥρη ἀποβλώσκειν μὴ πρὶν φάος ἠελίοιο
δύῃ ὑποφθάμενον, καί τις τὰ ἕκαστα νοήσῃ
ὀθνείων αὖτις δ᾿ ἀβολήσομεν ἐνθάδ᾿ ἰόντες.
Ὣς τώ γ᾿ ἀλλήλων ἀγανοῖς ἐπὶ τόσσον ἔπεσσιν
πειρηθέντε μετὰ δ᾿ αὖτε διέτμαγεν. ἤτοι ἰήσων
εἰς ἑτάρους καὶ νῆα κεχαρμένος ὦρτο νέεσθαι.
ἡ δὲ μετ᾿ ἀμφιπόλους. αἱ δὲ σχεδὸν ἀντεβόλησαν
πᾶσαι ὁμοῦ. τὰς δ᾿ οὔ τι περιπλομένας ἐνόησε.
ψυχὴ γὰρ νεφέεσσι μεταχθονίη πεπότητο.
αὐτομάτοις δὲ πόδεσσι θοῆς ἐπεβήσατ᾿ ἀπήνης.
καί ῥ᾿ ἑτέρῃ μὲν χειρὶ λάβ᾿ ἡνία. τῇ δ᾿ ἄρ᾿ ἱμάσθλην
δαιδαλέην οὐρῆας ἐλαυνέμεν. οἱ δὲ πόλινδε
θῦνον ἐπειγόμενοι ποτὶ δώματα. τὴν δ᾿ ἄρ᾿ ἰοῦσαν
χαλκιόπη περὶ παισὶν ἀκηχεμένη ἐρέεινεν.
53 Ἡ δὲ παλιντροπίῃσιν ἀμήχανος. οὔτε τι μύθων
ἔκλυεν. οὔτ᾿ αὐδῆσαι ἀνειρομένῃ λελίητο.
ἷζε δ᾿ ἐπὶ χθαμαλῷ σφέλαϊ κλιντῆρος ἔνερθεν
λέχρις ἐρεισαμένη λαιῇ ἐπὶ χειρὶ παρειήν.
ὑγρὰ δ᾿ ἐνὶ βλεφάροις ἔχεν ὄμματα πορφύρουσα
οἷον ἑῇ κακὸν ἔργον ἐπιξυνώσατο βουλῇ.

αἰσο

αἰσονίδης δ' ὅτε δὴ ἑτάροις ἐξαῦτις ἔμικτο
ἐν χώρῃ. ὅθι τούς γε καταπρολιπὼν ἐλιάσθη,
ὦρτ' ἰέναι σὺν τοῖσι πιφαυσκόμενος τὰ ἕκαστα
ἡρώων ἐς ὅμιλον. ὁμοῦ δ' ἐπὶ νῆα πέλασσαν.
οἱ δέ μιν ἀμφαγάπαζον ὅπως ἴδον, ἔκ τ' ἐρέοντο.
αὐτὰρ ὁ τοῖς πάντεσσι μετέννεπε δήνεα κούρης.
54 δεῖξέ τε φάρμακον αἰνόν. ὁ δ' οἰόθεν οἶος ἑταίρων
ἴδας ἧστ' ἀπάνευθε δακὼν χόλον. οἱ δὲ δὴ ἄλλοι
γηθόσυνοι. τῆμος μέν. ἐπεὶ κνέφας ἔργαθε νυκτὸς
εὔκηλοι μέλοντο περὶ σφίσιν. αὐτὰρ ἅμ' ἠοῖ
πέμπον ἐς αἰήτην ἰέναι σπόρον αἰτήσοντας
ἄνδρε δύω. πρὸ μὲν αὐτὸν ἀρηΐφιλον τελαμῶνα
σὺν δὲ καὶ αἰθαλίδην υἷα κλυτὸν ἑρμείαο.
βὰν δ' ἴμεν. οὐδ' ἁλίωσαν ὁδόν. πόρε δέ σφιν ἰοῦσιν
κρείων αἰήτης χαλεποὺς ἐς ἄεθλον ὀδόντας
ἀονίοιο δράκοντος. ὃν ὠγυγίῃ ἐνὶ θήβῃ
κάδμος ὅτ' εὐρώπην διζήμενος εἰσαφίκανε
πέφνεν. ἀρητιάδι κρήνῃ ἐπίουρον ἐόντα.
ἔνθα καὶ ἐννάσθη πομπῇ βοός. ἥν οἱ ἀπόλλων
ὤπασε μαντοσύνῃσι προηγήτειραν ὁδοῖο.
τοὺς δὲ θεὰ τριτωνὶς ὑπ' ἐκ γενύων ἐλάσασα
αἰήτῃ πόρε δῶρον ὁμῶς αὐτῷ τε φονῆι.
καί ῥ' ὁ μὲν ἀονίοισιν ἐνισπείρας πεδίοισι
55 κάδμος ἀγηνορίδης γαιηγενῆ εἵσατο λαὸν
ἄρεος ἀμώοντος ὅσοι ὑπὸ δουρὶ λίποντο.
τοὺς δὲ τότ' αἰήτης ἔπορεν μετὰ νῆα φέρεσθαι
προφρονέως. ἐπεὶ οὔ μιν ὀΐσσατο πείρατ' ἀέθλου
ἐξανύσειν, εἰ καί περ ἐπὶ ζυγὰ βουσὶ βάλοιτο.

ἠέλιος μὲν ἄπωθεν ἐρεμνὴν δύετο γαῖαν
ἑσπέριος νεάτας ὑπὲρ ἄκριας αἰθιοπήων.
56 Νὺξ δ' ἵπποισιν ἔβαλλεν ἔπι ζυγά. τοὶ δὲ χαμεύνας
ἔντυον ἥρωες παρὰ πείσμασιν. αὐτὰρ ἰήσων
αὐτίκ' ἐπεί ῥ' ἑλίκης εὐφεγγέος ἀστέρες ἄρκτου
ἔκλιθεν. οὐρανόθεν δὲ πανεύκηλος γένετ' αἰθήρ,
βῆ ῥ' ἐς ἐρημαίην κλωπήιος. ἠύτε τίς φὼρ
σὺν πᾶσι χρήεσσι, πρὸ γάρ τ' ἀλέγυνεν ἕκαστα
ἠμάτιος. θῆλυν μὲν ὄιν γάλα τ' ἔκτοθι ποίμνης
ἄργος ἰὼν ἤνεικε. τὰ δ' ἐξ αὐτῆς ἕλε νηός.
ἀλλ' ὅτε δὴ ἴδε χῶρον ὅ τις πάτου ἔκτοθεν ἦεν
ἀνθρώπων καθαρῇσιν ὑπεύδιος εἱαμενῇσιν.
Ενθ' ἤτοι πάμπρωτα λοέσσατο μὲν ποταμοῖο
εὐαγέως θείοιο τέρεν δέμας. ἀμφὶ δὲ φᾶρος
ἕσσατο κυάνεον. τό μιν οἱ πάρος ἐγγυάλιξε
λημνιὰς ὑψιπύλη. ἀδινῆς μνημήιον εὐνῆς.
πηχυῖον δ' ἄρ' ἔπειτα πέδῳ ἔνι βόθρον ὀρύξας
νήησε σχίζας. ἐπὶ δ' ἀρνειοῦ τάμε λαιμόν.
αὐτόν τ' εὖ καθύπερθε τανύσσατο. δαῖε δὲ φιτροὺς
57 πῦρ ὑπένερθεν ἱείς. ἐπὶ δὲ μιγάδας χέε λοιβὰς
βριμὼ κικλήσκων ἑκάτην, ἐπαρωγὸν ἀέθλων.
καί ῥ' ὁ μὲν ἀγκαλέσας πάλιν ἔστιχεν. ἡ δ' ἀίουσα
κευθμῶν ἐξ ὑπάτων δεινὴ θεὸς ἀντεβόλησεν
ἱροῖς αἰσονίδαο. πέριξ δέ μιν ἐστεφάνωντο
σμερδαλέοι δρυΐνοισι μετὰ πτόρθοισι δράκοντες.
στράπτε δ' ἀπειρέσιον δαΐδων σέλας. ἀμφὶ δὲ τήν γε
ὀξείῃ ὑλακῇ χθόνιοι κύνες ἐφθέγγοντο.
πίσεα δ' ἔτρεμε πάντα κατὰ στίβον. αἱ δ' ὀλόλυξαν

νύμ-

νύμφαι ἑλειονόμοι ποταμηίδες, αἳ περὶ κείνην
φάσιδος εἰαμενὴν ἀμαραντίου εἰλίσσονται.
αἰσονίδην δ' ἤτοι μὲν ἕλεν δέος. ἀλλά μιν οὐδ' ὧς
ἐντροπαλιζόμενον πόδες ἔκφερον, ὄφρ' ἑτάροισι
μίκτο κιών. ἤδη δὲ φόως νιφόεντος ὕπερθεν
καυκάσου ἠριγενὴς ἠὼς βάλεν ἀντέλλουσα.
καί τότ' ἄρ' αἰήτης περὶ μὲν στήθεσιν ἕεστο
θώρηκα στάδιον. τόν οἱ πόρεν ἐξεναρίξας
σφωϊτέρης φλεγραῖον ἄρης ὑπὸ χερσὶ μίμαντα.
χρυσείην δ' ἐπὶ κρατὶ κόρυν θέτο τετραφάληρον.
λαμπομένην οἷόν τε περίτροχον ἔπλετο φέγγος
ἠελίου, ὅτε πρῶτον ἀνέρχεται ὠκεανοῖο.
ἂν δὲ πολύῤῥινον νώμα σάκος, ἂν δὲ καὶ ἔγχος
δεινὸν ἀμαιμάκετον. τὸ μὲν οὔ κέ τις ἄλλος ὑπέστη
ἀνδρῶν ἡρώων. ὅτε κάλλιπον ἡρακλῆα,
τῆλε παρὲξ ὅ κεν οἶος ἐναντίβιον πολέμιξε·
τῷ δὲ καὶ ὠκυπόδων ἵππων εὐπηγέα δίφρον
ἔσχε πέλας φαέθων ἐπιβήμεναι. ἂν δὲ καὶ αὐτὸς
βήσατο. ῥυτῆρας δὲ χεροῖν ἔχεν. ἐκ δὲ πόληος
ἤλασεν εὐρεῖαν κατ' ἀμαξιτὸν ὥς κεν ἀέθλων
παρσταίη. σὺν δέ σφιν ἀπειρὲς ἔσσυτο λαός.
58 οἷος δ' ἴσθμιον εἶσι ποσειδάων ἐς ἀγῶνα
ἅρμασιν ἐμβεβαὼς, ἢ ταίναρον, ἢ ὅ γε λέρνης
ὕδωρ, ἠὲ κατ' ἄλσος ὑαντίου ὀγχηστοῖο.
καί τε καλαύρειαν μετὰ δὴ θ' ἅμα νείσεται ἵπποις,
πέτρην θ' αἱμονίην, ἢ δενδρήεντα γεραιστὸν,
τοῖος ἄρ' αἰήτης κόλχων ἀγὸς ἦεν ἰδέσθαι.
τόφρα δὲ μηδείης ὑποθημοσύνῃσιν ἰήσων

φάρμακα μυδήνας ἠμὲν σάκος ἀμφεπάλυνεν
ἠδὲ δόρυ βριαρόν. περὶ δὲ ξίφος. ἀμφὶ δ' ἑταῖροι
πείρησαν τευχέων βεβιημένοι. οὐδ' ἐδύναντο
κεῖνο δόρυ γνάμψαι τυτθόν γέ περ. ἀλλὰ μάλ' αὔ-
ἀαγὲς κρατερῇσιν ἐνεσκλήκει παλάμῃσιν. (τως
αὐτὰρ ὁ τοῖς ἄμοτον κοτέων ἀφαρήϊος ἴδας,
κόψε παρ' οὐρίαχον μεγάλῳ ξίφει. ἆλτο δ' ἀκωκὴ
ῥαιστὴρ ἄκμονος ὥς τε παλιντυπές. οἱ δ' ὁμάδησαν
γηθόσυνοι ἥρωες ἐπ' ἐλπωρῇσιν ἀέθλου.
καὶ δ' αὐτὸς μετέπειτα παλύνετο. δῦ δέ μιν ἀλκὴ
σμερδαλέη ἄφατός τε καὶ ἄτρομος. αἱ δ' ἑκάτερθε
χεῖρες ἐπερρώσαντο περὶ σθένεϊ σφριγόωσαι.
59 Ὡς δ' ὅτ' ἀρήϊος ἵππος ἐελδόμενος πολέμοιο
σκαρθμῷ ἐπιχρεμέθων κρούει πέδον. αὐτὰρ ὕπερθε
κυδιόων ὀρθοῖσιν ἐπ' οὔασιν αὐχέν' ἀείρει,
τοῖος ἄρ' αἰσονίδης ἐπαγαίετο κάρτεϊ γυίων.
πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθα μετάρσιον ἴχνος ἔπαλλεν,
ἀσπίδα χαλκείην μελίην τ' ἐν χερσὶ τινάσσων.
φαίης κεν ζοφεροῖο κατ' αἰθέρος ἀΐσσουσαν
χειμερίην στεροπὴν θαμινὸν μεταπαιφάσσεσθαι
ἐκ νεφέων ὅτ' ἔπειτα μελάντατον ὄμβρον ἄγωνται.
καὶ τότ' ἔπειτ' οὐ δηρὸν ἔτι σχήσεσθαι ἀέθλων
μέλλον. ἀτὰρ κληῖσιν ἐπισχερὼ ἱδρυνθέντες
ῥίμφα μάλ' ἐς πεδίον τὸ ἀρήϊον ἠπείγοντο.
τόσον δὲ προτέρω πέλεν ἄστεος ἀντιπέρηθεν,
60 Ὅσον τ' ἐκ βαλβῖδος ἐπήβολος ἅρματι νύσσα
γίγνεται. ὁππότ' ἄεθλα καταφθιμένοιο ἄνακτος
κηδεμόνες πεζοῖσι καὶ ἱππήεσσι τίθενται.

τέτμον

Τέτμον δ' αἰήτην τε καὶ ἄλλων ἔθνεα κόλχων,
τοὺς μὲν καυκασίοισιν ἐφεσταότας σκοπέλοισι.
τὸν δ' αὐτοῦ παρὰ χεῖλος ἑλισσόμενον ποταμοῖο.
αἰσονίδης δ' ὅτε δὴ πρυμνήσια λῦσαν ἑταῖροι
δή ῥα τότε ξὺν δουρὶ καὶ ἀσπίδι βαῖν' ἐς ἄεθλον
νηὸς ἄπο προθορών. ἄμυδις δ' ἕλε παμφανόωσαν
χαλκείην πήληκα θοῶν ἔμπλειον ὀδόντων
καὶ ξίφος ἀμφ' ὤμοις γυμνὸς δέμας. ἄλλα μὲν ἄρει
ἴκελος ἄλλα δέ που χρυσάορι ἀπόλλωνι.
παπτήνας δ' ἀνὰ νειόν, ἴδε ζυγὰ χάλκεα ταύρων,
αὐτόγυόν τ' ἐπὶ τοῖς στιβαροῦ ἀδάμαντος ἄροτρον.
61 χρίμψε δ' ἔπειτα κιών. παρὰ δ' ὄβριμον ἔγχος ἔπηξεν
ὀρθὸν ἐπ' οὐριάχῳ. κυνέην δ' ἀποκάτθετ' ἐρείσας.
βῆ δ' αὐτῇ προτέρωσε σὺν ἀσπίδι νήριτα ταύρων
ἴχνια μαστεύων. οἱ δ' ἔκποθεν ἀφράστοιο
κευθμῶνος χθονίου ἵνα τε σφίσιν ἔσκε βόαυλα
62 καρτερὰ λιγνυόεντι πέριξ εἰλυμένα καπνῷ
ἄμφω ὁμοῦ προγένοντο πυρὸς σέλας ἀμπνείοντες.
ἔδδεισαν δ' ἥρωες ὅπως ἴδον. αὐτὰρ ὁ τούς γε
εὖ διαβὰς ἐπιόντας. ἅτε σπιλὰς εἰν ἁλὶ πέτρη
μίμνει ἀπειρεσίῃσι δονεύμενα κύματ' ἀέλλαις.
πρόσθε δέ οἱ σάκος ἔσχεν ἐναντίον. οἱ δέ μιν ἄμφω
μυκηθμῷ κρατεροῖσιν ἐνέπληξαν κεράεσσιν.
οὐδ' ἄρα μιν τυτθόν περ ἀνώχλισαν ἀντιόωντες.
63 Ὡς δ' ὅτ' ἐνὶ τρητοῖσιν ἐϋῤῥίνοις χοάνοισι
φῦσαι χαλκήων ὁτὲ μέν τ' ἀναμαρμαίρουσι
πῦρ ὀλοὸν πιμπρᾶσαι. ὅτ' αὖ λήγουσιν ἀϋτμῆς.
δεινὸς δ' ἐξ αὐτοῦ πέλεται βρόμος. ὁππότ' ἀΐξει

νειόθεν, ὣς ἄρα τώγε θοὴν φλόγα φυσιόωντε
ἐκ στομάτων ὁμάδευν. τὸν δ' ἀμφί τε δήιον αἶθος
βάλλεν ἅτε στεροπή. κούρης δέ ἑ φάρμακ' ἔρυτο.
καί ῥ' ὅγε δεξιτεροῖο βοὸς κέρας ἄκρον ἐρύσσας
εἷλκεν ἐπικρατέως παντὶ σθένει. ὄφρα πελάσσῃ
ζεύγλῃ χαλκείῃ. τὸν δ' ἐν χθονὶ κάββαλεν ὀκλάξ
ῥίμφα ποδὶ κρούσας πόδα χάλκεον. ὣς δὲ καὶ ἄλλον
64 σφῆλε γνὺξ ἐπιόντα μιῇ βεβολημένον ὁρμῇ.
εὐρὺ δ' ἀποπροβαλὼν χαμάδις σάκος ἔνθα καὶ ἔνθα
τῇ καὶ τῇ βεβαὼς ἄμφω ἔχε πεπτηῶτας,
γούνασιν ἐν προτέροισι διὰ φλογὸς εἶθαρ ἐλυσθείς.
θαύμασε δ' αἰήτης σθένος ἀνέρος. οἱ δ' ἄρα τείως
Τυνδαρίδαι. δὴ γάρ σφι πάλαι προπεφασμένον ἦεν
ἀγχίμολον ζυγά οἱ πεδόθεν δόσαν ἀμφιβαλέσθαι.
αὐτὰρ ὁ εὖ ἐνέδησε λόφοις. μεσσηγὺ δ' ἀείρας
χάλκεον ἱστοβοῆα, θοῇ συνάρασσε κορώνῃ
ζεύγληθεν. καὶ τὼ μὲν ὑπὲρ πυρὸς ἂψ ἐπὶ νῆα
χαζέσθην. ὁ δ' ἄρ αὖτις ἑλὼν σάκος ἔνθετο νώτῳ
ἐξόπιθεν. καὶ γέντο θοῶν ἔμπλειον ὀδόντων
πήληκα βριαρὴν, δόρυ τ' ἄσχετον. ᾧ ῥ' ὑπὸ μέσσας
65 Ἐργατίνης. ὥς τίς τε πελασγίδι νύσσεν ἀκαίνῃ,
οὐτάζων λαγόνας. μάλα δ' ἔμπεδον εὖ ἀραρυῖαν
τυκτὴν ἐξ ἀδάμαντος ἐπιθύνεσκεν ἐχέτλην.
οἱ δὲ τέως μὲν δὴ περιώσια θυμαίνεσκον
λάβρον ἐπιπνείοντε πυρὸς σέλας. ὦρτο δ' ἀυτμὴ
ἠύτε βυκτάων ἀνέμων βρόμος. οὕς τε μάλιστα
δειδιότες, μέγα λαῖφος ἁλίπλοοι ἐστείλαντο.
δηρὸν δ' οὐ μετέπειτα, κελευόμενοι ὑπὸ δουρὶ
ἤισαν.

66 Ἤϊεν, ὀκρυόεσσα δ' ἐρείκετο νειὸς ὀπίσσω
σχιζομένη ταύρων τε βίῃ κρατερῷ τ' ἀροτῆρι.
δεινὸν δ' ἐσμαράγευν ἄμυδις κατὰ ὦλκας ἀρούρης
βώλακες ἀγνύμεναι ἀνδραχθέες. εἵπετο δ' αὐτὸς
βαθμὸν ἐπὶ στιβαρῷ πιέσας ποδί. τῆλε δ' ἑοῖο
βάλλεν ἀρηρομένην αἰεὶ κατὰ βῶλον ὀδόντας
ἐντροπαλιζόμενος μή οἱ πάρος ἀντιάσειεν
γηγενέων ἀνδρῶν ὀλοὸς στάχυς. οἱ δ' ἄρ' ἐπιπρὸ
χαλκείῃς χηλῇσιν ἐρειδόμενοι πονέοντο.
Ἦμος δὲ τρίτατον λάχος ἤματος ἀνομένοιο
λείπεται ἐξ ἠοῦς, καλέουσι δὲ κεκμηῶτες
ἐργατίναι γλυκερόν σφιν ἄφαρ βουλυτὸν ἱκέσθαι,
τῆμος ἀρήροτο νειὸς ὑπ' ἀκαμάτῳ ἀροτῆρι.
τετράγυός περ ἐοῦσα, βοῶν τ' ἀπέλυετ' ἄροτρα.
67 Καὶ τοὺς μὲν πεδίονδε διεπτοίησε φέβεσθαι.
αὐτὰρ ὁ ἂψ ἐπὶ νῆα πάλιν κίεν, ὄφρ' ἔτι κενὰς
γηγενέων ἀνδρῶν ἴδεν αὔλακας. ἀμφὶ δ' ἑταῖροι
θάρσυνον μύθοισιν. ὁ δ' ἐκ ποταμοῖο ῥοάων
αὐτῇ ἀφυσσάμενος κυνέῃ σβέσεν ὕδατι δίψαν.
γνάμψε δὲ γοῦνατ' ἐλαφρά. μέγαν δ' ἐμπλήσατο θυμὸν
ἀλκῆς μαιμώων συῒ εἴκελος, ὅς ῥά τ' ὀδόντας
θήγει θηρευτῆσιν ἐπ' ἀνδράσιν. ἀμφὶ δὲ πολλὸς
ἀφρὸς ἀπὸ στόματος χαμάδις ῥέε χωομένοιο.
οἱ δ' ἤδη κατὰ πᾶσαν ἀνασταχύεσκον ἄρουραν
68 γηγενέες. φρῖξεν δὲ περὶ στιβαροῖς σακέεσσι
δούρασί τ' ἀμφιγύοις κορύθεσσί τε λαμπομένοισιν.
Ἄρηος τέμενος φθισιμβρότου. ἵκετο δ' αἴγλη
νειόθεν Οὔλυμπόνδε δι' ἠέρος ἀστράπτουσα.

ὡς δ' ὁπότ' ἐς γαῖαν πολέος νιφετοῖο πεσόντος
ἂψ ἀπὸ χειμερίας νεφέλας ἐκέδασσαν ἄελλαι
λυγαίῃ ὑπὸ νυκτί. τὰ δ' ἀθρόα πάντα φαάνθη
τείρεα λαμπετόωντα διὰ κνέφας. ὣς ἄρα τοίγε
λάμπον, ἀναλδήσκοντες ὑπὲρ χθονός. αὐτὰρ Ἰήσων
μνήσατο μηδείης πολυκερδέος ἐννεσιάων.
λάζετο δ' ἐκ πεδίοιο μέγαν περιηγέα πέτρον
δεινὸν ἐνυαλίου σόλον ἄρεος. οὐκέ μιν ἄνδρες
αἰζηοὶ πίσυρες γαίης ἀπὸ τυτθὸν ἄειραν. (σσοις
τόν ῥ' ἀνὰ χεῖρα λαβὼν μάλα τηλόθεν ἔμβαλε μέ-
ἀίξας. αὐτὸς δ' ὑφ' ἑὸν σάκος ἕζετο λάθρῃ
θαρσαλέως. κόλχοι δὲ μέγ' ἴαχον. ὡς ὅτε πόντος
ἴαχεν ὀξείῃσιν ἐπιβρομέων σπιλάδεσσι.
69 τὸν δ' ἕλεν ἀμφασίη ῥιπῇ στιβαροῖο σόλοιο
αἰήτην. οἱ δ' ὥς τε θοοὶ κύνες ἀμφιθορόντες
ἀλλήλους βρυχηδὸν ἐδήϊον. οἱ δ' ἐπὶ γαῖαν
μητέρα πῖπτον ἑοῖς ὑπὸ δούρασιν ἠύτε πεῦκαι
ἢ δρύες, ἅς τ' ἀνέμοιο καταιγίδες δονέουσιν.
70 Οἷος δ' οὐρανόθεν πυρόεις ἀναπάλλεται ἀστὴρ
71 ὁλκὸν ὑπαυγάζων τέρας ἀνδράσιν οἵ μιν ἴδωνται
μαρμαρυγῇ σκοτίοιο δι' ἠέρος ἀίξαντα.
τοῖος ἄρ' αἴσονος υἱὸς ἐπέσσυτο γηγενέεσσι.
γυμνὸν δ' ἐκ κολεοῖο φέρε ξίφος. οὖτα δὲ μίγδην
ἀμώων. πολέας μὲν ἔτ' ἐς νηδὺν λαγόνας τε
ἡμίσεας δ' ἀνέχοντας ἐς ἠέρα. τοὺς δὲ καὶ ἄχρις
ὤμων τελλομένους. τοὺς δὲ νέον ἑστηῶτας.
τοὺς δ' ἤδη καὶ ποσὶν ἐπειγομένους ἐς ἄρηα.
ὡς δ' ὁπότ' ἀμφ' οὔροισιν ἐπιρομένου πολέμοιο
δείσας

δηΐσας γειομόρος μὴ οἱ προτάμωνται ἀρούρας
ἅρπην εὐκαμπῆ νεοθηγέα χερσὶ μεμαρπὼς
72 ὠμὸν ἐπισπεύδων κείρει στάχυν. οὐδὲ βολῇσι
μίμνει ἐς ὡραίην τερσήμεναι ἠελίοιο.
ὡς τότε γηγενέων κεῖρε στάχυν. αἵματι δ᾽ ὁλκοὶ
ἠύτε κρηναίαις ἀμάραι πλήθοντο ῥοῇσι.
πῖπτον δ᾽ οἱ μὲν ὀδὰξ τετρηχότα βῶλον ὀδοῦσι
λαζόμενοι πρηνεῖς. οἱ δ᾽ ἔμπαλιν. οἱ δ᾽ ἐπ᾽ ἀγοστῷ
καὶ πλευροῖς κήτεσι δομὴν ἀτάλαντοι ἰδέσθαι.
πολλοὶ δ᾽ οὐτάμενοι πρὶν ὑπὸ χθονὸς ἴχνος ἀεῖραι
ὅσσον ἄνω προὔτυψαν ἐς ἠέρα. τόσσον ἔραζε
βριθόμενοι πλαδαροῖσι καρήασιν ἠρήρειντο.
ἔρνεά που τοίως Διὸς ἄσπετον ὀμβρήσαντος
φυταλιῇ νεόθρεπτα κατημύουσιν ἔραζε
κλασθέντα ῥίζηθεν ἀλωήων πόνος ἀνδρῶν.
τὸν δὲ κατηφείη τε καὶ οὐλοὸν ἄλγος ἱκάνει
κλήρου σημαντῆρα φυτοτρόφον. ὦσ τότ᾽ ἄνακτος
αἰήταο βαρεῖαι ὑπὸ φρένας ἦλθον ἀνῖαι.
ἤιε δ᾽ ἐς πτολίεθρον ὑπότροπος ἄμμιγα κόλχοις
πορφύρων, ἥ κέ σφι θοώτερον ἀντιόῳτο.
ἦμαρ ἔδυ. καὶ τῷ τετελεσμένος ἦεν ἄεθλος.

Ἀπολλωνίου ῥοδίου Ἀργοναυτικῶν
τρίτου τέλος.

# ΑΠΟΛΛΩΝΙΟΥ ΡΟΔΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΩΝ ΤΕΤΑΡΤΟΝ.

ΑΥτὴ νῦν κάματόν γε θεὰ, καὶ δήνεα κούρης
κολχίδος ἔννεπε μοῦσα διὸς τέκος. ἦ γὰρ ἔμοι γε
ἀμφασίῃ νόος ἔνδον ἑλίσσεται ὁρμαίνοντι,
ἠέ μιν ἄτης πῆμα δυσίμερον. ἦ τόγ' ἐνίσπω
φύζαν ἀεικελίην. ᾗ κάλλιπεν ἔθνεα κόλχων.
Ηρι ὁ μὲν δήμοιο μετ' ἀνδράσιν ὅσσοι ἄριστοι
παννύχιος δόλον αἰπὺν ἐπὶ σφίσι μητιάασκεν,
Οἷσιν ἐνὶ μεγάροις στυγερῷ ἐπὶ θυμὸν ἀέθλῳ
αἰήτης ἄμορυ κεχολωμένος. οὐδ' ὅτε πάμπαν
θυγατέρων τάδε νόσφιν ἑῶν τελέεσθαι ἐώλπει.
τῇ δ' ἀλεγεινότατον κραδίῃ φόβον ἔμβαλεν ἥρη.
τρέσσεν δ' ἠΰτε τις κούφη κεμάς. ἥν τε βαθείης
τάρφεσιν ἐν ξυλόχοισι κυνῶν ἐφόβησεν ὁμοκλή.

αὐτίκα

αὐτίκα γὰρ νημερτὲς ὀίσατο. μή μιν ἀρωγὴν
ληθέμεν. αἶψα δὲ πᾶσαν ἀναπλήσειν κακότητα.
τάρβει δ' ἀμφιπόλους ἐπιίστορας. ἐν δέ οἱ ὄσσε
πλῆτο πυρός. δεινὸν δὲ περιβρομέεσκον ἀκουαί.
3 Πυκνὰ δὲ λαυκανίης ἐπεμάσσατο. πυκνὰ δὲ κουρὶξ
ἑλκομένη πλοκάμους γοερῇ βρυχήσατ' ἀνίῃ.
καὶ νύ κεν αὐτοῦ τῆμος ὑπέρμορον ὤλετο κούρη
φάρμακα πασσαμένη. ἥρης δ' ἁλίωσε μενοινάς,
εἰ μή μιν φρίξοιο θεὰ σὺν παισὶ φέβεσθαι
4 ὦρσεν ἀτυζομένην. πτερόεις δέ οἱ ἐν φρεσὶ θυμὸς
ἰάνθη. μετὰ δ' ἥ γε παλίσσυτος ἀθρόα κόλπον
φάρμακα πάντ' ἄμυδις κατεχεύατο φωριαμοῖο.
κύσσε δ' ἑόν τε λέχος καὶ δικλίδας ἀμφοτέρωθεν
σταθμούς, καὶ τοίχων ἐπαφήσατο. χερσί τε μακρὸν
ῥηξαμένη πλόκαμον θαλάμῳ μνημήια μητρὶ
κάλλιπε παρθενίης. ἀδινῇ δ' ὀλοφύρατο φωνῇ.
τόνδε τοι ἀντ' ἐμέθεν ταναὸν πλόκον εἶμι λιποῦσα
μῆτερ ἐμή. χαίροις δὲ καὶ ἄνδιχα πολλὸν ἰούσῃ
χαίροις χαλκιόπη καὶ πᾶς δόμος. αἴθε σε πόντος
ξεῖνε διέρραισεν πρὶν κολχίδα γαῖαν ἱκέσθαι.
Ὣς ἄρ' ἔφη. βλεφάρων δὲ κατ' ἀθρόα δάκρυα χεῦεν.
5 Οἵη δ' ἀφνειοῖο διειλυσθεῖσα δόμοιο
ληιάς. ἥν τε νέον πάτρης ἀπενόσφισεν αἶσα.
οὐδέ νύ πω μογεροῖο πεπείρηται καμάτοιο.
ἀλλ' ἔτ' ἀηθέσσουσα δύης καὶ δούλια ἔργα
εἶσιν ἀτυζομένη χαλεπὰς ὑπὸ χεῖρας ἀνάσσης,
τοίη ἄρ' ἱμερόεσσα δόμων ἐξέσσυτο κούρη.
τῇ δὲ καὶ αὐτόματοι θυρέων ὑπόειξαν ὀχῆες.

ὠκείαις αὐτόῤῥοι ἀναθρώσκοντες ἀοιδαῖς.
γυμνοῖσιν δὲ πόδεσσιν ἀνὰ στεινὰς θέεν οἴμους.
λαιῇ μὲν χερὶ πέπλον ἐπ' ὀφρύσιν ἀμφὶ μέτωπα
στειλαμένη καὶ καλὰ παρήϊα. δεξιτερῇ δὲ
6 ἄκρην ὑψόθι πέζαν ἀερτάζουσα χιτῶνος.
καρπαλίμως δ' ἀΐδηλον ἀνὰ στίβον ἔκτοθι πύργων
ἄστεος εὐρυχόροιο φόβῳ ἵκετ'. οὐδέ τις ἔγνω
τήνδε φυλακτήρων, λάθε δέ σφεας ὁρμηθεῖσα.
εἶθ' ἐνὶ μὲν νηόνδε μάλ' ἐφράσατ'· οὐ γὰρ ἄϊδρις
ἦεν ὁδῶν θαμὰ καὶ πρὶν ἀλωμένη ἀμφί τε νεκροὺς
ἀμφί τε δυσπαλέας ῥίζας χθονός. οἷα γυναῖκες
φαρμακίδες τρομερῷ δ' ὑπὸ δείματι πάλλετο θυμός.
τὴν δὲ νέον Τιτηνὶς ἀνερχομένη περάτηθεν
φοιταλέην ἐσιδοῦσα θεὰ ἐπεχήρατο μήνη
ἁρπαλέως. καὶ τοῖα μετὰ φρεσὶν ᾗσιν ἔειπεν.
7 Οὐκ ἄρ' ἐγὼ μούνη μετὰ λάτμιον ἄντρον ἀλύσκω
οὐδ' οἴη καλῷ περιδαίομαι ἐνδυμίωνι.
8 Η θαμὰ δὴ καὶ σεῖο κύον δολίῃσιν ἀοιδαῖς
μνησαμένη φιλότητος, ἵνα σκοτίῃ ἐνὶ νυκτὶ
φαρμάσσῃς εὔκηλος ἅ τοι φίλα ἔργα τέτυκται.
νῦν δὲ καὶ αὐτὴ δῆθεν ὁμοίης ἔμμορες ἄτης.
δῶκε δ' ἀνιηρόν τοι ἰήσονα πῆμα γενέσθαι
δαίμων ἀλγινόεις. ἀλλ' ἔρχεο. τέτλαθι δ' ἔμπης
καὶ πινυτή περ ἐοῦσα πολύστονον ἄλγος ἀείρειν.
ὣς ἄρ' ἔφη. τὴν δ' αἶψα πόδες φέρον ἐγκονέουσαν.
ἀσπασίως δ' ὄχθῃσιν ἐπηέρθη ποταμοῖο
ἀντιπέρην λεύσσουσα πυρὸς σέλας. ὅῤῥά τ' ἀέθλου
παννύχιοι ἥρωες ἐϋφροσύνῃσιν ἔδαιον.

Ὀξείῃ

9 Ὀξείῃ δ' ἤπειτα διὰ κνέφας ὄρθια φωνῇ
ὁπλότατον Φρίξοιο περαιόθεν ἤπυε παίδων
Φρόντιν. ὁ δὲ ξὺν ἑοῖσι κασιγνήτοις ὄπα κούρης
αὐτῷ τ' Αἰσονίδῃ τεκμαίρετο. σῖγα δ' ἑταῖροι
θάμβεον εὖτ' ἐνόησαν, ὃ δὴ καὶ ἐτήτυμον ἦε.
τρὶς μὲν ἀνήϋσε. τρὶς δ' ὀτρύνοντος ὁμίλου
Φρόντις ἀμοιβηδὴν ἀντίαχεν. οἱ δ' ἄρα τείως
ἥρωες μετὰ τήνγε θοοῖς ἐλάεσκον ἐρετμοῖς.
οὔπω πείσματα νηὸς ἐπ' ἠπείροιο περαίης
βάλλον. ὁ δὲ κραιπνοὺς χέρσῳ πόδας ἧκεν Ἰήσων
ὑψοῦ ἀπ' ἰκριόφιν. μετὰ δὲ Φρόντις τε καὶ Ἄργος
υἷε δύω Φρίξου χαμάδις θόρον. ἣ δ' ἄρα τούς γε
γούνων ἀμφοτέρῃσι περισχομένη προσέειπεν.
Ἔκ με φίλοι ῥύσασθε δυσάμμορον. ὡς δὲ καὶ αὐτοὺς
ὑμέας Αἰήταο. πρὸ γάρ τ' ἀναφανδὰ τέτυκται
πάντα μάλ', οὐδέ τι μῆχος ἱκάνεται. ἀλλ' ἐπὶ νηὶ
φεύγωμεν, πρὶν τόνδε θοῶν ἐπιβήμεναι ἵππων.
10 δώσω δὲ χρύσειον ἐγὼ δέρος εὐνήσασα
φρουρὸν ὄφιν. τύνη δὲ θεοὺς ἐνὶ σοῖσιν ἑταίροις
ξεῖνε τεῶν μύθων ἐπιίστορας, οὕς μοι ὑπέστης
ποίησαι. μηδ' ἔνθεν ἑκαστέρω ὁρμηθεῖσαν
χήτει κηδεμόνων ὀνοτὴν καὶ ἀεικέα θείης.
Ἴσκεν ἀκηχεμένη. μέγα δὲ φρένες Αἰσονίδαο
γήθεον. αἶψα δέ μιν ποτὶ γούνασι πεπτηυῖαν
ἦκ' ἀναειρόμενος προσπτύξατο θάρσυνέν τε.
δαιμονίη, Ζεὺς αὐτὸς Ὀλύμπιος ὅρκιος ἔστω
Ἥρη τε ζυγίη Διὸς εὐνέτις, ἦ μὲν ἐμοῖσιν
κουριδίην σε δόμοισιν ἐνιστήσεσθαι ἄκοιτιν,

ἔστ' ἂν ἐς ἑλλάδα γαῖαν ἱκώμεθα νοστήσαντες.
Ὡς ηὔδα. καὶ χεῖρα παρασχεδὸν ἤραρε χειρὶ
δεξιτερήν, ἡ δέ σφιν ἐς ἱερὸν ἄλσος ἀνώγει
νῆα θοὴν ἐλάαν αὐτοσχεδόν. ὄφρ' ἔτι νύκτωρ
κῶας ἑλόντες ἄγοιντο παρὲκ νόον αἰήταο.
ἔνθ' ἔπος ἠδὲ καὶ ἔργον ὁμοῦ πέλεν ἐσσυμένοισιν.
εἰς γάρ μιν βήσαντες ἀπὸ χθονὸς αὐτίκ' ἔωσαν
νῆα. πολὺς δ' ὀρυμαγδὸς ἐπειγομένων ἐλάτῃσιν
ἦεν ἀριστήων. ἡ δ' ἔμπαλιν ἀΐσσουσα
γαίῃ χεῖρας ἔτεινεν ἀμήχανος. αὐτὰρ ἰήσων
θάρσυνέν τ' ἐπέεσσι καὶ ἴσχανεν ἀσχαλόωσαν.
Ἦμος δ' ἀνέρες ὕπνον ἀπ' ὀφθαλμῶν ἐβάλοντο
ἀγρόται. οἵ τε κύνεσσι πεποιθότες οὔποτε νύκτα
11 Αγχαυρον κνώσσουσιν ἀλευάμενοι φάος ἠοῦς,
μὴ πρὶν ἀμαλδύνῃ θηρῶν στίβον ἠδὲ καὶ ὀδμὴν
θηρείην λευκῇσιν ἐνισκίμψασα βολῇσι,
τῆμος ἄρ' αἰσονίδης κούρη τ' ἀπὸ νηὸς ἔβησαν
ποιήεντ' ἀνὰ χῶρον. ἵνα κριοῦ καλέονται
εὐναί, ὅθι πρῶτον κεκμηότα γούνατ' ἔκαμψε
νώτοισιν φορέων μινυήιον υἷ' ἀθάμαντος.
ἐγγύθι δ' αἰθαλόεντα πέλεν βωμοῖο θέμεθλα.
12 Ὅν ῥά ποτ' αἰολίδης διὶ φυξίῳ εἷσε φρίξος
ῥέζων κεῖνο τέρας παγχρύσεον, ὥς οἱ ἔειπεν
ἑρμείας πρόφρων ξυμβλήμενος. ἔνθ' ἄρα τούσγε
ἄργου φραδμοσύνῃσιν ἀριστῆες μεθέηκαν.
τὼ δὲ δι' ἀτραπιτοῖο μεθ' ἱερὸν ἄλσος ἵκοντο,
φηγὸν ἀπειρεσίην διζήμενοι, ᾗ ἔπι κῶας
βέβλητο νεφέλῃ ἐναλίγκιον. ἥ τ' ἀνιόντος

ἠελίου φλογεροῖσιν ἐρεύθεται ἀκτίνεσσιν.
αὐτὰρ ὁ ἀντικρὺ περιμήκεα τείνετο δειρὴν
ὀξὺς ἀΰπνοισι προϊδὼν ὄσσοις ὀφθαλμοῖσι
νεισομένους. ῥοίζει δὲ πελώριον. ἀμφὶ δὲ μακραὶ
ἠιόνες ποταμοῖο καὶ ἄσπετον ἴαχεν ἄλσος.
13 Ἔκλυον οἳ καὶ πολλὸν ἑκὰς τιτηνίδος αἴης
κολχίδα γῆν ἐνέμοντο παρὰ προχοῇσι λύκοιο.
ὅς τ' ἀποκιδνάμενος ποταμοῦ κελάδοντος ἀράξεω
φάσιδι συμφέρεται ἱερὸν ῥόον. οἱ δὲ συνάμφω
καυκασίην ἅλαδ' εἰς ἓν ἐλαυνόμενοι προχέουσιν.
δείματι δ' ἐξέγροντο λεχωΐδες. ἀμφὶ δὲ παισὶ
νηπιάχοις, οἵ τέ σφιν ὑπ' ἀγκαλίδεσσιν ἴαυον
ῥοίζῳ παλλομένοις, χεῖρας βάλον ἀσχαλόωσαι.
Ὡς δ' ὅτε τυφομένης ὕλης ὕπερ αἰθαλόεσσαι
καπνοῖο στροφάλιγγες ἀπείριτοι εἰλίσσονται.
ἄλλη δ' αἶψ' ἑτέρῃ ἐπιτέλλεται αἰὲν ἐπιπρὸ
νειόθεν εἰλίγγοισιν ἐπήορος ἐξανιοῦσα.
14 Ὡς τότ' ἐκεῖνο πέλωρον ἀπειρεσίας ἐλέλιξε
ῥυμβόνας ἀζαλέῃσιν ἐπηρεφέας φολίδεσσι.
τοῖο δ' ἑλισσομένοιο κατόμματον εἴσατο κούρη
ὕπνον ἀοσσητῆρα θεῶν ὕπατον καλέουσα
ἡδείῃ ἐνοπῇ θέλξαι τέρας. αὖε δ' ἄνασσαν
νυκτιπόλον χθονίην εὐαντέα δοῦναι ἐφορμήν.
εἵπετο δ' αἰσονίδης πεφοβημένος. αὐτὰρ ὅγ' ἤδη
οἴμῃ θελγόμενος δολιχὴν ἀναλύετ' ἄκανθαν
γηγενέος σπείρης. μήκυνε δὲ μυρία κύκλα
οἷον ὅτε βληχροῖσι κυλινδόμενον πελάγεσσι
κῦμα μέλαν κωφόν τε καὶ ἄβρομον. ἀλλὰ καὶ ἔμπης

ὑψοῦ σμερδαλέην κεφαλὴν μενέαινεν ἀείρας
ἀμφοτέροις ὀλοῇσι περιπτύξαι γενύεσσιν.
15 Ἡ δέ μιν ἀρκεύθοιο νέον τετμηότι θαλλῷ
βάπτουσ' ἐκ κυκεῶνος ἀκήρατα φάρμακ' ἀοιδαῖς
ῥαῖνε κατ' ὀφθαλμῶν, περί τ' ἀμφί τε νήριτος ὀδμὴ
φαρμάκου ὕπνον ἔβαλλε. γένυν δ' αὐτῇ ἐνὶ χώρῃ
θῆκεν ἐρεισάμενος. τὰ δ' ἀπείρονα πολλὸν ὀπίσσω
κύκλα πολυπρέμνοιο διὲξ ὕλης τετάνυστο.
ἔνθα δ' ὁ μὲν χρύσειον ἀπὸ δρυὸς αἴνυτο κῶας
κούρης κεκλομένης. ἡ δ' ἔμπεδον ἑστηυῖα
φαρμάκῳ ἔψηχεν θηρὸς κάρη εἰσόκε δή μιν
αὐτὸς ἑὴν ἐπὶ νῆα παλιντροπάασθαι Ἰήσων
ἤνωγεν. λεῖπεν δὲ πολύσκιον ἄλσος ἄρηος.
ὡς δὲ σεληναίην διχομήνιδα παρθένος αἴγλην
ὑψόθεν ἐξανέχουσαν ὑπωρόφιον θαλάμοιο
λεπταλέῳ ἑανῷ ὑποΐσχεται. ἐν δέ οἱ ἦτορ
χαίρει δερκομένης καλὸν σέλας. ὣς τότ' Ἰήσων
γηθόσυνος μέγα κῶας ἑαῖς ἐναείρατο χερσί.
καί οἱ ἐπὶ ξανθῇσι παρηίσιν, ἠδὲ μετώπῳ
μαρμαρυγὴ ναίων φλογὶ ἴκελον ἶζεν ἔρευθος.
ὅσση δὲ ῥινὸς βοὸς ἤνιος ἢ ἐλάφοιο
γίνεται, ἥν τ' ἀγρῶται ἀχαιΐνέην καλέουσιν.
16 τόσσον ἔην πάντῃ χρύσεον ἐφύπερθεν ἄωτον.
βεβρίθει λήνεσσιν ἐπηρεφές. ἤλιθα δὲ χθὼν
αἰὲν ὑπὸ πρὸ ποδῶν ἀμαρύσσετο νεισσομένοιο.
ἤιε δ' ἄλλοτε μὲν λαιῷ ἐπιειμένος ὤμῳ,
αὐχένος ἐξ ὑπάτοιο ποδηνεκές. ἄλλοτ' αὖτε
εἴλει ἀφασσόμενος. περὶ γὰρ δίεν ὄφρα ἑ μή τις

ἀνδρῶν

ἀνδρῶν ἠδὲ θεῶν νοσφίσσεται ἀντιβολήσας.
Ἠὼς μέν ῥ' ἐπὶ γαῖαν ἐκίδνατο. τοὶ δ' ἐς ὅμιλον
ἷξον. θάμβησαν δὲ νέοι μέγα κῶας ἰδόντες
λαμπόμενον, στεροπῇ ἴκελον Διός. ὦρτο δ' ἕκαστος
ψαῦσαι ἐελδόμενος δέχθαι τ' ἐνὶ χερσὶν ἑῇσιν.
Αἰσονίδης δ' ἄλλους μὲν ἐρήτυε. τῷ δ' ἐπὶ φᾶρος
κάββαλε νηγάτεον. πρύμνῃ δ' ἀνεείσατο κούρην
ἀνθέμενος. καὶ τοῖον ἔπος μετὰ πᾶσιν ἔειπε.
μηκέτι νῦν χάζεσθε φίλοι πάτρηνδε νέεσθαι.
17 Ἤδη γὰρ χρειὼ τῆς εἵνεκα τήνδ' ἀλεγεινὴν
ναυτιλίην ἔτλημεν ὀιζυῖ μοχθίζοντες,
εὐπαλέως κούρης ὑπὸ δήνεσι κεκράανται.
τὴν μὲν ἐγὼν ἐθέλουσαν ἀνάξομαι οἴκαδ' ἄκοιτιν
κουριδίην. ἀτὰρ ὔμμες ἀχαιΐδος οἷά τε πάσης
αὐτῶν θ' ὑμείων ἐσθλὴν ἐπαρωγὸν ἐοῦσαν
σώετε. δὴ γάρ που μάλ' ὀίομαι εἶσιν ἐρύξων
αἰήτης ὁμάδῳ. πόντονδ' ἴμεν ἐκ ποταμοῖο,
ἄλλοι μὲν διὰ νηὸς ἀμοιβαδὶς ἀνέρος ἀνὴρ
ἑζόμενος πηδοῖσιν ἐρέσσετε. τοὶ δὲ βοείας
ἀσπίδας ἡμίσεες δηΐων θοὸν ἔχμα βολάων
προσχόμενοι νόστῳ ἐπαμύνετε. νῦν δ' ἐνὶ χερσὶ
παῖδας ἑοὺς πάτρην τε φίλην γεραρούς τε τοκῆας
ἴσχομεν. ἡμετέρῃ δ' ἐπερείδεται ἑλλὰς ἐφορμῇ,
ἠὲ κατηφείην, ἢ καὶ μέγα κῦδος ἀρέσθαι.
Ὣς φάτο. δῦνε δὲ τεύχε' ἀρήϊα. τοὶ δ' ἰάχησαν
θεσπέσιον μεμαῶτες. ὁ δ' ἐξίφος ἐκ κολεοῖο
σπασσάμενος, πρυμναῖα νεὼς ἀπὸ πείσματ' ἔκοψεν.
ἄγχι δὲ παρθενικῆς κεκορυθμένος ἰθυντῆρι

ἀγκαίῃ προβέβασκεν. ἐπείγετο δ' εἰρεσίῃ νηῦς
σπερχομένων ἄμοτον ποταμοῦ ἄφαρ ἐκτὸς ἐλάσσαι.
Ἤδη δ' αἰήτῃ ὑπερήνορι, πᾶσί τε κόλχοις
μηδείης περίπυστος ἔρως καὶ ἔργ' ἐτέτυκτο.
18 Ες δ' ἀγορὴν ἀγέροντ' ἐνὶ τεύχεσιν, ὅσσα τε πόντου
κύματα χειμερίοιο κορύσσεται ἐξ ἀνέμοιο.
ἢ ὅσα φύλλα χαμᾶζε περικλαδέος πέσεν ὕλης
φυλλοχόῳ ἐνὶ μηνί. τίς ἂν τάδε τεκμήραιτο.
Ως οἱ ἀπειρέσιοι ποταμοῦ παρεμέτρεον ὄχθας
κλαγγῇ μαιμώοντες. ὁ δ' εὐτύκτῳ ἐνὶ δίφρῳ
αἰήτης ἵπποισι μετέπρεπεν, οὕς οἱ ὤπασεν
ἠέλιος πνοιῇσιν ἐειδομένους ἀνέμοιο.
σκαιῇ μὲν ῥ' ἐνὶ χειρὶ σάκος δινωτὸν ἀείρων.
τῇ δ' ἑτέρῃ πεύκην περιμήκεα. πὰρ δέ οἱ ἔγχος
ἀντικρὺ τετάνυστο πελώριον. ἡνία δ' ἵππων
γέντο χεροῖν ἄψυρτος. ὑπεκπρὸ δὲ πόντον ἔταμνε
νηῦς ἤδη κρατεροῖσιν ἐπειγομένη ἐρέτῃσιν.
καὶ μεγάλου ποταμοῖο καταβλώσκοντι ῥεέθρῳ.
19 Αὐτὰρ ἄναξ ἄτῃ πολυπήμονι χεῖρας ἀείρας
ἠέλιον καὶ ζῆνα κακῶν ἐπιμάρτυρας ἔργων
κέκλετο. δεινὰ δὲ πάντα παρασχεδὸν ἤπυε λαῷ,
εἰ μή οἱ κούρην αὐτάγρετον ἢ ἀνὰ γαῖαν
ἢ πλωτῆς εὑρόντες ἔτ' εἰν ἁλὸς οἴδματι νῆα,
ἄξουσι. καὶ θυμὸν ἐπιπλήσει μενεαίνων
τίσασθαι. τάδε πάντα δαήσονται κεφαλῇσι
πάντα χόλον. καὶ πᾶσαν ἑὴν ὑποδέγμενοι ἄτην.
Ως ἔφατ' αἰήτης. αὐτῷ δ' ἐνὶ ἤματι κόλχοι
νῆάς τ' εἰρύσσαντο, καὶ ἄρμενα νηυσὶ βάλοντο.

αὐτὸς δ᾽ ἤματι πόντον ἀήσιον, οὐδέ κε φαίης
τόσσον νηίτην στόλον ἔμμεναι. ἀλλ᾽ οἰωνῶν
ἰλαδὸν ἄσπετον ἔθνος ἐπιβρομέειν πελάγεσσιν.
οἱ δ᾽ ἀνέμου λαιψηρὰ θεῆς βουλῇσιν ἀέντος
ἥρης, ὄφρ᾽ ὤκιστα κακὸν πελίαο δόμοισιν
αἰαίη μήδεια πελασγίδα γαῖαν ἵκηται.
ἠοῖ ἐν τριτάτῃ πρυμνήσια νηὸς ἔδησαν
παφλαγόνων ἀκταῖσι πάροιθ᾽ ἅλυος ποταμοῖο.
ἦ γάρ σφ᾽ ἐξαποβάντας, ἀρέσσασθαι θυέεσσιν
20 ἠνώγει ἑκάτην. καὶ δὴ τὰ μὲν ὅσσα θυηλῇ
κούρη πορσανέουσα τιτύσκετο. μήτέ τις ἵστωρ
εἴη. μήτ᾽ ἐμὲ θυμὸς ἐποτρύνειεν ἀείδειν.
ἅζομαι αὐδῆσαι. τόδε μὴν ἕδος ἐξέτι κείνου
ὄῤῥα θεᾷ ἥρωες ἐπὶ ῥηγμῖσιν ἔδειμαν,
ἀνδράσιν ὀψιγόνοισι μένει καὶ τῆμος ἰδέσθαι.
αὐτίκα δ᾽ αἰσονίδης ἐμνήσατο. σὺν δὲ καὶ ὧλλοι
ἥρωες φινῆος. ὃ δὴ πλόον ἄλλον ἔειπεν
ἐξ αἴης ἔσσεσθαι. ἀνώιστος δ᾽ ἐτέτυκτο
πᾶσιν ὁμῶς. ἄργος δὲ λιλαιομένοις ἀγόρευσε.
νεύμεθ᾽ ἐς ὀρχομενόν. τὴν ἔχραεν ὔμμι περῆσαι
νημερτὴς ὅδε μάντις ὅτῳ ξυνέβητε πάροιθεν.
ἔστι γὰρ πλόος ἄλλος, ὃν ἀθανάτων ἱερῆες
πέφραδον. οἳ θήβης τριτωνίδος ἐκγεγάασιν.
οὔπω τείρεα πάντα τά τ᾽ οὐρανῷ εἱλίσσονται
21 Οὐδέ τι πω δαναῶν ἱερὸν γένος ἦεν ἀκοῦσαι
πευθομένοις. οἶοι δ᾽ ἔσαν ἀρκάδες ἀπιδανῆες
22 Αρκάδες, οἳ καὶ πρόσθε σεληναίοις ὑδέονται
ζώειν φηγὸν ἔδοντες ἐν οὔρεσιν. οὐδὲ πελασγὶς

χθὼν τότε κυδαλίμοισιν ἀνάσσετο δευκαλίδῃσιν
ἦμος ἔτ' ἠερίη πολυλήϊος ἐκλήϊστο
μήτηρ αἴγυπτος προτερηγενέων αἰζηῶν.
23 Καὶ ποταμὸς τρίτων καλλίρροος. ᾧ ὕπο πᾶσα
ἄρδεται ἠερίη. διόθεν δέ μιν οὔποτε δεύει
ὄμβρος. ἅλις προχοῇσι δ' ἀνασταχύουσιν ἄρουραι.
ἔνθεν δή τινά φασι πέριξ διὰ πᾶσαν ὁδεῦσαι
εὐρώπην ἀσίην τε βίῃ καὶ κάρτεϊ λαῶν
σφωϊτέρων θάρσει τε πεποιθότα. μυρία δ' ἄστη
νάσσατ' ἐποιχόμενος. τὰ μὲν ἤ που ναιετάουσιν
ἠὲ καὶ οὔ. πουλὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών.
αἶα γε μὴν ἔτι νῦν μένει ἔμπεδον υἱωνοί τε
τῶνδ' ἀνδρῶν, οὓς ὅγε καθίσσατο ναιέμεν αἶαν.
24 Οἳ δή τοι γραπτῦς πατέρων ἕθεν εἰρύονται
κύρβιας. οἷς ἔνι πᾶσαι ὁδοὶ καὶ πείρατ' ἔασιν
ὑγρῆς τε τραφερῆς τε πέριξ ἐπινισσομένοισιν.
Ἔστι δέ τις ποταμὸς ὕπατον κέρας ὠκεανοῖο
εὐρύς τε προβαθύς τε καὶ ὁλκάδι νηὶ περῆσαι,
25 ἴστρον μιν καλέοντες ἑκὰς διετεκμήραντο.
ὃς δή τοι τείως μὲν ἀπείρονα τέμνετ' ἄρουραν
εἷς οἶος. πηγαὶ γὰρ ὑπὲρ πνοιῆς βορέαο
ῥιπαίοις ἐν ὄρεσιν ἀπόπροθι μορμύρουσιν.
ἀλλ' ὁπόταν θρηΐκων σκυθέων τ' ἐπιβήσεται οὔρους
ἔνθα διχῆ τὸ μὲν ἔνθα μετ' ἰονίην ἅλα βάλλει.
τῇδ' ὕδωρ. τὸ δ' ὄπισθε βαθὺν διὰ κόλπον ἵησι
σχιζόμενος πόντου τρινακρείου εἰσανέχοντα.
γαίης ὃς ὑμετέρης παρακέκλιται. εἰ ἐτεὸν δή
ὑμετέρης γαίης ἀχελώϊος ἐξανίησιν.

ὣς ἄρ' ἔφη. τοῖσι δὲ θεὰ τέρας ἐγγυάλιξεν
αἴσιον. ὥστε πάντων ἐπευφήμησαν ἰδόντων
στέλλεσθαι τὴν δ' οἶμον. ὑπὲρ γὰρ ὁλκάδος ἐτύχθη
οὐρανίης ἀκτῖνος ὅπῃ τε μόρσιμον ἦεν.
σινθόσιοι δὲ λύκοιο κατ' αὐτόθι παῖδα λιπόντες
λαίφεσι πεπταμένοισιν ὑπεὶρ ἅλα ναυτίλλοντο.
οὔρεα παφλαγόνων θηεύμενοι, οὐδὲ κάραμβιν
γνάμψαν. ἐπεὶ πνοιαί τε καὶ οὐρανίου πυρὸς αἴγλη
μεῖνεν, ἕως ἴστροιο μέγαν ῥόον εἰσαφίκοντο.
κόλχοι δ' αὖ ἄλλοι μὲν ἐτώσια μαστεύοντες,
κυανέας πόντοιο δι' ἐκ πέτρας ἐπέρησαν.
ἄλλοι δ' αὖ ποταμὸν μετεκίαθον, οἷσιν ἄνασσεν
26 ἄψυρτος. καλὸν δὲ διὰ στόμα πεῖρε λιασθείς.
τοὔνεκα ὑπέφθη ῥύς γε βαλὼν ὑπὲρ αὐχένα γαίης
κόλπον ἔσω πόντοιο πτέγαρυ ἰονίοιο.
ἴστρῳ γάρ τις νῆσος ἐέργεται οὔνομα πεύκη,
τριγλώχιν. εὖρος μὲν ἐς αἰπαλοὺς ἀνέχουσα.
στεινὸν δ' αὖτ' ἀγκῶνα ποτὶ ῥόον. ἀμφὶ δὲ δοιαὶ
σχίζονται προχοαί. τὴν μὲν καλέουσιν ἄρηος.
τὴν δ' ὑπὸ τῇ νεάτῃ, καλὸν στόμα. τῇ δὲ διαπρὸ
ἄψυρτος κόλχοι τε θοώτερον ὡρμήθησαν.
οἱ δ' ὑψοῦ νήσοιο κατ' ἀκροτάτης ἐνέοντο
τηλόθεν. εἰαμενῇσι δ' ἐν ἄσπετα πώεα λεῖπον
ποιμένες ἄγραυλοι νηῶν φόβῳ, οἷά τε θῆρας
ὀσσόμενοι πόντου μεγακήτεος ἐξανιόντας.
οὐ γάρ πω ἁλίας γε πάρος ποθὶ νῆας ἴδοντο.
27 οὔτ' οὖν θρήϊξι μιγάδες σκύθαι. οὔτε σίγυννοι
οὔτ' οὖν γραυκένιοι. οὔθ' οἳ περὶ λαύριον ἤδη

σίνδοι ἐρημαῖον πεδίον μέγα ναιετάοντες.
αὐτὰρ ἔπειτ' ἄγγουρον ὄρος καὶ ἄπωθεν ἐόντα
ἀγγούρου ὄρεος σκόπελον παρὰ καυλιακοῖο,
ᾧ πέρι δὴ σχίζων ἴστρος ῥόον ἔνθα καὶ ἔνθα
βάλλει ἁλός. πεδίον τε τὸ λαύρειον, ἤμειψαν αὐτοί.
δή ῥα τότε κρονίην κόλχοι ἅλαδ' ἐκπρομολόντες.
πάντῃ μή σφε λάθοιεν, ὑπετμήξαντο κελεύθους.
οἱ δ' ὄπιθεν ποταμοῖο κατήλυθον. ἐκ δ' ἐπέρησαν
δοιὰς ἀρτέμιδος βρυγηίδας ἀγχόθι νήσους.
τῶν δ' ἤτοι ἑτέρῃ μὲν ἐν ἱερὸν ἔσκεν ἔδεθλον.
ἐν δ' ἑτέρῃ πληθὺν πεφυλαγμένοι ἀψύρτοιο
βαῖνον. ἐπεὶ κείνας πολέων λίπεν ἔνδοθι νήσους,
αὔτως ἁζόμενοι κούρην διός. αἱ δὲ δὴ ἄλλαι
στεινόμεναι κόλχοισι πόρους εἴρυντο θαλάσσης.
ὣς δὲ καὶ εἰς ἄλλας πληθὺν λίπεν ἀγχόθι νήσους.
μέσφα σαλαγγῶνος ποταμοῦ καὶ νέστιδος αἴης.
ἔνθα κε λευγαλέῃ μινύαι τότε δηιοτῆτι
παυρότεροι πλεόνεσσιν ὑπείκαθον. ἀλλὰ πάροιθεν
συνθεσίῃ μέγα νεῖκος ἀλευάμενοι ἐτάμοντο.
κῶας μὲν χρύσειον ἐπεί σφίσιν αὐτὸς ὑπέστη
αἰήτης. εἰ κεῖνοι ἀναπλήσειαν ἀέθλους
ἔμπεδον εὐδικίῃ σφέας ἑξέμεν. εἴτε δόλοισιν
εἴτε καὶ ἀμφαδίην αὔτως ἀέκοντος ἀπηύρων.
αὐτὰρ μήδειαν, τότε γὰρ πέλεν ἀμφήριστον,
παρθέσθαι κούρῃ λητωίδι νόσφιν ὁμίλου.
εἰσόκε τίς δικάσῃσι θεμιστούχων βασιλήων,
εἴτε μιν εἰς πατρὸς χρειὼ δόμον αὖτις ἱκάνειν,
εἴτε μετ' ἀφνειοῖο θείου πόλιν ὀρχομενοῖο,

εἴτε μεθ' Ἑλλάδα τοῖσιν ἀειστήεσιν ἕποιτο.
ἔνθα δ' ἐπεὶ τὰ ἕκαστα νόῳ πεμπάσατο κούρη,
δή ῥά μιν ὀξεῖαι κραδίην ἐλέλιξαν ἀνῖαι
νωλεμές. αἶψα δὲ νόσφιν Ἰήσονα μοῦνον ἑταίρων
ἐκπροκαλεσσαμένη ἄγεν ἄλλυδις, ὄφ' ἐλίασθεν
πολλὸν ἑκάς. στονόεντα δ' ἐνωπαδὶς ἔκφατο μῦθον.
αἰσονίδη, τίνα τήνδε συναρτύνασθε μενοινὴν
ἀμφ' ἐμοί, ἦέ σε πάγχυ λαθιφροσύναις ἐνέηκαν,
ἀγλαΐαι. τῶν δ' οὔ τι μετατρέπῃ ὅσ' ἀγόρευες
χρειοῖ ἐνισχόμενος. ποῦ τοι Διὸς ἱκεσίοιο
ὅρκια. ποῦ δὲ μελιχραὶ ὑποσχεσίαι βεβάασιν.
ᾗς ἐγὼ οὐ κατὰ κόσμον ἀναιδήτῳ ἰότητι
πάτρην τε, κλέα τε μεγάρων αὐτούς τε τοκῆας
νοσφισάμην τά μοι ἦεν ὑπέρτατα. τηλόθι δ' οἴη
λυγρῇσιν κατὰ πόντον ἅμ' ἀλκυόνεσι φορεῦμαι,
σῶν ἕνεκεν καμάτων. ἵνα μοι σόος ἀμφί τε βουσὶν,
ἀμφί τε γηγενέεσιν ἀναπλήσειας ἀέθλους.
ὕστατον αὖ καὶ κῶας ἐφ' ᾧ πλόος ὔμμιν ἐτύχθη,
εἷλον ἐμῇ μητίῃ κατὰ δ' οὐλοὸν αἶσχος ἔχευα
θηλυτέραις. τῷ φημὶ τεὴ κούρη τε δάμαρ τε
αὐτοκασιγνήτη τε, μεθ' Ἑλλάδα γαῖαν ἕπεσθαι.
πάντῃ νῦν πρόφρων ὑπερίστασο. μηδέ με μούνην
σεῖο λίπῃς ἀπάνευθεν ἐποιχόμενος βασιλῆας.
ἀλλ' αὔτως εἴρυσο. δίκη δέ τοι ἔμπεδος ἔστω.
καὶ θέμις ἣν ἄμφω συναρέσαμεν. ἢ σύ γ' ἔπειτα
φασγάνῳ αὐτίκα τόνδε μέσον διὰ λαιμὸν ἀμῆσαι
ὄφ' ἐπίηρα φέρωμαι, ἐοικότα μαργοσύνῃσι.
σχέτλιε. εἴ κεν δή με κασιγνήτοιο δικάσῃ

ἔμμεναι οὗτος ἄναξ τεὸν ἐπίσχετε τὰς δ' ἀλεγεινάς
ἀμφ' ἐμὸ συνθεσίας, πῶς ἵξομαι ὄμματα πατρός.
ἦ μάλ' ἐυκλειής. τίνα δ' οὐ τίσιν ἠὲ βαρεῖαν
ἄτην οὐ στυγερῶς δεινῶν ὕπερ οἷά τε ἔοργα
ὀτλήσω, σὺ κεν θυμηδέα νόστον ἕλοιο.
μὴ τό γε παμβασίλεια Διὸς τελέσειεν ἄκοιτις.
ᾗ ἐπικυδιάεις. μνήσαιο δὲ καί ποτ' ἐμεῖο
8 στρευγόμενος καμάτοισι. δέρος δέ τοι ἶσον ὀνείροις
οἴχοιτ' εἰς ἔρεβος μεταμώνιον. ἐκ δέ σε πάτρης
αὐτίκ' ἐμαί σ' ἐλάσειαν ἐριννύες, οἷα καὶ αὐτὴ
σῇ πάθον ἀτροπίῃ. τὰ μὲν οὐ θέμις ἀκράαντα
ἐν γαίῃ πεσέειν. μάλα γὰρ μέγαν ἤλιτες ὅρκον
νηλεές. ἀλλ' οὐ θήν μοι ἐπιλλίζοντες ὀπίσσω
δὴν ἔσσεσθε εὔκηλοι ἕκητί γε συνθεσιάων.
Ὣς φάτ' ἀναζείουσα βαρὺν χόλον. ἵετο δ' ἥ γε
νῆα καταφλέξαι, διά τ' ἔμπεδα πάντα κεάσσαι.
ἐν δὲ πεσεῖν αὐτὴ μαλερῷ πυρί. τοῖα δ' Ἰήσων
μειλιχίοις ἐπέεσσιν ὑποδδείσας προσέειπεν.
Ἴσχεο δαιμονίη. τὰ μὲν ἁνδάνει οὐδ' ἐμοὶ αὐτῷ.
ἀλλά τιν' ἀμβολίην διζήμεθα δηϊοτῆτος.
ὅσσον δυσμενέων ἀνδρῶν νέφος ἀμφιδέδηεν
εἵνεκα σεῦ. πάντες γὰρ ὅσοι χθόνα τήνδε νέμονται,
ἀψύρτῳ μεμάασιν ἀμυνέμεν, ὄφρα σε πατρὶ
οἷά τε ληϊσθεῖσαν ὑπότροπον οἴκαδ' ἄγοιντο.
αὐτοὶ δὲ στυγερῷ κεν ὀλοίμεθα πάντες ὀλέθρῳ
μιχθέντες δαΐ χεῖρας. ὅ τοι καὶ ῥίγιον ἄλγος
ἔσσεται, εἴ σε θανόντες ἕλωρ κείνοισι λίποιμεν.
ἥδε δὲ συνθεσίη κρανέει δόλον. ᾧ μιν ἐς ἄτην

βησόμεθ'. οὐδ' ἂν ὁμῶς περιναιέται αὖ τιόωσι
Κόλχοις ἦρα φέροντες ὑπὲρ σέο νόσφιν ἄνακτος
ὅς σφι ἀοσσητήρ τε κασίγνητός τε τέτυκται.
οὐδ' ἂν ἐγὼ Κόλχοισιν ὑπείξωμαι πτολεμίζειν
ἀντιβίην, ὅτε μή με διεξείργωσι νέεσθαι.
ἴσκεν ὑποσσαίνων. ἡ δ' οὐλοὸν ἔκφατο μῦθον.
29 φράζεο νῦν. χρειὼ γὰρ ἀεικελίοισιν ἐπ' ἔργοις
καὶ τόδε μητίσασθαι ἐπεὶ τὸ πρῶτον ἀάσθην
ἀμπλακίῃ. θεόθεν δὲ κακὰς ἤνυσα μενοινάς.
τύνη μὲν κατὰ μῶλον ἀλέξεο δούρατα Κόλχων,
αὐτὰρ ἐγὼ κεῖνόν γε τεὰς ἐς χεῖρας ἱκέσθαι
μειλίξω. σὺ δέ μιν φαιδροῖς ἀγαπάζεο δώροις.
30 εἴ κέν πως κήρυκας ἀπερχομένους πεπίθοιμι
οἰόθεν οἶον ἐμοῖσι συναρθμῆσαι ἐπέεσσιν.
ἔνθ' εἴ τοι τόδε ἔργον ἐφανδάνει. οὔτι μεγαίρω
κτεῖνέ τε καὶ Κόλχοισιν ἀείρεο δηϊοτῆτα.
Ὣς τώγε ξυμβάντε μέγαν δόλον ἠρτύνοντο
Ἀψύρτῳ. καὶ πολλὰ πόρον ξεινήϊα δῶρα.
οἷς μέτα καὶ πέπλον δόσαν ἱερὸν Ὑψιπυλείης
πορφύρεον. τὸν μέν ῥα Διωνύσῳ κάμον αὐταὶ
Δίῃ ἐν ἀμφιάλῳ Χάριτες θεαί. αὐτὰρ ὁ παιδὶ
δῶκε Θόαντι μετ' αὖτις. ὁ δ' αὖ λίπεν Ὑψιπυλείῃ.
ἡ δ' ἔπορ' Αἰσονίδῃ πολέσιν μετὰ καὶ τὸ φέρεσθαι,
γλήνεσιν εὐεργὲς ξεινήϊον. οὔ μιν ἀφάσσων
οὔτε κεν εἰσορόων γλυκὺν ἵμερον ἐμπλήσειας.
τοῦ δὲ καὶ ἀμβροσίη ὀδμὴ πέλεν ἐξ ἔτι κείνου
ἐξ οὗ ἄναξ αὐτὸς Νυσήϊος ἐγκατέλεκτο
ἀκροχάλιξ οἴνῳ καὶ νέκταρι καλὰ μεμαρπὼς

στήθεα παρθενικῆς μινωΐδος, ἥν ποτε θησεὺς
κνωσσόθεν ἑσπομένην δίῃ ἔνι κάλλιπε νήσῳ.
ἡ δ' ὅτε κηρύκεσσιν ἐπεξυνώσατο μύθους
θελγέμεν. εὖτ' ἂν πρῶτα θεᾶς ποτὶ νηὸν ἵκηται
συνθεσίῃ, νυκτός τε μέλαν κνέφας ἀμφιβάλῃσιν
ἐλθέμεν, ὄφρα δόλον συμφράσσεται, ὥς κεν ἑλοῦσα
χρύσειον μέγα κῶας ὑπότροπος αὖτις ὀπίσσω
βαίη ἐς αἰήταο δόμους. πέρι γάρ μιν ἀνάγκῃ
υἱῆες φρίξοιο δόσαν ξείνοισιν ἄγεσθαι.
τοῖα παραιφαμένη θελκτήρια φάρμακ' ἔπασσεν
αἰθέρι καὶ πνοιῇσι. τά κεν καὶ ἄπωθεν ἐόντα
ἄγριον ἠλιβάτοιο κατ' οὔρεος ἤγαγε θῆρα.
31 Σχέτλι' ἔρως, μέγα πῆμα, μέγα στύγος ἀνθρώποισιν,
ἐκ σέθεν οὐλόμεναί τ' ἔριδες στοναχαί τε γόοι τε
ἄλγεά τ' ἄλλ' ἐπὶ τοῖσιν ἀπείρονα τετρήχασι.
δυσμενέων ἐπὶ παισὶ κορύσσεο δαῖμον ἀερθεὶς
οἷος μηδείῃ στυγερὴν φρεσὶν ἔμβαλες ἄτην.
πῶς γὰρ δὴ μετιόντα κακῷ ἐδάμασσεν ὀλέθρῳ
ἄψυρτον. τὸ γὰρ ἧμιν ἐπισχερὼ ἦεν ἀοιδῆς.
ἦμος ὅτ' ἀρτέμιδος νήσῳ ἔνι τήν γ' ἐλίποντο
συνθεσίῃ. τοὶ μέν ῥα διάνδιχα νηυσὶν ἔκελσαν
σφωϊτέραις κρινθέντες. ὁ δ' ἐς λόχον ἦεν ἰήσων
δέγμενος ἄψυρτόν τε καὶ οὓς ἐξαῦτις ἑταίρους.
αὐτὰρ ὅγ' αἰνοτάτῃσιν ὑποσχεσίῃσι δολωθείς,
καρπαλίμως ᾗ νηὶ διὲξ ἁλὸς οἶδμα περήσας,
νύχθ' ὑπὸ λυγαίην ἱερῆς ἐπεβήσατο νήσου.
32 Οἰόθι δ' ἀντικρὺ μετιὼν πειρήσατο μύθοις
εἷο κασιγνήτης ἀταλὸς πάϊς, οἷα χαράδρης

χειμ

χειμερίης. ἦν οὐδὲ δί' αἰζηοὶ περόωσιν
εἴ κε δόλον ξείνοισιν ἐπ' ἀνδράσι τεχνήσαιτο.
καὶ τὼ μὲν τὰ ἕκαστα συνήνεον ἀλλήλοισιν.
αὐτίκα δ' αἰσονίδης πυκινοῖο ἐπάλτο λόχοιο
γυμνὸν ἀνασχόμενος παλάμῃ ξίφος. αἶψα δὲ κούρη
ἔμπαλιν ὄμματ' ἔνεικε καλυψαμένη ὀθόνῃσι.
μὴ φόνον ἀθρήσειε κασιγνήτοιο τυπέντος.
τὸν δ' ὅγε βουτύπος ὥστε μέγαν κερεαλκέα ταῦρον
πλῆξεν ὀπιπεύσας νηοῦ σχεδὸν, ὅν ποτ' ἔδειμαν
ἀρτέμιδι βρυγοὶ περιναιέται ἀντιπέρηθε.
τοῦ ὅγ' ἐνὶ προδόμῳ γνὺξ ἤριπε. λοίσθια δ' ἥρως
θυμὸν ἀναπνείων χερσὶν μέλαν ἀμφοτέρῃσιν
αἷμα κατ' ὠτειλὴν ὑποΐσχετο. τῆς δὲ καλύπτρην
ἀργυφέην καὶ πέπλον ἀλευομένης ἐρύθηνεν.
ὀξὺ δὲ πανδαμάτωρ λοξῷ ἴδεν οἷον ἔρεξαν
ὄμματι νηλειὴς ὀλοφώϊον ἔργον ἐριννύς.
Ἥρως δ' αἰσονίδης ἐξάργματα τάμνε θανόντος.
τρὶς δ' ἀπέλειξε φόνου. τρὶς δ' ἐξ ἄγος ἔπτυσ' ὀδόντων
ἣ θέμις αὐθέντῃσι δολοκτασίας ἱλάεσθαι.
ὑγρὸν δ' ἐν γαίῃ κρύψε νέκυν. ἔνθ' ἔτι νῦν περ
κείαται ὀστέα κεῖνα μετ' ἀνδράσιν ἀψυρτεῦσιν.
οἱ δ' ἄμυδις πυρσοῖο σέλας προπάροιθεν ἰδόντες
τό σφιν παρθενικὴ τέκμαρ μετιοῦσιν ἄειρε
κολχίδος ἀγχόθι νηὸς ἑὴν παρὰ νῆα βάλοντο
ἥρωες. κόλχων δ' ὄλεκον στόλον. ἠΰτε κίρκοι
φῦλα πελειάων. ἢ ἐ μέγα πῶυ λέοντες
ἀγρότεροι κλονέουσιν ἐνὶ σταθμοῖσι θορόντες.
οὐδ' ἄρα τις κείνων θάνατον φύγε. πάντα δ' ὅμιλον

πῦρ ἅτε δηιόωντες ἐπέδραμον. ὀψὲ δὲ ἰήσων
ἤντησεν μεμαὼς ἐπαμυνέμεν οὐ μάλ' ἀρωγῆς
δευομένοις. ἤδη δὲ καὶ ἀμφ' αὐτοῖο μέλοντο.
ἔνθα δ' ἐναυτιλίης πυκινῆς πέρι μητιάασκον
ἑζόμενοι βουλήν. ἐπὶ δέ σφιν ἤλυθε κούρη
φραζομένοις. πηλεὺς δὲ παροίτατος ἔκφατο μῦθον.
Ηδη νῦν κέλομαι νύκτωρ ἔτι νῆ' ἐπιβάντας
εἰρεσίῃ περάαν πλόον ἀντίον. ᾧ ἐπέχουσι
δήιοι. ἠῶθεν γὰρ ἐπαθρήσαντας ἕκαστα
ἔλπομαι οὐχ ἕνα μῦθον, ὅτις προτέρωσε δίεσθαι
ἡμέας ὀτρυνέει, τοὺς πεισέμεν οἷα δ' ἄνακτι
εὔνιδες ἀργαλέῃσι διχοστασίῃς κεδόωνται.
ῥηιδίη δέ κεν ἄμμι κεδασθέντων δίχα λαῶν
ἤδ' εἴη μετέπειτα κατερχομένοισι κέλευθος.
Ως ἔφατ'. ᾔνησαν δὲ νέοι ἔπος αἰακίδαο.
ῥίμφα δὲ νῆ' ἐπιβάντες ἐπερρώοντ' ἐλάτῃσι
34 νωλεμές. ὄφρ' ἱερὴν ἠλεκτρίδα νῆσον ἵκοντο
ἀλλάων ὑστάτην ποταμοῦ σχεδὸν ἠριδανοῖο.
κόλχοι δ' ὁππότ' ὄλεθρον ἐπιφράσθησαν ἄνακτος
ἤτοι μὲν δίζεσθαι ἐπέχραον ἔνδοθι πάσης
ἀργὼ καὶ μινύας κρονίης ἁλός. ἀλλ' ἀπέρυκεν
ἥρη σμερδαλέῃσι κατ' αἰθέρος ἀστεροπῇσιν
ὕστατον. αὐτοὶ δ' αὖτε κυταιΐδος ἤθεα γαίης
στύξαν ἀτυζόμενοι χόλον ἄγριον αἰήταο,
ἔμπεδον ἄλλυδις ἄλλοι ἐφορμηθέντες ἔνασθεν.
οἱ μὲν ἐπ' αὐτάων νήσων ἔβαν ᾗσιν ἐπέσχον
ἥρωες. ναίουσι δ' ἐπώνυμοι ἀψύρτοιο.
οἱ δ' ἄρ' ἐπ' ἰλλυρικοῖο μελαμβαθέος ποταμοῖο

τύμ

τύμβος ἵν' ἁρμονίης, κάδμοιό τε πύργον ἔδειμαν
ἀνδράσιν ἐγχελέεσσιν ἐφέστιοι. οἱ δ' ἐν ὄρεσσιν
ἐνναίουσιν. ἅπερ τε κεραύνια κικλήσκονται
ἐκ τόθεν ἐξότε τούς γε διὸς κρονίδαο κεραυνοὶ
νῆσον ἐς ἀντιπέραιαν ἀπέτραπον ὁρμηθῆναι.
Ηρωες δ' ὅτε δή σφιν ἐείσατο νόστος ἀπήμων
δή ῥα τότε προμολόντες ἐπὶ χθονὶ πείσματ' ἔδησαν
ὑλλήων. νῆσοι γὰρ ἐπιπρούχοντο θαμειαὶ
ἀργαλέην πλώουσιν ὁδὸν μεσσηγὺς ἔχουσαι.
οὐδέ σφιν ὡς καὶ πρὶν ἀνάρσια μητιάασκον
ὑλλῆες. πρὸς δ' αὐτοὶ ἐμηχανόωντο κέλευθον
μισθὸν ἀειρόμενοι τρίποδα μέγαν ἀπόλλωνος.
δοιοὺς γὰρ τρίποδας τηλοῦ πόρε φοῖβος ἄγεσθαι
αἰσονίδῃ περόωντι κατὰ χρέος. ὁππότε πυθὼ
ἱρὴν, πευσόμενος μετεκίαθε τῆσδ' ὑπὲρ αὐτῆς
ναυτιλίης. πέπρωτο δ' ὅπῃ χθονὸς ἱδρυθεῖεν,
μήποτε τὴν δηΐοισιν ἀναστήσεσθαι ἰοῦσι.
τοὔνεκεν εἰσέτι νῦν κείνῃ ὅδε κεύθεται αἴῃ
ἀμφὶ πόλιν ἀγανὴν ὑλληΐδα πολλὸν ἔνερθεν
οὔδεος. ὥς κεν ἄφαντος ἀεὶ μερόπεσσι πέλοιτο.
οὐ μὲν ἔτι ζώοντα κατ' αὐτόθι τέτμον ἄνακτα
ὕλλον, ὃν εὐειδὴς μελίτη τέκεν ἡρακλῆϊ
δήμῳ φαιήκων. ὁ γὰρ οἰκία ναυσιθόοιο
μάκριν τ' εἰσαφίκανε διωνύσοιο τιθήνην
τυτθὸς ἐὼν πατρὸς ἔναιεν, ἀτὰρ λίπε νῆσον ἔπειτα
νιψόμενος παίδων ὀλοὸν φόνον. ἔνθ' ὅγε κούρην
αἰγαίου ἐδάμασσεν ἐρασσάμενος ποταμοῖο
νηϊάδα μελίτην. ἡ δὲ σθεναρὸν τέκεν ὕλλον.

οὐδ' ἄρ' ὅγ' ἤθελεν αὐτῇ ἐνεέλλεσθαι νήσῳ
ναίειν κοιρανέοντος ἐπ' ὀφύσι ναυσιθόοιο.
βῆ δ' ἅλαδε κρονίην αὐτόχθονα λαὸν ἀπείρας
φαιήκων, σὺν γάρ οἱ ἄναξ πόρσυνε κέλευθον
ἥρως ναυσίθοος. τόθι δ' εἵσατο. καί μιν ἔπεφνον
μέντορες ἀγραύλοισιν ἀλεξόμενον περὶ βουσίν.
56 Ἀλλὰ θεαί. πῶς τῆσδε παρὲξ ἁλὸς ἀμφί τε γαῖαν
αὐσονίην νήσους τε λιγυστίδας. αἳ καλέονται
στοιχάδες ἀργῴης περιώσια σήματα νηὸς
νημερτὲς πέφαται. τίς ἀπόπροθι τόσσον ἀνάγκη
καὶ χρειὼ σφ' ἐκόμισσε. τίνες σφέας ἤγαγον αὖραι.
αὐτόν που μεγαλωστὶ δεδουπότος ἀψύρτοιο
ζῆνα θεῶν βασιλῆα χόλος λάβεν οἷον ἔρεξαν.
αἰαίης δ' ὀλοὸν τεκμήρατο δήνεσι κίρκης,
αἷμ' ἀπονιψαμένους πρό τε μυρία πημανθέντας
νοστήσειν. τὸ μὲν οὔτις ἀριστήων ἐνόησεν.
ἀλλ' ἔθεον γαίης ὑλληΐδος ἐξανιόντες
τηλόθι. τὰς δ' ἀπέλειπον ὅσοι κόλχοισι πάροιθεν,
ἐξείης πλήθοντο λιβυρνίδες εἰν ἁλὶ νῆσοι,
ἴσσά τε δυσκέλαδός τε καὶ ἱμερτὴ πιτύεια.
αὐτὰρ ἔπειτ' ἐπὶ τῇσι παραὶ κέρκυραν ἵκοντο,
ἔνθα ποσειδάων ἀσωπίδα νάσσατο κούρην
ἠΰκομον κέρκυραν, ἑκὰς φλειουντίδος αἴης
ἁρπάξας ὑπ' ἔρωτι μελαινομένην δέ μιν ἄνδρες
ναυτίλοι ἐκ πόντοιο κελαινῇ πάντοθεν ὕλῃ
δερκόμενοι. κέρκυραν ἐπικλείουσι μέλαιναν.
τῇ δ' ἔπι καὶ μελίτην λιαρῷ περιγηθέες οὔρῳ
αἰπεινήν τε κερωσσόν. ὕπερθε δὲ πολλὸν ἐοῦσαν

νυμφαίην παράμειβον ἵνα κρείουσα καλυψὼ
ἀτλαντὶς ναίεσκε. τὰ δ' ἠεροειδέα λεύσσειν
37 οὔρεα δοιάζοντο κεραύνια. καὶ τότε βουλὰς
ἀμφ' αὐτοῖς ζηνός τε μέγαν χόλον ἐφράσαθ' ἥρη.
μηδομένη δ' ἄνυσιν τοῖο πλόου, ὦρσεν ἀέλλας
ἀντικρύ. ταῖς δ' αὖτις ἀναρπάγδην φορέοντο
νήσου ἔπι κραναῆς ἠλεκτρίδος. αὐτίκα δ' ἄφνω
ἴαχεν ἀνδρομέῃ ἐνοπῇ μεσσηγὺ θεόντων
αὐδῆεν γλαφυρῆς νηὸς δόρυ. τό ῥ' ἀνὰ μέσσην
38 στεῖραν ἀθηναίη δωδωνίδος ἥρμοσε φηγοῦ.
τοὺς δ' ὀλοὸν μεσσηγὺ δέος λάβεν εἰσαΐοντας
φθογγήν τε ζηνός τε βαρὺν χόλον. οὐ γὰρ ἀλύξειν
ἔννεπεν οὔτε πόρους δολιχῆς ἁλὸς οὔτε θυέλλας
ἀργαλέας. ὅτε μὴ κίρκη φόνον ἀψύρτοιο
νηλέα νίψειε. πολυδεύκεα δ' εὐχετάασθαι
κάστορά τ' ἀθανάτοισι θεοῖς ἤνωγε κελεύθους
αὐσονίης ἔμπροσθε πορεῖν ἁλός. ᾗ ἔνι κίρκην
δήουσιν, πέρσης τε καὶ ἠελίοιο θύγατρα.
Ὣς ἀργὼ ἰάχησεν ὑπὸ κνέφας. οἱ δ' ἀνόρουσαν
τυνδαρίδαι καὶ χεῖρας ἀνέσχεθον ἀθανάτοισιν
εὐχόμενοι τὰ ἕκαστα. κατηφείη δ' ἔχεν ἄλλους
ἥρωας μινύας. ἡ δ' ἔσσυτο πολλὸν ἐπιπρὸ
λαίφεσιν. ἐς δ' ἔβαλον μύχατον ῥόον ἠριδανοῖο.
ἔνθ' ἄποτ' αἰθαλόεντι τυπεὶς πρὸς στέρνα κεραυνῷ
ἡμιδαὴς φαέθων πέσεν ἅρματος ἠελίοιο
λίμνης ἐς προχοὰς πολυβενθέος. ἡ δ' ἔτι νῦν περ
τραύματος αἰθομένοιο βαρὺν ἀνακήκιεν ἀτμόν.
οὐδέ τις ὕδωρ κεῖνο διὰ πτερὰ κοῦφα τανύσσας

οἰωνὸς δύναται βαλέειν ὕπερ. ἀλλὰ μεσηγὺς
φλογμῷ ἐπιθρῴσκει πεποτημένος. ἀμφὶ δὲ κοῦραι
ἠλιάδες ταναῇσιν ἀειμέναι αἰγείροισιν
μύρονται κινυρὸν μέλεαι γόον. ἐκ δὲ φαεινὰς
ἠλέκτρου λιβάδας βλεφάρων προχέουσιν ἔραζε,
αἱ μέν τ' ἠελίῳ ψαμάθοις ἔπι τερσαίνονται.
εὖτ' ἂν δὲ κλύζωσι κελαινῆς ὕδατα λίμνης
ἠϊόνας πνοιῇ πολυηχέος ἐξ ἀνέμοιο,
δὴ τότ' ἐς ἠριδανὸν προκυλίνδεται ἀθρόα πάντα
39 κυμαίνοντι ῥόῳ. κελτοὶ δ' ἐπὶ βάξιν ἔθεντο,
ὡς ἄρ' ἀπόλλωνος τάδε δάκρυα λητοΐδαο
ἐμφέρεται δίναις. ἅτε μυρία χεῦε πάροιθεν.
ἦμος ὑπερβορέων ἱερὸν γένος εἰσαφίκανεν,
οὐρανὸν αἰγλήεντα λιπὼν ἐκ πατρὸς ἐνιπῆς
χωόμενος περὶ παιδί. τὸν ἐν λιπαρῇ λακερείῃ
δῖα κορωνὶς ἔτικτεν ἐπὶ προχοῇς ἀμύνοιο.
καὶ τὰ μὲν ὣς κείνοισι μετ' ἀνδράσι κεκλήϊσται.
τοὺς δ' οὔτε βρώμης ᾕρει πόθος οὐδὲ ποτοῖο,
οὔτ' ἐπὶ γηθοσύνας τράπετο νόος. ἀλλ' ἄρα τοί γε
ἤματα μὲν στρεύγοντο περιβληχρὸν βαρύθοντες
ὀδμῇ λευγαλέῃ. τήν ῥ' ἄσχετον ἐξανίεσκον
τυφομένου φαέθοντος ἐπιρροαὶ ἠριδανοῖο.
νύκτας δ' αὖ γόον ὀξὺν ὀδυρομένων ἐσάκουον
ἠλιάδων λιγέως. τὰ δὲ δάκρυα μυρομένῃσιν
οἷον ἐλαιηραὶ στάγες ὕδασιν ἐμφορέοντο.
40 Ἐκ δὲ τόθεν ῥοδανοῖο βαθὺν ῥόον εἰσεπέρησαν.
ὅστ' εἰς ἠριδανὸν μετανείσσεται. ἄμμιγα δ' ὕδωρ
ἐν ξυνοχῇ βέβρυχε κυκώμενον. αὐτὰρ ὁ γαίης

ἐκ μυ

ἐκ μυχάτης. ἵνα τ' εἰσὶ πύλαι καὶ ἐδέθλια νυκτὸς
ἔνθεν ἀπορνύμενος. τῇ μέν τ' ἐπερεύγεται ἀκτὰς
ὠκεανοῦ. τῇ δ' αὖτε μετ' ἰονίην ἅλα βάλλει.
τῇ δ' ἐπὶ σαρδόνιον πέλαγος καὶ ἀπείρονα κόλπον
ἑπτὰ διὰ στομάτων ἵει ῥόον. ἐκ δ' ἄρα τοῖο
λίμνας εἰσέλασαν δυσχείμονας. αἵ τ' ἀνὰ κελτῶν
ἤπειρον πέπτανται ἀθέσφατον. ἔνθα κεν οἵ γε
ἄτῃ ἀεικελίῃ πέλασαν. φέρε γάρ τις ἀπορρὼξ
κόλπον ἐς ὠκεανοῖο τὸν οὐ προδαέντες ἔμελλον
εἰσβαλέειν. τόθεν οὔ κεν ὑπότροποι ἐξεσάωθεν.
ἀλλ' ἥρη σκοπέλοιο καθ' ἑρκυνίου ἰάχησεν
οὐρανόθεν προθοροῦσα. φόβῳ δ' ἐτίναχθεν ἀϋτῇ
πάντες ὁμῶς. δεινὸν γὰρ ἐπὶ μέγας ἔβραχεν αἰθήρ
ἂψ δὲ παλιντροπόωντο θεᾶς ὕπο. καί ῥ' ἐνόησαν
τήνδ' οἶμον, τῇ πέρ τε καὶ ἔπλετο νόστος ἰοῦσι.
δηναιοὶ δ' ἀκτὰς ἁλιμυρέας εἰσαφίκοντο
ἥρης ἐννεσίῃσι δι' ἔθνεα μυρία κελτῶν.
καὶ λιγύων προόωντες ἀδήϊοι. ἀμφὶ γὰρ αἰνὴν
ἠέρα χεῦε θεὰ πάντ' ἤματα νεισομένοισι.
μεσσότατον δ' ἄρα τοί γε διὰ στόμα νηὶ βαλόντες
στοιχάδας εἰσαπέβαν νήσους σόοι. εἵνεκα κούρων
ζηνός. ὃ δὴ βωμοί τε καὶ ἱερὰ τοῖσι τέτυκται
ἔμπεδον. οὐδ' οἶον κείνης ἐπίκουροι ἕποντο
ναυτιλίης. ζεὺς δέ σφι καὶ ὀψιγόνων πόρε νῆας.
στοιχάδας αὖτε λιπόντες ἐς αἰθαλίην ἐπέρησαν
νῆσον. ἵνα ψηφῖσιν ἀπωμόρξαντο καμόντες
ἱδρῶ ἅλις. χροιῇ δὲ κατ' αἰγιαλοῖο κέχυνται
εἴκελοι. ἐν δὲ σόλοι καὶ τεύχεα θέσκελα κείνων

ἐν δὲ λιμὴν ἀργῷος ἐπωνυμίην πεφάτισται.
καρπαλίμως δ' ἔνθεν δὲ δι' ἐξ ἁλὸς οἶδμα νέοντο
αὐσονίης ἀκτὰς τυρσηνίδας εἰσορόωντες.
41 ἷξον δ' αἰαίης λιμένα κλυτόν. ἐκ δ' ἄρα νηὸς
πείσματ' ἐπ' ἠϊόνων σχεδόθεν βάλον. ἔνθα δὲ κίρκην
εὗρον ἁλὸς νοτίδεσι κάρη ἐπιφαιδρύνουσαν.
τοῖον γὰρ νυχίοισιν ὀνείρασιν ἐπτοίητο.
αἵματί οἱ θάλαμοί τε καὶ ἕρκεα πάντα δόμοιο
μύρεσθαι δόκεον. φλὸξ δ' ἀθρόα φάρμακ' ἔδαπτεν
οἷσι πάρος ξείνους θέλγ' ἀνέρας ὅς τις ἵκοιτο.
τὴν δ' αὐτὴ φονίῳ σβέσεν αἵματι πορφύρουσαν
χερσὶν ἀφυσσαμένη. λῆξεν δ' ὀλοοῖο φόβοιο.
τῷ καὶ ἐπιπλομένης ἠοῦς νοτίδεσι θαλάσσης
ἐγρομένη πλοκάμους τε καὶ εἵματα φαιδρύνεσκε.
θῆρες δ' οὐ θήρεσιν ἐοικότες ὠμηστῇσιν (ἄλλων
οὐδὲ μὲν οὐδ' ἀνδρέσιν ὁμὸν δέμας, ἄλλο δ' ἀπ'
συμμιγέες μελέων κίον ἀθρόοι ἠΰτε μῆλα
ἐκ σταθμῶν ἅλις εἶσιν ὀπηδεύοντα νομῆϊ.
τοίους καὶ προτέρους ἐξ ἰλύος ἐβλάστησε
χθὼν αὐτὴ μικτοῖσιν ἀρηρεμένους μελέεσιν.
οὔ πω διψαλέῳ μάλ' ὑπ' ἠέρι πιληθεῖσα.
οὐδέ πω ἀζαλέοιο βολαῖς τόσον ἠελίοιο
ἰκμάδας αἰνυμένη. ταὶ δ' ὧδε στίχας ἤγαγεν αἰὼν
συγκρίνας, τὼς οἵ γε φυὴν ἀΐδηλοι ἕποντο.
ἥρωας δ' ἕλε θάμβος ἀπείριτον. αἶψα δ' ἕκαστος
κίρκης εἴς τε φυὴν εἴς τ' ὄμματα παπταίνοντες,
ῥεῖα κασιγνήτην φάσαν ἔμμεναι αἰήταο.
ἡ δ' ὅτε δὴ νυχίων ἀπὸ δείματα πέμψεν ὀνείρων

αὐ-

αὐτίκ' ἔπειτ' ἄψορρον ἀπέστιχε. τοὺς δ' ἅμ' ἕπεσθαι
χειρὶ καταῤῥέξασα δολοφροσύνῃσιν ἄνωγεν.
ἔνθ' ἤτοι πληθὺς μὲν ἐφετμαῖς αἰσονίδαο
μίμνεν ἀπηλεγέως. ὁ δ' ἐρύσσατο κολχίδα κούρην.
ἄμφω δ' ἑσπέσθην αὐτὴν ὁδὸν, ἔς τ' ἀφίκοντο
κίρκης ἐς μέγαρον. τοὺς δ' ἐν λιπαροῖσι κέλευεν
ἥγε θρόνοις ἕζεσθαι ἀμηχανέουσα κιόντων.
τὼ δ' ἄνεῳ καὶ ἄναυδοι ἐφ' ἑστίῃ ἀΐξαντε
42 Ἵζανον ἥτε δίκη λυγροῖς ἱκέτῃσι τέτυκται.
ἡ μὲν ἐπ' ἀμφοτέραις θεμένη χείρεσσι μέτωπα.
αὐτὰρ ὁ κωπῆεν μέγα φάσγανον ἐν χθονὶ πήξας
ᾧ πέρ τ' αἰήταο πάϊν κτάνεν. οὐδέ ποτ' ὄσσε
ἰθὺς ἐνὶ βλεφάροισιν ἀνέσχεθον. αὐτίκα δ' ἔγνω
κίρκη φύξιον οἶτον ἀλιτροσύνας τε φόνοιο.
τῷ καὶ ὀπιζομένη ζηνὸς θέμιν ἱκεσίοιο.
ὃς μέγα μὲν κοτέει. μέγα δ' ἀνδροφόνοισιν ἀρήγει
ῥέζε θυηπολίην. οἵῃ τ' ἀπολυμαίνονται
νηλειεῖς ἱκέται. ὅτ' ἐφέστιοι ἀντιόωσιν
43 Πρῶτα μὲν ἀτρέπτοιο λυτήριον ἥγε φόνοιο
τειναμένη καθύπερθε συὸς τέκος. ἧς ἔτι μαζοὶ
πλήμμυρον λοχίης ἐκ νηδύος αἵματι χεῖρας
τέγγεν ἐπιτμήγουσα δέρην. αὖτις δὲ καὶ ἄλλοις
μείλισσεν χύτλοισι καθάρσιον ἀγκαλέουσα
ζῆνα παλαμναίων τιμήορον ἱκεσιάων.
καὶ τὰ μὲν ἀθρόα πάντα δόμων ἐκ λύματ' ἔνεικαν
νηϊάδες πρόπολοι. ταί οἱ πόρσυνον ἕκαστα.
ἡ δ' εἴσω πελάνους μείλικτρά τε νηφαλίῃσι
καῖεν ἐπ' εὐχωλῇσι παρέστιος. ὄφρα χόλοιο

σμερδαλέας παύσῃσιν ἐριννύας. ἠδὲ καὶ αὐτὸς
εὐμειδής τε πέλοιτο καὶ ἤπιος ἀμφοτέροισιν.
εἴτ' οὖν ὀθνείῳ μεμιασμένοι αἵματι χεῖρας
εἴτε καὶ ἐμφυλίῳ προσκηδέες ἀντιόωσιν.
αὐτὰρ ἐπεὶ μάλα πάντα πονήσατο, δὴ τότ' ἔπειτα
εἷσεν ἐπὶ ξεστοῖσιν ἀναστήσασα θρόνοισι.
καὶ δ' αὐτὴ πέλας ἷζεν ἐνωπαδίς, αἶψα δὲ μύθοις
χρειὼ. ναυτιλίην τε διακριδὸν ἐξερέεινεν.
ἠδ' ὁπόθεν μετὰ γαῖαν ἑὴν καὶ δώματ' ἰόντες
αὔτως ἱδρύνθησαν ἐφέστιοι. ἦ γὰρ ὀνείρων
μνῆστις ἀεικελίη δῦνεν φρένας ὁρμαίνουσαν.
ἵετο δ' αὖ κούρης ἐμφύλιον ἴδμεναι ὀμφὴν
αὐτίχ' ὅπως ἐνόησεν ἀπ' οὔδεος ὄσσε βαλοῦσαν.
πᾶσα γὰρ ἠελίου γενεὴ ἀείδηλος ἰδέσθαι
44 ἦεν. ἐπεὶ βλεφάρων ἀποτηλόθι μαρμαρυγῇσιν
οἷόν τε χρυσέην ἀντώπιον ἵεσαν αἴγλην.
ἡ δ' ἄρα τῇ τὰ ἕκαστα διειρομένῃ κατέλεξε.
κολχίδα γῆρυν ἱεῖσα βαρύφρονος αἰήταο
κούρη μειλιχίως ἠμὲν στόλον, ἠδὲ κελεύθους
ἡρώων, ὅσα τ' ἀμφὶ θοοῖς ἐμόγησαν ἀέθλοις.
ὥς τε κασιγνήτης πολυκηδέος ἤλιτε βουλαῖς
ὥς τ' ἀπονόσφιν ἄλυξεν ὑπέρβια δείματα πατρὸς
σὺν παισὶν φρίξοιο. φόνον δ' ἀλέεινεν ἐνισπεῖν
ἀψύρτου. τὴν δ' οὔ τι νόῳ λάθεν. ἀλλὰ καὶ ἔμπης
μυρομένην ἐλέαιρεν. ἔπος δ' ἐπὶ τοῖσιν ἔειπε.
σχετλίη. ἦ ῥα κακὸν καὶ ἀεικέα μήσαο νόστον.
ἔλπομαι, οὐκ ἐπὶ δήν σε βαρὺν χόλον αἰήταο
ἐκφυγέειν. τάχα δ' εἶσι καὶ ἑλλάδος ἤθεα γαίης

ἀπὸ ὁμαίμονος φόνον ἦλθε, ὅτ' ἄσχετα ἔργα τέλεσσας.
ἀλλ' ἐπεὶ οὖν ἱκέτης καὶ ὁμόγνιος ἔπλευ ἐμοῖο
ἄλλο μὲν οὔ τι κακὸν μητίσομαι ἐνθάδ' ἰούσῃ.
ἔρχεο δ' ἐκ μεγάρων ξείνῳ συνοπηδὸς ἐοῦσα
ὅν τινα τοῦτον ἄιστον ἀνείραο πατρὸς ἄνευθε.
μὴ δέ με γουνάσσειε ἐφέστιος. οὐ γὰρ ἔγωγε
αἰνήσω, βουλάς τε σέθεν καὶ ἀεικέα φύξιν. (πλον
Ω ὣς φάτο. τὴν δ' ἀμέγαρτον ἄχος λάβεν. ἀμφὶ δὲ πέ-
ὀφθαλμοῖσι βαλοῦσα γόον χέεν, ὄφρα μιν ἥρως
χειρὸς ἐπισχόμενος μεγάρων ἐξῆγε θύραζε
δείματι παλλομένην. λεῖπον δ' ἀπὸ δώματα κίρκης.
οὐδ' ἄλοχον κρονίδαο διὸς λάθον. ἀλλά οἱ ἶρις
πέφραδεν. εὖτ' ἐνόησεν ἀπὸ μεγάροιο κιόντας.
αὐτὴ γάρ μιν ἄνωγε δοκευέμεν, ὁππότε νῆα
στείχοιεν. τῶ καί μιν ἐποτρύνουσ' ἀγόρευεν.
ἶρι φίλη. νῦν εἴ ποτ' ἐμὰς ἐτέλεσσας ἐφετμὰς,
εἰ δ' ἄγε λαιψηροῖσι μετοιχομένη πτερύγεσσι
δεῦρο θέτιν μοι ἄνωχθι μολεῖν ἁλὸς ἐξανιοῦσαν.
κείνης γὰρ χρειώ με κιχάνεται, αὐτὰρ ἔπειτα
ἐλθεῖν εἰς ἀκτὰς ὅθι τ' ἄκμονες ἡφαίστοιο
χάλκειοι στιβαρῇσιν ἀράσσονται τυπίδεσσιν.
εἰπὲ δὲ κοιμῆσαι φύσας πυρὸς, εἰσόκεν ἀργὼ
τάς γε παρεξελάσησιν. ἀτὰρ καὶ ἐς αἴολον ἐλθεῖν,
αἴολον ὅς τ' ἀνέμοις αἰθρηγενέεσσιν ἀνάσσει.
καὶ δὲ τῷ εἰπέμεναι τὸν ἐμὸν νόον, ὥς κεν ἀήτας
πάντας ἀπολλήξειεν ὑπ' ἠέρι. μηδέ τις αὔρη
τρηχύνοι πέλαγος. ζεφύρου γε μὲν οὖρος ἀήτω.
ὄφρ' οἵγ' ἀλκινόου φαιηκίδα νῆσον ἵκωνται.

Ως ἔφατ'. αὐτίκα δ' Ἶρις ἀπ' οὐλύμποιο θοροῦσα
τέμνε τανυσσαμένη κοῦφα πτερά. δῦ δ' ἐνὶ πόντῳ
αἰγαίῳ, τόθι πέρ τε δόμοι νηρῆος ἔασιν.
πρώτην δ' εἰσαφίκανε θέτιν, καὶ ἐπέφραδε μῦθον
ἥρης αἰνεσίης. ὦρσεν τέ μιν εἰς ἓ νέεσθαι.
δεύτερα δ' εἰς ἥφαιστον ἐβήσετο. παῦσε δὲ τόνγε
ῥίμφα σιδηρείων τυπίδων. ἔσχοντο δ' ἀυτμῆς
αἰθαλέοι πρηστῆρες. ἀτὰρ τρίτον εἰσαφίκανεν
αἰόλον ἱππότεω παῖδα κλυτόν. ὄφρα δὲ καὶ τῷ
ἀγγελίην φαμένη θοὰ γούνατα παῦσεν ὁδοῖο.
τόφρα θέτις νηρῆα κασιγνήτας τε λιποῦσα
ἐξ ἁλὸς οὔλυμπόνδε θεὰν μετεκίαθεν ἥρην.
ἡ δέ μιν ἆσσον ἑοῖο πάρεισέ τε φαῖνέ τε μῦθον.
κέκλυθι νῦν θέτι δῖα τά τοι ἐπιέλδομ' ἐνισπεῖν.
οἶσθα μὲν ὅσσον ἐμῇσιν ἐνὶ φρεσὶ τίεται ἥρως
αἰσονίδης, ἠδ' ἄλλοι ἀοσσητῆρες ἀέθλου.
46 Οἵη τέ σφ' ἐσάωσα διὰ πλαγκτὰς περόωντας
πέτρας, ἔνθα πυρὸς δειναὶ βρομέουσι θύελλαι
κύματά τε σκληρῇσι περιβλύει σπιλάδεσσι.
νῦν δὲ παρὰ σκύλλης σκόπελον μέγαν, ἠδὲ χάρυβδιν
δεινὸν ἐρευγομένην δέχεται ὁδός. ἀλλά σε γὰρ δὴ
ἐξέτι νηπυτίης αὐτὴ τρέφον ἠδ' ἀγάπησα
ἔξοχον ἀλλάων, αἵ τ' εἰν ἁλὶ ναιετάουσιν,
οὕνεκεν οὐκ ἔτλης εὐνῇ διὸς ἱεμένοιο
λέξασθαι. κείνῳ γὰρ ἀεὶ τάδε ἔργα μέμηλεν
ἠὲ σὺν ἀθανάταις ἠὲ θνητῇσιν ἰαύειν.
ἀλλ' ἐμέ τ' αἰδομένη καὶ ἐνὶ φρεσὶ δειμαίνουσα
ἤλευω, ὁ δ' ἔπειτα πελώριον ὅρκον ὄμοσσε

μή πωτ' ἐς ἀθανάτοιο θεοῦ καλέεσθαι ἄκοιτιν,
ἔμπης δ' οὐ λήθεσκεν ὀπιπεύων ἀέκουσαν
εἰσότε οἱ πρέσβειρα Θέμις κατέλεξεν ἅπαντα
ὡς δή τοι πέπρωται, ἀμείνονα πατρὸς ἑοῖο
παῖδα τεκεῖν. τῷ καί σε λιλαιόμενος μεθέηκε
δείματι, μή τις ἑοῦ ἀντάξιος ἄλλος ἀνάσσοι
ἀθανάτων. ἀλλ' αἰὲν ἑὸν κράτος εἰρύοιτο.
αὐτὰρ ἐγὼ τὸν ἄριστον ἐπιχθονίων πόσιν εἶναι
δῶκά τοι. ὄφρα γάμου θυμηδέος ἀντιάσειας.
τέκνα δὲ φιτύσαιο. θεοὺς δ' εἰς δαῖτα κάλεσσα
47 Πάντας ὁμῶς. αὐτὴ δὲ σέλας χείρεσσιν ἀνέσχον
νυμφίδιον κείνης ἀγανόφρονος εἵνεκα τιμῆς.
ἀλλ' ἄγε καί τινά τοι νημερτέα μῦθον ἐνίψω.
εὖτ' ἂν ἐς ἠλύσιον πεδίον τεὸς υἱὸς ἵκηται,
ὃν δὴ νῦν χείρωνος ἐν ἤθεσι κενταύροιο
νηιάδες κομέουσι τεοῦ λίπτοντα γάλακτος.
χρειώ μιν κούρης πόσιν ἔμμεναι αἰήταο
μηδείης. σὺ δ' ἄρηγε νυῷ ἑκυρή περ ἐοῦσα
48 Ἠδ' αὐτῷ πηλῆι. τί τοι χόλος ἐστήρικται.
ἀάσθη. καὶ γάρ τε θεοὺς ἐπινίσσεται ἄτη.
ναὶ μὲν ἐφημοσύνῃσιν ἐμαῖς ἥφαιστον ὀίω
λωφήσειν πρήσοντα πυρὸς μένος. ἱπποτάδην δὲ
αἰόλον ὠκείας ἀνέμων ἀίκας ἐρύξειν
νόσφιν ἐϋσταθέος ζεφύρου. τείως κεν ἵκωνται
φαιήκων λιμένας. σὺ δ' ἀκηδέα μήδεο νόστον.
δείματα δὲ πέτραι καὶ ὑπέρβια κύματ' ἔασι
μοῦνον. ἅ κεν τρέψαιο κασιγνήτῃσι σὺν ἄλλαις.
49 Μηδὲ σύ γ' ἠὲ χάρυβδιν ἀμηχανέοντας ἐάσῃς

ἐσβαλέειν, μὴ πάντας ἀναβρώξασα φέρησιν.
ἠὲ παρὰ σκύλλης στυγερὸν κευθμῶνα νέεσθαι
σκύλλης αὐσονίης ὀλοόφονος. ἣν τέκε φόρκῳ
νυκτιπόλος θ' ἑκάτη. τήν τε κλείουσι κραταιΐν.
μή πως σμερδαλέῃσιν ἐπαΐξασα γένυσσι
λεκτοὺς ἡρώων δηλήσεται. ἀλλ' ἔχε νῆα
κεῖσ' ὅθι περ τυτθή περ ἀπαίβασις ἔσσετ' ὀλέθρου.
Ὣς φάτο. τὴν δὲ θέτις τοίῳ προσελέξατο μύθῳ.
80 Εἰ μὲν δὴ μαλεροῖο πυρὸς μένος ἠδὲ θύελλαι
ζαχρηεῖς λήξουσιν ἐτήτυμον, ἦ τ' ἂν ἔγωγε
θαρσαλέη φαίην καὶ κύματος ἀντιόωντος
νῆα σαωσέμεναι. ζεφύρου λίγα κινυμένοιο.
ἀλλ' ὥρη δολιχήν τε καὶ ἄσπετον οἶμον ὁδεύειν.
ὄφρα κασιγνήτας μετελεύσομαι. αἵ μοι ἀρωγοὶ
ἔσσονται. καὶ νηὸς ὅθι πρυμνήσι' ἀνῆπται.
ὥς κεν ὑπηῷοι μνησαίατο νόστον ἑλέσθαι.
Ἦ, καὶ ἀναΐξασα κατ' αἰθέρος ἔμπεσε δίναις
κυανέου πόντοιο. καλεῖ δ' ἐπαμυνέμεν ἄλλας
αὐτοκασιγνήτας νηρηΐδας. αἱ δ' ἀΐουσαι
ἤντεον ἀλλήλῃσι. θέτις δ' ἀγόρευεν ἐφετμὰς
ἥρης. αἶψα δ' ἴαλλε μετ' αὐσονίην ἅλα πάσας.
51 Αὐτὴ δ' ὠκυτέρη ἀμαρύγματος, ἠὲ βολάων
ἠελίου. ὅτ' ἄνεισι περαίης ὑψόθι γαίης.
σεύατ' ἴμεν λαιψηρὰ δι' ὕδατος. ἔς τ' ἀφίκανεν,
ἀκτὴν αἰαίην τυρσηνίδος ἠπείροιο.
τοὺς δ' εὗρε παρὰ νηῒ σόλῳ ῥιπῇσί τ' ὀϊστῶν
τερπομένους. ἡ δ' ἆσσον ὀρεξαμένη χερὸς ἄκρης
αἰακίδεω πηλῆος. ὁ γάρ ῥά οἱ ἦεν ἀκοίτης

οὐδέ τις εἰσιδέειν δύνατ' ἔμπεδον. ἀλλ' ἄρα τῷ γε
οἴῳ ἐν ὀφθαλμοῖσιν ἐείσατο φώνησέν τε.
52 Μηκέτι νῦν ἀκταῖς Τυρσηνίσιν ἧσθε μένοντες,
ἠῶθεν δὲ θοῆς πρυμνήσια λύετε νηός,
Ἥρῃ πειθόμενοι ἐπαρηγόνι. τῆς γὰρ ἐφετμαῖς
πασσυδίῃ κοῦραι Νηρηίδες ἀντιόωσι
νῆα διὲκ πέτρας, αἵτε Πλαγκταὶ καλέονται
ῥυσόμεναι. κείνη γὰρ ἐναίσιμος ὔμμι κέλευθος.
ἀλλὰ σὺ μή τῳ ἐμὸν δείξῃς δέμας εὖτ' ἂν ἴδηαι
ἀντομένην σὺν τῇσι. νόῳ δ' ἔχε, μή με χολώσῃς
πλεῖον ἔτ' ἢ τὸ πάροιθεν ἀπηλεγέως ἐχόλωσας.
Ἦ, καὶ ἔπειτ' ἀΐδηλος ἐδύσατο βένθεα πόντου.
Τὸν δ' ἄχος αἰνὸν ἔτυψεν. ἐπεὶ πάρος οὐκ ἔτ' ἰοῦσαν
ἔδρακεν, ἐξότε πρῶτα λίπεν θάλαμόν τε καὶ εὐνὴν
χωσαμένη Ἀχιλῆος ἀγαυοῦ νηπιάχοντος.
ἡ μὲν γὰρ βροτέας αἰεὶ περὶ σάρκας ἔδαιεν
νύκτα διὰ μέσσην φλογμῷ πυρός. ἤματα δ' αὖτε
ἀμβροσίῃ χρίεσκε τέρεν δέμας, ὄφρα πέλοιτο
ἀθάνατος. καί οἱ στυγερὸν χροῒ γῆρας ἀλάλκοι.
αὐτὰρ ὅγ' ἐξ εὐνῆς ἀναπάλμενος εἰσενόησε
παῖδα φίλον σπαίροντα διὰ φλογός. ἧκε δ' ἀϋτὴν
σμερδαλέην ἐσιδὼν μέγα νήπιος. ἡ δ' ἀΐουσα
53 τὸν μὲν ἄρ' ἁρπάγδην χαμάδις βάλε κεκληγῶτα
αὐτὴ δὲ πνοιῇ ἰκέλη δέμας ἠΰτ' ὄνειρος
βῆ ῥ' ἴμεν ἐκ μεγάροιο θοῶς καὶ ἐσήλατο πόντον
χωσαμένη. μετὰ δ' οὔ τι παλίσσυτος ἵκετ' ὀπίσσω
τῷ μιν ἀμηχανίη δῆσεν φρένας. ἀλλὰ καὶ ἔμπης
πᾶσαν ἐφημοσύνην Θέτιδος μετέειπεν ἑταίροις.

οἱ δ' ἄρα μεσσηγὺς λῆξαν καὶ ἔπαυσαν ἀέθλους
ἐσσυμένως δόρπον τε χαμεύνας τ' ἀμφεπένοντο.
54 Τῆς ἔνι δαισάμενοι νύκτ' ἄεσαν ὡς τὸ πάροιθεν.
Ημος δ' ἄκρον ἔβαλλε φαεσφόρος οὐρανὸν ἠώς,
δὴ τότε λαιψηροῖο κατηλυσίῃ ζεφύροιο
βαῖνον ἐπὶ κληῖδας ἀπὸ χθονός. ἐκ δὲ βυθοῖο
εὐναίας εἷλκον περιγηθέες. ἄλλα τε πάντα
ἄρμενα μηρύοντο κατὰ χρέος. ὕψι δὲ λαῖφος
εἴρυσαν τανύσαντες ἐν ἱμάντεσσι κεραίης.
νῆα δ' ἐϋκραὴς ἄνεμος φέρεν. αἶψα δὲ νῆσον
καλὴν ἀνθεμόεσσαν ἐσέδρακον. ἔνθα λίγειαι
σειρῆνες σίνοντ' ἀχελωΐδες ἡδείῃσι
θέλγουσαι μολπῇσιν ὅτις παρὰ πεῖσμα βάλοιτο.
τὰς μὲν ἄρ εὐειδὴς ἀχελωΐῳ εὐνηθεῖσα
γείνατο τερψιχόρη μουσέων μία. καί ποτε δηοῦς
θυγατέρ' ἰφθίμην ἀδμῆτ' ἔτι πορσύνεσκον
ἄμμιγα μελπόμεναι. τότε δ' ἄλλο μὲν οἰωνοῖσιν
ἄλλο δὲ παρθενικῇς ἐναλίγκιαι ἔσκον ἰδέσθαι.
αἰεὶ δ' εὐόρμου δεδοκημέναι ἐκ περιωπῆς.
ἦ θαμὰ δὴ πολέων μελιηδέα νόστον ἕλοντο
τηκεδόνι φθινύθουσαι. ἀπηλεγέως δ' ἄρα καὶ τοῖς
ἵεσαν ἐκ στομάτων ὄπα λείριον. οἱ δ' ἀπὸ νηὸς
ἤδη πείσματ' ἔμελλον ἐπ' ἠιόνεσσι βαλέσθαι.
εἰ μὴ ἄρ οἰάγροιο πάϊς θρηΐκιος ὀρφεὺς
βιστονίην ἐνὶ χερσὶν ἑαῖς φόρμιγγα τανύσσας
55 Κραιπνὸν ἐϋτροχάλοιο μέλος κανάχησεν ἀοιδῆς
ὄφρ' ἄμυδις κλονέοντος ἐπιβρομέωνται ἀκουαὶ
κρεγμῷ. παρθενικὴν δ' ἐνοπὴν ἐβιήσατο φόρμιγξ.

νῆα

νῆα δ' ὁμοῦ ζέφυρός τε καὶ ἠχῆεν φέρε κῦμα
πρυμνόθεν ὀρνύμενον. ταὶ δ' ἄκειρον ἵεσαν αὐδήν.
ἀλλὰ καὶ ὥς τε λέοντος ἐῢς παῖς οἶος ἑταίρων
προφθάμενος ξεστοῖο κατὰ ζυγοῦ ἔνθορε πόντῳ
βούτης, σειρήνων λιγυρῇ ὀπὶ θυμὸν ἰανθείς.
νῆχε δὲ πορφυρέοιο δι' οἴδματος ὄφρ' ἐπιβαίη.
σχέτλιος. ἦ τέ οἱ αἶψα καταυτόθι νόστον ἀπηύρων.
ἀλλά μιν οἰκτείρασα θεὰ ἔρυκος μεδέουσα
κύπρις. ἔτ' ἐν δίναις ἀνερέψατο. καί ῥ' ἐσάωσε
πρόφρων ἀντομένη λιλυβηίδα ναιέμεν ἄκρην.
οἱ δ' ἄχεϊ σχόμενοι τὰς μὲν λίπον. ἄλλα δ' ὄπαζον
56 κύντερα μιξοδίῃσιν ἁλὸς ῥαιστήρια νηῶν.
τῇ μὲν γὰρ σκύλλης λισσὴ προυφαίνετο πέτρη
τῇ δ' ἄμοτον βοάασκεν ἀναβλύζουσα χάρυβδις·
ἄλλοθι δὲ πλαγκταὶ μεγάλῳ ὑπὸ κύματι πέτραι
ῥόχθεον ᾗχι πάροιθεν ἀπέπτυεν αἰθομένη φλὸξ
ἄκρων ἐκ σκοπέλων, πυρὶ θαλπέος ὑψόθι πέτρης.
καπνῷ δ' ἀχλυόεις αἰθὴρ πέλεν. οὐδέ κεν αὐγὰς
ἔδρακες ἠελίοιο τότ' αὖ λήξαντος ἀπ' ἔργων
ἡφαίστου θερμὴν ἔτι κήκιε πόντος ἀϋτμήν.
ἔνθα σφιν κοῦραι νηρηίδες ἄλλοθεν ἄλλαι
ἤντεον. ἡ δ' ὄπιθεν πτέρυγος θίγε πηδαλίοιο
δῖα θέτις πλαγκτῇσιν ἐνὶ σπιλάδεσσιν ἐρύσσαι.
Ως δ' ὁπόταν δελφῖνες ὑπ' ἐξ ἁλὸς εὐδιόωντες
σπερχομένην ἀγεληδὸν ἑλίσσονται περὶ νῆα.
ἄλλοτε μὲν προπάροιθεν ὁρώμενοι. ἄλλοτ' ὄπισθεν.
ἄλλοτε παρβολάδην. ναύτῃσι δὲ χάρμα τέτυκται,
Ως αἱ ὑπεκπροθέουσαι ἐπήτριμοι εἱλίσσοντο

ἀργαλέη περὶ νηί. Θέτις δ' ἴθυνε κέλευθον.
καί ῥ' ὅτε δὴ πλαγκτῇσιν ἐνιχρίμψεσθαι ἔμελλον,
57 αὐτίκ' ἀνασχόμεναι λευκοῖς ἐπὶ γούνασι πέζας
ὑψοῦ ἐπ' αὐτάων σπιλάδων καὶ κύματος ἀγῆς
ῥώοντ' ἔνθα καὶ ἔνθα διασταδὸν ἀλλήλῃσι.
τὴν δὲ παρηορίην κόπτεν ῥόος. ἀμφὶ δὲ κῦμα
λάβρον ἀειρόμενον πέτραις ἐπικαχλάζεσκεν.
αἳ δ' ὅτε μὲν κρημνοῖς ἐναλίγκιαι ἠέρι κῦρον.
ἄλλοτε δὲ βρύχιαι νεάτῳ ὑπὸ πυθμένι πόντου
ἠρήρειντ', ὅθι πολλὸν ὑπείρεχεν ἄγριον οἶδμα.
αἱ δ' ὥστ' ἠμαθόεντος ἐπισχεδὸν αἰγιαλοῖο
παρθενικαὶ δίχα κόλπον ἐπ' ἰξύας εἱλίξασαι
σφαίρῃ ἀθύρουσιν περιηγεῖ. τὴν μὲν ἔπειτα
ἄλλη ὑπ' ἐξ ἄλλης δέχεται καὶ ἐς ἠέρα πέμπει
ὕψι μεταχρονίην. ἡ δ' οὔ ποτε πίλναται οὔδει.
ὡς αἳ νῆα θέουσαν ἀμοιβαδὶς ἄλλοθεν ἄλλη
πέμπε διηερίην ἐπὶ κύμασιν αἰὲν ἄπωθε
πετράων. περὶ δέ σφιν ἐρευγόμενον ζέεν ὕδωρ.
τὰς δὲ καὶ αὐτὸς ἄναξ κορυφῆς ἐπὶ λισσάδος ἄκρης
ὀρθὸς ἐπὶ στελεῇ τυπίδος βαρὺν ὦμον ἐρείσας
ἥφαιστος θηεῖτο. καὶ αἰγλήεντος ὕπερθεν
οὐρανοῦ ἑστηυῖα Διὸς δάμαρ. ἀμφὶ δ' ἀθήνῃ
βάλλε χέρας· τοῖόν μιν ἔχεν δέος εἰσορόωσαν.
58 Ὅσση δ' εἰαρινοῦ μηκύνεται ἤματος αἶσα
τοσάτιον μογέεσκον ἐπὶ χρόνον ὀχλίζουσαι
νῆα διὲκ πέτρας πολυηχέας. οἱ δ' ἀνέμοιο
αὖτις ἐπαυρόμενοι προτέρω θέον. ὦκα δ' ἄμειβον
θρινακίης λειμῶνα βοῶν τροφὸν ἠελίοιο.

ἔνθ'

ἔνθ' αἱ μὲν κατὰ βένθος ἁλίγκιαι αἰθυίῃσι
δῦνον. ἐπεί ῥ' ἀλόχοιο διὸς πόρσυνον ἐφετμάς.
τοῖσδ' ἄμυδις βληχή τε δι' ἠέρος ἷκτο μήλων
μυκηθμός τε βοῶν αὐτοσχεδὸν οὔατ' ἔβαλλε.
καὶ τὰ μὲν ἑρσήεντα κατὰ δρία ποιμαίνεσκεν
ὁπλοτέρη φαέθουσα θυγατρῶν ἠελίοιο
ἀργύρεον χαῖον παλάμῃ ἔνι πηχύνουσα.
λαμπετίη δ' ἐπὶ βουσὶν ὀρειχάλκοιο φαεινοῦ
59 πάλλεν ὀπηδεύουσα καλάβροπα. τὰς δὲ καὶ αὐτοὶ
βοσκομένας ποταμοῖο παρ' ὕδασιν εἰσορόωντο
ἀμπεδίον καὶ ἕλος λειμώνιον. οὐδέ τις ἦεν
κυανέη μετὰ τῇσι δέμας. πᾶσαι δὲ γάλακτι
εἰδόμεναι χρυσέοισι κεράεσι κυδιάασκον.
καὶ μὲν τὰς παράμειβον ἐπ' ἤματι. νυκτὶ δ' ἰούσῃ
πεῖρον ἁλὸς μέγα λαῖτμα κεχαρμένοι, ὄφρα καὶ αὖτις
ἠὼς ἠριγενὴς φέγγος βάλε νισσομένοισιν. (τις
Ἔστι δέ τις πορθμοῖο παροιτέρη ἰονίοιο
60 Ἀμφιλαφὴς πίειρα κεραυνίῃ εἰν ἁλὶ νῆσος.
ᾗ ὕπο δὴ κεῖσθαι δρέπανον φάτις. ἵλατε μοῦσαι.
οὐκ ἐθέλων ἐνέπω προτέρων ἔπος. ᾧ ἀπὸ πατρὸς
μήδεα νηλειῶς ἔταμε κρόνος. οἱ δέ ἑ δηοῦς
κλείουσι χθονίης καλαμητόμον ἔμμεναι ἅρπην.
δηὼ γὰρ κείνῃ ἔνι δή ποτε νάσσατο γαίῃ.
61 τιτῆνας δ' ἔδαεν στάχυν ὄμπνιον ἀμήσασθαι
μάκειδα φιλαμένη. δρεπάνη τόθεν ἐκλήισται
οὔνομα φαιήκων ἱρὴ τροφός. ὧς δὲ καὶ αὐτοὶ
αἵματος οὐρανίοιο γένος φαίηκες ἔασι.
τοὺς ἀργὼ πολέεσσιν ἐνισχομένη καμάτοισιν

θρινακίης αὔρης ἵκετ' ἐξ ἁλός. οἱ δ' ἀγανοῖσιν
ἀλκίνοος λαοί τε θυηπολίῃσιν ἰόντας
δειδέχατ' ἀσπασίως. ἐπὶ δέ σφισι καγχαλάασκε
πᾶσα πόλις. φαίης κεν ἑοῖς ἐπὶ παισὶ γάνυσθαι.
καὶ δ' αὐτοὶ ἥρωες ἀνὰ πληθὺν κεχάροντο.
τῷ ἴκελοι. οἷόν τε μεσαιτάτῃ ἐμβεβαῶτες
αἱμονίῃ μέλλον δὲ βοῇ ἔνι θωρήξεσθαι
ὧδε μάλ' ἀγχίμολον στρατὸς ἄσπετος ἐξεφαάνθη
62. Κόλχων. οἳ πόντοιο κατὰ στόμα καὶ διὰ πέτρας
κυανέας μαστῆρες ἀριστήων ἐπέρησαν.
μήδειαν δ' ἔξαιτον ἑοῦ ἐς πατρὸς ἄγεσθαι
ἵεντ' ἀπροφάτως. ἠὲ στονόεσσαν ἀυτὴν
νωμήσειν χαλεπῇσιν ὁμόκλεον ἀτροπίῃσιν
αὖθί τε καὶ μετέπειτα σὺν αἰήταο κελεύθῳ.
ἀλλά σφεας κατέρυκεν ἐπειγομένους πολέμοιο
κρείων ἀλκίνοος. λελίητο γὰρ ἀμφοτέροισι
δηιοτῆτος ἄνευθεν ὑπέρβια νείκεα λῦσαι.
κούρη δ' οὐλομένῳ ὑπὸ δείματι πολλὰ μὲν αὐτοὺς
αἰσονίδεω ἑτάρους μειλίσσετο. πολλὰ δὲ χερσὶν
ἀρήτης γούνων ἀλόχου θίγεν ἀλκινόοιο.
γουνοῦμαι βασίλεια· σὺ δ' ἵλαθι. μηδέ με κόλχοις
63 Ἐκδώῃς ᾧ πατρὶ κομιζέμεν. εἴ νυ καὶ αὐτὴ
ἀνθρώπων γενεῆς μία φέρβεαι. οἷσιν ἐς ἄτην
ὠκύτατος κούφῃσι θέει νόος ἀμπλακίῃσιν.
ὡς ἐμοὶ ἐκ πυκιναὶ ἔπεσον φρένες. οὐ μὲν ἕκητι
μαργοσύνης. ἴστω δ' ἱερὸν φάος ἠελίοιο.
ἴστω νυκτιπόλου περσηίδος ὄργια κούρης.
μὴ μὲν ἐγὼν ἐθέλουσα σὺν ἀνδράσιν ἀλλοδαποῖσι

κεῖθεν

κεῖθι ἀφωρμήθην. στυγερὸν δέ με τάρβος ἔπεισεν
ἥδε φυγῆς μνήσασθαι ὅτ' ἤλιτον. οὐδέ τις ἄλλη
μῆτις ἔην. ἔτι μοι μίτρη μένει ὡς ἐνὶ πατρὸς
δώμασιν ἄχραντος καὶ ἀκήρατος. ἀλλ' ἐλέαιρε
πότνα. τεὸν δὲ πόσιν μειλίσσεο. σοὶ δ' ὀπάσειαν
ἀθάνατοι βίοτόν τε τελεσφόρον ἀγλαΐην τε.
καὶ παῖδας καὶ κῦδος ἀπορθήτοιο πόληος.
τοῖα μὲν ἀρήτην γουνάζετο δακρυχέουσα.
τοῖα δ' ἀριστήων ἐπαμοιβαδὶς ἄνδρα ἕκαστον.

64 Ὑμέων ὦ πέρι δὴ μέγα φέρτατοι ἀμφί τ' ἀέθλοις
οὕνεκεν ὑμετέροισιν ἀτύζομαι. ἧς ἰότητι
ταύρους τ' ἐζεύξασθε καὶ ἐκ θέρος οὐλοὸν ἀνδρῶν
κείρετε γηγενέων. ἧς εἵνεκεν αἱμονίῃ δὲ
χρύσεον αὐτίκα κῶας ἀνάξετε νοστήσαντες.
ἥδ' ἐγὼ ἣ πάτρην τε καὶ οὓς ὤλεσα τοκῆας.
ἣ δόμον. ἣ σύμπασαν ἐϋφροσύνην βιότοιο,
ὔμμι δὲ καὶ πάτρην καὶ δώματα ναιέμεν αὖθις
ἤνυσα. καὶ γλυκεροῖσιν ἔτ' εἰσόψεσθε τοκῆας
ὄμμασιν. αὐτὰρ ἐμοὶ ἀπὸ δὴ βαρὺς εἵλετο δαίμων
ἀγλαΐας, στυγερὴ δὲ σὺν ὀθνείοις ἀλάλημαι.
δείσατε συνθεσίας τε καὶ ὅρκια. δείσατ' ἐριννὺν
ἱκεσίην, νέμεσίν τε θεῶν ἐς χεῖρας ἰοῦσαν
αἰήτεω, λώβῃ πολυπήμονι δῃωθῆναι.
οὐ νηούς, οὐ πύργον ἐπίρροθον. οὐκ ἀλεωρὴν

65 Ἄλλην. οἰόθι δὲ προϋβάλλομαι ὑμέας αὐτοὺς
σχέτλιοι ἀτροπίης καὶ ἀνηλέες, οὐδ' ἐνὶ θυμῷ
αἰδεῖσθε ξείνης μ' ἐπὶ γούνασι χεῖρας ἀνάσσης
δερκόμενοι τείνουσαν ἀμήχανον. ἀλλὰ καὶ πᾶσι

κῶας ἑλεῖν μεμαῶτες, ἐμίξατε δούρατα κόλχοις
αὐτῷ τ' αἰήτῃ ὑπερήνορι. νῦν δ' ἐλάθεσθε
ἠνορέης ὅτε μοῦνοι ἀποτμηγέντες ἔασιν.
Ὣς φάτο λισσομένη. τῶν δ' ὅν τινα γουνάζοιτο
ὅς μιν θαρσύνεσκεν ἐρητύων ἀχέουσαν.
σεῖον δ' ἐγχείας εὐήκεας ἐν παλάμῃσι
φάσγανά τ' ἐκ κολεῶν. οὐδὲ σχήσεσθαι ἀρωγῆς
ἔννεπον. εἴ κε δίκης ἀλιτήμονος ἀντιάσειαν.
στρευγομένοις δ' ἀν' ὅμιλον, ἐπήλυθεν εὐνήτειρα
νὺξ ἔργων ἄνδρεσσι, κατευκήλησε δὲ πᾶσαν
γαῖαν ὁμῶς. τὴν δ' οὔτι μίνυνθά περ εὔνασεν ὕπνος.
ἀλλά οἱ ἐν στέρνοις ἀχέων εἱλίσσετο θυμὸς,
οἷον ὅτε κλωστῆρα γυνὴ ταλαεργὸς ἑλίσσει
ἐννυχίη. τῇ δ' ἀμφὶ κινύρεται ὀρφανὰ τέκνα
χηροσύνῃ πόσιος. σταλάει δ' ὑπὸ δάκρυ παρειάς
μυρομένης. οἵη μιν ἐπὶ στυγερὴ λάβεν αἶσα,
66 Ὣς τῆς ἰκμαίνοντο παρηΐδες. ἐν δέ οἱ ἦτορ
ὀξείῃς εἰλεῖτο πεπαρμένον ἀμφ' ὀδύνῃσι.
τὼ δ' ἔντοσθε δόμοιο κατὰ πτόλιν ὡς τὸ πάροιθε
κρείων ἀλκίνοος. πολυπότνιά τ' ἀλκινόοιο
ἀρήτη ἄλοχος, κούρης πέρι μητιάασκον,
οἷσιν ἐνὶ λεχέεσσι διὰ κνέφας, οἷα δ' ἀκοίτην
κουρίδιον θαλεροῖσι δάμαρ προσπτύσσετο μύθοις.
ναὶ φίλος, εἰ δ' ἄγε μοι πολυκηδέα ῥύεο κόλχων
παρθενικὴν μινύεσσι φέρων χάριν. ἐγγύθι δ' ἄργος
ἡμετέρης νήσοιο καὶ ἀνέρες αἱμονιῆες.
αἰήτης δ' οὔτ' ἂρ ναίει σχεδόν. οὐδέ τι ἴδμεν
αἰήτην. ἀλλ' οἷον ἀκούομεν. ἥδε δὲ κούρη

αἰνοπαθὴς κατά μοι νόον ἔκλασεν αὐτιόωσα·
μή μιν ἄναξ κόλχοισι πόροις ἐς πατρὸς ἄγεσθαι
ἀάσθη, ὅτε πρῶτα βοῶν θελκτήρια δῶκε
φάρμακά οἱ. σχεδόθεν δὲ κακῷ κακὸν οἷά τε πολλὰ
67 ῥέζομεν ἀμπλακίῃσιν, ἀκειομένη ὑπάλυξε
πατρὸς ὑπερφιάλοιο βαρὺν χόλον. αὐτὰρ ἰήσων
ὡς ἀΐω μεγάλοισιν ἐνίσχεται ἐξ ἕθεν ὅρκοις
κουριδίην θήσεσθ' ἐνὶ μεγάροισιν ἄκοιτιν.
τῶ φίλε μήτ' οὖν αὐτὸν ἑκὼν ἐπίορκον ὀμόσσαι
θείης αἰσονίδην. μήτ' ἄσχετα σεῖο ἕκητι
παῖδα πατὴρ θυμῷ κεκοτηότι δηλήσαιτο.
λίην γὰρ δύσζηλοι ἑοῖς ἐπὶ παισὶ τοκῆες·
οἷα μὲν ἀντιόπην εὐώπιδα μήσατο νυκτεύς.
68 Οἷα δὲ καὶ δανάη πόντῳ ἔνι πήματ' ἀνέτλη
πατρὸς ἀτασθαλίῃσι. νέον γε μὲν οὐδ' ἀποτηλοῦ
69 ὑβριστὴς ἔχετος γλήναις ἔνι χάλκεα κέντρα
πῆξε θυγατρὸς ἑῆς. στονόεντι δὲ κάρφεται οἴτῳ
ὀρφναίῃ ἐνὶ χαλκὸν ἀλετρεύουσα καλιῇ.
Ὣς ἔφατ' ἀντομένη. τοῦ δὲ φρένες ἰαίνοντο
ἧς ἀλόχου μύθοισιν. ἔπος δ' ἐπὶ τοῖον ἔειπεν.
ἀρήτη. καί κεν σὺν τεύχεσιν ἐξελάσαιμι
κόλχους ἡρώεσσι φέρων χάριν εἵνεκα κούρης.
ἀλλὰ διὸς δείδοικα δίκην ἰθεῖαν ἀτίσσαι.
οὐδὲ μὲν αἰήτην ἀθεριζέμεν ὡς ἀγορεύεις
λώιον. οὐ γάρ τις βασιλεύτερος αἰήταο.
καί κ' ἐθέλων ἕκαθέν περ ἐφ' ἑλλάδι νεῖκος ἄγοιτο.
τῶ μ' ἐπέοικε δίκην ἥ τις μετὰ πᾶσιν ἀρίστη
ἔσσεται ἀνθρώποισι δικαζέμεν. οὐδέ σε κεύσω

παρθενικὴν μὲν ἐοῦσαν ἑῷ ἄπο πατρὶ κομίσσαι
ἰθύνω. λέκτρον δὲ σὺν ἀνέρι πορσαίνουσαν
οὔ μιν ἑοῦ πόσιος νοσφίσσομαι. οὐδὲ γενέθλην,
εἴ τιν' ὑπὸ σπλάγχνοισι φέρει δηΐοισιν ὀπάσσω.
Ως ἄρ' ἔφη. τὸν δ' οὖν μὲν ἐπισχεδὸν εὔνασεν ὕπνος.
ἡ δ' ἔπος ἐν θυμῷ πυκινὸν βάλετ'. αὐτίκα δ' ὦρτο
ἐκ λεχέων ἀνὰ δῶμα. συνήϊξαν δὲ γυναῖκες
ἀμφίπολοι δέσποιναν ἑὴν μετὰ ποιπνύουσαι.
σῖγα δ' ἑὸν κήρυκα καλεσσαμένη προσέειπεν
ᾗσιν ἐπιφροσύνῃσιν ἐποτρύνουσα μιγῆναι
αἰσονίδην κούρῃ μηδ' ἀλκίνοον βασιλῆα
λίσσεσθαι. τὸ γὰρ αὐτὸς ἰὼν κόλχοισι δικάσσει.
παρθενικὴν μὲν ἐοῦσαν ἑοῦ ποτὶ δώματα πατρὸς
ἐκδώσειν. λέκτρον δὲ σὺν ἀνέρι πορσαίνουσαν
οὐκ ἔτι κουριδίης μιν ἀποτμήξειν φιλότητος.
Ως ἄρ' ἔφη. τὸν δ' αἶψα πόδες φέρον ἐκ μεγάροιο
ὥς κεν ἰήσονι μῦθον ἐναίσιμον ἀγγείλειεν
ἀρήτης. βουλάς τε θεουδέος ἀλκινόοιο.
τοὺς δ' εὗρε παρὰ νηὶ σὺν ἔντεσιν ἐγρήσσοντας
ὑλλικῷ ἐν λιμένι σχεδὸν ἄστεος. ἐκ δ' ἄρα πᾶσαν
πέφραδεν ἀγγελίην. γήθησε δὲ θυμὸς ἑκάστου
ἡρώων. μάλα γάρ σφιν ἑαδότα μῦθον ἔειπεν.
αὐτίκα δὲ κρητῆρα κερασσάμενοι μακάρεσσιν
ἣ θέμις εὐαγέως ἐπιβώμια μῆλ' ἐρύσαντες
αὐτονυχὶ κούρῃ θαλαμήϊον ἔντυνον εὐνὴν
ἄντρῳ ἐν ἠγαθέῳ. τόθι δή ποτε μάκρις ἔναιεν
κούρη ἀρισταίοιο μελίφρονος, ὅς ῥα μελισσέων
ἔργα πολυκμήτοιό τ' ἀνεύρατο πῖαρ ἐλαίης,

κείνη

κείνῃ δὴ τὰ πρῶτα διὸς νυσήϊον υἷα
εὐβοίης ἔντοσθεν ἀβαντίδος. ᾧ ἐνὶ κόλπῳ
δέξατο καὶ μέλιτι ξηρὸν περὶ χεῖλος ἔδευσεν.
εὖτέ μιν ἑρμείης φέρεν ἐκ πυρός. ἔδρακε δ᾽ ἥρη
καί ἑ χολωσαμένη πάσης ἐξήλασε νήσου.
ἡ δ᾽ ἄρα φαιήκων ἱρῷ ἐνὶ τηλόθεν ἄντρῳ
νάσσατο. καὶ πόρεν ὄλβον ἀθέσφατον ἐνναέτῃσιν.

71 Ενθα τότ᾽ ἐστόρεσαν λέκτρον μέγα. τοῖο δ᾽ ὕπερθε
χρύσεον αἰγλῆεν κῶας βάλον. ὄφρα πέλοιτο
τιμήεις τε γάμος καὶ ἀοίδιμος. ἄνθεα δέ σφι
νύμφαι ἀμεργόμεναι λευκοῖς ἐνὶ ποικίλα κόλποις
ἐσφόρεον. πάσας δὲ πυρὸς ὣς ἄμφεπεν αἴγλη.
τοῖον ἀπὸ χρυσέων θυσάνων ἀμαρύσσετο φέγγος.
δαῖε δ᾽ ἐν ὀφθαλμοῖς γλυκερὸν πόθον. ἴσχε δ᾽ ἑκάστην
αἰδὼς ἱεμένην περ ὅμως ἐπὶ χεῖρα βαλέσθαι.
αἱ μέν τ᾽ αἰγαίου ποταμοῦ καλέοντο θύγατρες.
αἱ δ᾽ ὄρεος κορυφὰς μελιτηΐου ἀμφενέμοντο.
αἱ δ᾽ ἔσαν ἐκ πεδίων ἀλσηΐδες. ὦρσε γὰρ αὐτὴ
ἥρη ζηνὸς ἄκοιτις ἰήσονα κυδαίνουσα.

72 Κεῖνο καὶ εἰσέτι νῦν ἱερὸν κλήζεται ἄντρον
μηδείης, ὅθι τούς γε σὺν ἀλλήλοισιν ἔμιξαν
τεινάμεναι ἑανοὺς εὐώδεας. οἱ δ᾽ ἐνὶ χερσὶ
δούρατα νωμήσαντες ἀρήϊα μὴ πρὶν ἐς ἀλκὴν
δυσμενέων ἀΐδηλος ἐπιβρίσειεν ὅμιλον.
κράατα δ᾽ εὐφύλλοις ἐστεμμένοι ἀκρεμόνεσιν
ἐμμελέως ὀρφῆος ὑπαὶ λίγα φορμίζοντος
νυμφιδίαις ὑμέναιον ἐπὶ προμολῇσιν ἄειδον.
οὐ μὲν ἐν ἀλκινόοιο γάμον μενέαινε τελέσαι

ἥρωος αἰσονίδης. μεγάροις δ' ἐνὶ πατρὸς ἑοῖο
νοστήσας ἐς ἰωλκὸν ἀπότροπος. ὣς δὲ καὶ αὐτὴ
μήδεια φονέεσκε. τότ' αὖ χρεὼ ἦγε μιγῆναι.
ἀλλὰ γὰρ οὔποτε φῦλα δυηπαθέων ἀνθρώπων
τερπωλῆς ἐπέβημεν ὅλῳ ποδί. σὺν δέ τις αἰεὶ
πικρὴ παρμέμβλωκεν ἐυφροσύνῃσιν ἀνίη.
τῷ καὶ τοὺς γλυκερῇ περ ἰαινομένους φιλότητι
δεῖμ' ἔχεν εἰ τελέοιτο διάκρισις ἀλκινόοιο
Ἠὼς δ' ἀμβροσίῃσιν ἀνερχομένη φαέεσσι
λῦε κελαινὴν νύκτα δι' ἠέρος. αἱ δ' ἐγέλασσαν
ἠϊόνες νήσοιο καὶ ἑρσήεσσαι ἄπωθεν
ἀτραπιτοὶ πεδίων. ἐν δὲ θρόος ἔσκεν ἀγυιαῖς.
73 κίνυντ' ἐνναέται μὲν ἀνὰ πτόλιν. οἱ δ' ἀπὸ τηλοῦ
κόλχοι μακριδίης ἐπὶ πείρασι χερνήσοιο.
αὐτίκα δ' ἀλκίνοος μετεβήσετο συνθεσίῃσιν
ὃν νόον ἐξερέων κούρης ὕπερ. ἐνθ' ὅγε χειρὶ
σκῆπτρον ἔχεν χρυσοῖο δικασπόλον. ᾧ ὕπο πολλοὶ
ἰθείας ἀνὰ ἄστυ διεκρίνοντο θέμιστας.
τῷ δὲ καὶ ἑξείης πολεμήια τεύχεα δύντες
φαιήκων οἱ ἄριστοι ὁμιλαδὸν ἐστιχόωντο.
ἥρωας δὲ γυναῖκες ἀολλέες ἔκτοθι πύργων
βαῖνον ἐποψόμεναι. σὺν δ' ἀνέρες ἀγροιῶται
ἤντεον εἰσαΐοντες. ἐπεὶ νημερτέα βάξιν
ἥρη ἐπιπροέηκεν. ἄγεν δ' ὁ μὲν ἔκκριτον ἄλλων
ἀρνειὸν μήλων. ὁ δ' ἀεργηλὴν ἔτι πόρτιν.
ἄλλοι δ' ἀμφιφορῆας ἐπισχεδὸν ἵστασαν οἴνου
74 κίρνασθαι. θυέων τ' ἀποτηλόθι κήκιε λιγνύς.
αἱ δὲ πολυκμήτους ἑανοὺς φέρον οἷα γυναῖκες

μείλιά τε χρυσοῖο καὶ ἀλλοίην ἐπὶ ῥῖσιν
ἀγλαΐην, οἵην τε νεόζυγες ἐντύνονται.
θάμβευν δ' εἰσορόωσαι ἀειπρεπέων ἡρώων
εἴδεα καὶ μορφάς. ἐν δὲ σφίσιν οἰάγροιο
υἱὸν ὑπαὶ φόρμιγγος εὐκρέκτου καὶ ἀοιδῆς
ταρφέα σιγαλόεντι πέδον κροτέοντα πεδίλῳ.
νύμφαι δ' ἄμμιγα πᾶσαι, ὅτε μνήσαιντο γάμοιο
ἱμερόενθ' ὑμέναιον ἀνήπυον. ἄλλοτε δ' αὖτε
οἰόθεν οἶαι ἄειδον ἑλισσόμεναι περὶ κύκλον,
ἥρη σεῖο ἕκητι. σὺ γὰρ καὶ ἐπὶ φρεσὶ θῆκας
ἀρήτης, πυκινὸν φάσθαι ἔπος ἀλκινόοιο.
αὐτὰρ ὅγ' ὡς τὰ πρῶτα δίκης ἀνὰ πείρατ' ἔειπεν
ἰθείης. ἤδη δὲ γάμου τέλος ἐκλήϊστο
ἔμπεδον. ὡς ἀλέγυνε διαμπερές. οὐδέ ἑ τάρβος
οὐλοὸν, οὐδὲ βαρεῖαι ἐπήλυθον αἰήταο
μήνιες. ἀρρήκτοισι δ' ἐνὶ ζεύξας ἔχεν ὅρκοις.
τῷ καὶ ὅτ' ἠλεμάτως κόλχοι μάθον ἀντιόωντες
καί σφεας ἠὲ θέμιστας ἑὰς εἴρυσθαι ἄνωγεν
ἢ λιμένων γαίης τ' ἀπὸ τηλόθι νῆας ἐέργειν.
δὴ τότε δὴ βασιλῆος ἑοῦ τρομέοντας ἐνιπάς,
Δέχθαι μειλίξαντο συνήμονας. αὖθι δὲ νήσῳ
δὴν μάλα φαιήκεσσι μετ' ἀνδράσι ναιετάασκον,
εἰσότε βακχιάδαι γενεὴν ἐφύρηθεν ἐόντες
ἀνέρες ἐννάσσαντο μετὰ χρόνον, οἱ δὲ περαίην
νῆσον ἔβαν. κεῖθεν δὲ κεραύνια μέλλον ἀβάντων
οὔρεα, νεσταίους τε καὶ ὤρικον εἰσαφικέσθαι.
ἀλλὰ τὰ μὲν στείχοντος ἅδην αἰῶνος ἐτύχθη.
μοιράων δ' ἔτι κεῖσε θύη ἐπέτεια δέχονται.

76 καὶ νυμφέων νομίοιο καθ' ἱρὸν ἀπόλλωνος
βωμοί. τοὺς μήδεια καθείσατο. πολλὰ δ' ἰοῦσιν
ἀλκίνοος μινύαις ξεινήϊα. πολλὰ δ' ὄπασσεν
ἀρήτη. μετὰ δ' αὖτε δυώδεκα δῶκεν ἕπεσθαι
μηδείῃ δμωὰς φαιηκίδας ἐκ μεγάροιο.
ἤματι δ' ἑβδομάτῳ δρεπάνην λίπον. ἤλυθε δ' οὖρος
ἀκραὴς ἠῶθεν ὑπ' ἐκ διός, οἱ δ' ἀνέμοιο
πνοιῇ ἐπειγόμενοι προτέρω θέον. ἀλλὰ γὰρ οὔπω
αἴσιμον ἦν ἐπιβῆναι ἀχαιΐδος ἡρώεσσιν,
ὄφρ' ἔτι καὶ λιβύης ἐπὶ πείρασιν ὀτλήσειαν.
ἤδη μὲν περὶ κόλπον ἐπώνυμον ἀμβρακιήων.
ἤδη κουρῆτιν ἔλιπον χθόνα πεπταμένοισι
λαίφεσι, καὶ στεινὰς αὐταῖς σὺν ἐχινάσι νήσους
ἑξείης. πέλοπος δὲ νέον κατεφαίνετο γαῖα.
καὶ τότ' ἀναρπάγδην ὀλοὴ βορέαο θύελλα,
μεσσηγὺς πέλαγός τε λιβυστικὸν ἐννέα πάσας
νύκτας ὁμῶς καὶ τόσσα φέρ' ἤματα. μέχρις ἵκοντο
προπρὸ μάλ' ἔνδοθι σύρτιν. ἵν' οὐκέτι νόστος ὀπίσσω
νηυσὶ πέλει, ὅτε τόν γε βιώατο κόλπον ἱκέσθαι.
77 πάντῃ γὰρ τέναγος, πάντῃ μνιόεντα βυθοῖο
τάρφεα. κωφὴ δέ σφιν ἐπιβλύει ὕδατος ἄχνη.
ἠερίη δ' ἄμαθος παρακέκλιται. οὐδέ τι κεῖσε
ἑρπετὸν οὐδὲ ποτητὸν ἀείρεται. ἔνθ' ἄρα τούς γε
πλημμυρίς. καὶ γάρ τ' ἀναχάζεται ἠπείροιο
ἦ θαμὰ δὴ τόδε χεῦμα καὶ ἂψ ἐπερεύγεται ἀκτὰς
λάβρον ἐποιχόμενον, μυχάτῃ ἐνέωσε τάχιστα
ἠϊόνι, τρόπιος δὲ μάλ' ὕδασι παῦρον ἔλειπτο.
οἱ δ' ἀπὸ νηὸς ὄρουσαν, ἄχος δ' ἕλεν εἰσορόωντας

ἠέρα

ἠέρα δὲ μεγάλης νῶτα χθονὸς, ἠέρι δ' ἶσον
78 τηλοῦ ὑπερτείνοντα διηνεκές. οὐδέ τιν' ἀρδμὸν
οὐ πάτον οὐκ ἀπάνευθε κατηυγάσαντο βοτήρων
αὔλιον, εὐκήλῳ δὲ κατείχετο πάντα γαλήνῃ.
ἄλλος δ' αὖτ' ἄλλον τετιημένος ἐξερέεινεν.
τίς χθὼν εὔχεται ἥδε. πόθι ξυνέωσαν ἄελλαι
ἡμέας. αἴθ' ἔτλημεν ἀφειδέες οὐλομένοιο
δείματος αὐτὰ κέλευθα διαμπερὲς ὁρμηθῆναι
πετράων. ἦ τ' ἂν καὶ ὑπὲρ Διὸς αἶσαν ἰοῦσι.
βέλτερον ἦν μέγα δή τι μενοινώοντας ὀλέσθαι.
νῦν δὲ τί κεν ῥέξαιμεν ἐρυκόμενοι ἀνέμοισιν
αὖθι μένειν τυτθόν περ ἐπὶ χρόνον οἷον ἐρήμη
πέζα διωλυγίης ἀναπέπταται ἠπείροιο.
Ὣς ἄρ' ἔφη. μετὰ δ' αὐτὸς ἀμηχανίῃ κακότητος
ἰθυντὴρ ἀγκαῖος ἀκηχεμένοις ἀγόρευσεν.
ὠλόμεθ' αἰνότατον δῆθεν μόρον. οὐδ' ὑπάλυξις
ἔστ' ἄτης. πάρα δ' ἄμμι τὰ κύντατα πημανθῆναι
τῇδ' ὑπ' ἐρημαίῃ πεπτηότας εἰ κεν ἀῆται
χερσόθεν ἀμπνεύσειαν. ἐπεὶ τεναγώδεα λεύσσω
τῆλε περισκοπέων ἅλα πάντοθεν, ἤλυθε δ' ὕδωρ
ξαινόμενον πολιοῖσιν ἐπιτροχάει ψαμάθοισι.
καί κεν ἐπισμυγερῶς διὰ δὴ πάλαι ἥδ' ἐκεάσθη
νηῦς ἱερὴ χέρσου πολλὸν πρόσω. ἀλλά μιν αὐτὴ
πλημμυρὶς ἐκ πόντοιο μεταχθονίην ἐκόμισσε.
νῦν δ' ἡ μὲν πέλαγόσδε μετέσσυται, οἰόθι δ' ἅλμη
ἄπλοος εἰλεῖται γαίης ὕπερ ὅσσον ἔχουσα.
τοὔνεκ' ἐγὼ πᾶσαν μὲν ἀπ' ἐλπίδα φημὶ κεκόφθαι
ναυτιλίης νόστου τε. δαημοσύνην δέ τις ἄλλος

φαίνοιεν. παρὰ γάρ οἱ ἐπ' οἴκεσι θαάσσειν
μαιομένῳ κομιδῆς. ἀλλ' οὐ μάλα νόστιμον ἦμαρ
Ζεὺς ἐθέλει καμάτοισιν ἐφ' ἡμετέροισι τελέσσαι.
Ὡς φάτο δακρυόεις. σὺν δ' ἔννεπον ἀσχαλόωντι
ὅσοι ἔσαν νηῶν δεδαημένοι. ἐν δ' ἄρα πᾶσι
79 παχνώθη κραδίη. χύτο δὲ χλόος ἀμφὶ παρειάς.
οἷον δ' ἀψύχοισιν ἐοικότες εἰδώλοισιν.
ἀνέρες εἱλίσσονται ἀνὰ πτόλιν ἢ πολέμοιο
ἢ λοιμοῖο τέλος ποτιδέγμενοι. ἠέ τιν' ὄμβρον
ἄσπετον. ὅς τε βοῶν κατὰ μυρία ἔκλυσεν ἔργα.
ἢ ὅταν αὐτόματα ξόανα ῥέῃ ἱδρώοντα
αἵματι. καὶ μυκαὶ σηκοῖς ἔνι φαντάζωνται.
ἠὲ καὶ ἠέλιος μέσῳ ἤματι νύκτ' ἐπάγῃσιν
οὐρανόθεν. τὰ δὲ λαμπρὰ δι' ἠέρος ἄστρα φαείνοι,
Ὡς τότ' ἀριστῆες δολιχοῦ πρόπαρ αἰγιαλοῖο
ἤλυθον ἑρπύζοντες. ἐπήλυθε δ' αὐτίκ' ἐρεμνὴ
ἕσπερος. οἱ δ' ἐλεεινὰ χεροῖν σφέας ἀμφιβαλόντες
δακρυόειν ἀγάπαζον. ἵν' ἄνδιχα δῆθεν ἕκαστος
θυμὸν ἀποφθίσειαν ἐνὶ ψαμάθοισι πεσόντες.
βὰν δ' ἴμεν ἄλλυδις ἄλλος ἑκαστέρω αὖλιν ἑλέσθαι
ἐν δὲ κάρη πέπλοισι καλυψάμενοι σφετέροισιν,
ἄκμηνοι καὶ ἄπαστοι ἐκείατο νύχθ' ὅλην πᾶσαν
καὶ φάος, οἰκτίστῳ θανάτῳ ἔπι. νόσφι δὲ κοῦραι
ἀθρόαι Αἰήταο περιστενάχοντο θυγατρί.
Ὡς δ' ὅτ' ἐρημαῖοι πεπτηότες ἔκ ποθι πέτρης
80 χηραμοῦ ἀπτῆνες λιγέως κλάζουσι νεοσσοί.
ἢ ὅτε καλὰ νάοντος ἐπ' ὀφρύσι Πακτωλοῖο
κύκνοι κινήσωσιν ἑὸν μέλος. ἀμφὶ δὲ λειμὼν

ἑρσή

ἑρσήεισ βρέμεται. ποταμοῖό τε καλὰ ῥέεθρα.
Ὡς αἱ ἐπὶ ξανθὰς θέμεναι κονίῃσιν ἐθείρας
παννύχιαι ἐλεεινὸν ἰήλεμον ὠδύροντο.
καί νύ κεν αὐτοῦ πάντες ἀπὸ ζωῆς ἐλίασθεν
νώνυμνοι, καὶ ἄφαυροι ἐπιχθονίοισι δαῆναι
ἡρώων οἱ ἄριστοι ἀνηνύστῳ ἐπ' ἀέθλῳ.
ἀλλά σφεας ἐλέηραν ἀμηχανίῃ μινύθοντας
ἡρῶσσαι λιβύησ τιμήοροι. αἵ ποτ' ἀθήνην,
81 Ἦμος ὅτ' ἐκ πατρὸς κεφαλῆς θόρε παμφαίνουσα,
ἀντόμεναι τρίτωνος ἐφ' ὕδασι χυτλώσαντο
ἔνδιον ἦμαρ ἔην, περὶ δ' ὀξύταται θέρον αὐγαὶ
ἠελίου λιβύην. αἱ δὲ σχεδὸν αἰσονίδαο
ἔσταν. ἕλον δ' ἀπὸ χερσὶ καρήατος ἠρέμα πέπλον.
αὐτὰρ ὅγ' εἰς ἑτέρωσε παλιμπετὲς ὄμματ' ἔνεικε,
δαίμονας αἰδεσθείς. αὐτὸν δέ μιν ἀμφαδὸν οἶον
μειλιχίοισ ἐπέεσσιν ἀτυζόμενον προσέειπον.
κάμμορε. τίπτ' ἔπι τόσσον ἀμηχανίῃ βεβόλησαι.
ἴδμεν ἐποιχομένους χρύσεον δέρας. ἴδμεν ἕκαστα
ὑμετέρων καμάτων ὅσ' ἐπὶ χθονός. ὅσσά τ' ἐφ' ὑγρὴν
πλαζόμενοι κατὰ πόντον ὑπέρβια ἔργα κάμεσθε.
82 Οἰοπόλοι δ' εἰμὲν χθόνιοι θεαὶ αὐδήεσσαι.
ἡρῶσσαι λιβύησ τιμήοροι ἠδὲ θύγατρεσ.
ἀλλ' ἄνα, μὴ δ' ἔτι τοῖον ὀϊζύων ἀκάχησο.
ἄνστησον δ' ἑτάρους. εὖτ' ἂν δέ τοι ἀμφιτρίτη
ἅρμα ποσειδάωνος ἐΰτροχον αὐτίκα λύσῃ,
δή ῥα τότε σφετέρῃ ἀπὸ μητέρι τίνετ' ἀμοιβὴν
ὧν ἔκαμεν δηρὸν κατὰ νηδύος ὔμμε φέρουσα.
καί κεν ἔτ' ἠγαθέην ἐς ἀχαιίδα νοστήσαιτε.

Ὣς ἄρ' ἔφαν. καὶ ἄφαυροι ἵν' ἔσταθεν ἔνθ' ἄρα ταίγε
φθογγῇ ὁμοῦ ἐγένοντο παρασχεδόν. αὐτὰρ ἰήσων
παπτήνας, ἀνά τ' ἔζετ' ἐπὶ χθονὸς, ὧδέ τ' ἔειπεν.
83 Ἵλατ' ἐρημονόμοι κυδραὶ θεαί. ἀμφὶ δὲ νόστῳ
οὔ τι μάλ' ἀντικρὺ νοέω φάτιν. ἦ μὲν ἑταίρους
εἰς ἓν ἀγειράμενος μυθήσομαι. εἴ νύ τι τέκμωρ
δήωμεν κομιδῆς. πολέων δέ τε μῆτις ἀρείων.
Ἦ, καὶ ἀναΐξας ἑτάρους ἐπὶ μακρὸν ἀΰτει
αὐσταλέος κονίῃσι λέων ὥς, ὅς ῥά τ' ἀν' ὕλην
σύννομον ἣν μεθέπων ὠρύεται. αἱ δὲ βαρείῃ
φθογγῇ ὑποβρομέουσιν ἀν' οὔρεα τηλόθι βῆσσαι.
δείματι δ' ἄγραυλοί τε βόες μέγα πεφρίκασι
βουπελάται τε βοῶν. τοῖς δ' οὔ νύ τι γῆρυς ἐτύχθη
ῥιγεδανὴ ἑτάροισι φίλοις ἐπικεκλομένοιο
ἀγχοῦ δ' ἠγερέθοντο κατηφέες. αὐτὰρ ὁ τούσγε
ἀχνυμένους ὅρμοιο πέλας μίγα θηλυτέρῃσιν
ἱδρύσας, μυθεῖτο πιφαυσκόμενος τὰ ἕκαστα.
Κλῦτε φίλοι. τρεῖς γάρ μοι ἀνιάζοντι θεάων,
84 Στέρφεσιν αἰγείοις ἐζωσμέναι, ἐξ ὑπάτοιο
αὐχένος ἀμφί τε νῶτα καὶ ἰξύας ἠΰτε κοῦραι,
ἔσταν ὑπὲρ κεφαλῆς μάλ' ἐπισχεδόν. ἂν δ' ἐκάλυψαν
πέπλον ἐρυσσάμεναι κούφῃ χερί. καί μ' ἐκέλοντο
αὐτόν τ' ἔγρεσθαι, ἀνά θ' ὑμέας ὄρσαι ἰόντα.
μητέρι δὲ σφετέρῃ μενοεικέα τίσαι ἀμοιβὴν
ὧν ἔκαμεν δηρὸν κατὰ νηδύος ἄμμε φέρουσα.
ὁππότε δὴ λύσῃσιν ἐΰτροχον ἀμφιτρίτη
ἅρμα ποσειδάωνος. ἐγὼ δ' οὐ πάγχυ νοῆσαι
τῆσδε θεοπροπίης πέρι. φάν γε μὲν εἶναι

ἡρῶσ

ἡρῷσσαι Λιβύης τιμήοροι ἠδὲ θύγατρες.
καί ῥ' ὁπόσ' αὐτοὶ πρόσθεν ἐπὶ χθονός. ἠδ' ὅσ' ἐφ' ὑ-
ἔτλημεν, τὰ ἕκαστα διίδμεναι εὐχετόωντο. (γρὴν
οὐδέ τι τάσδ' ἀνὰ χῶρον ἐσέδρακον. ἀλλά τις ἀ-
ἠὲ νέφος μεσσηγὺ φαεινομένας ἐκάλυψεν. (χλὺς
Ὣς ἔφαθ'. οἱ δ' ἄρα πάντες ἐθάμβεον εἰσαΐοντες.
ἔνθα τὸ μήκιστον τεράων μινύεσσιν ἐτύχθη.
ἐξ ἁλὸς ἤπειρόνδε πελώριος ἄνθορεν ἵππος,
ἀμφιλαφής. χρυσέῃσι μετήορος αὐχένα χαίταις
ῥίμφα δὲ σεισάμενος γυίων ἄπο νήχυτον ἅλμην,
ὦρτο θέειν πνοιῇ ἴκελος πόδας. αἶψα δὲ Πηλεὺς,
γηθήσας ἑτάροισιν ὁμηγερέεσσι μετηύδα.
Ἅρματα μὲν δή φημι Ποσειδάωνος ἔγωγε
ἤδη νῦν ἀλόχοιο φίλης ὑπὸ χερσὶ λελύσθαι.
μητέρα δ' οὐκ ἄλλην προτιόσσομαι ἠέ περ αὐτὴν
νῆα πέλειν. ἦ γὰρ κατὰ νηδύος ἄμμε φέρουσα
ἡμέας ἀργαλέοισιν ὀϊζύει καμάτοισιν.
ἀλλά μιν ἀστεμφεῖ τε βίῃ καὶ ἀτειρέσιν ὤμοις
ὑψόθεν ἀνθέμενοι ψαμαθώδεος ἔνδοθι γαίης
οἰσόμεν ᾗ προτέρωσε ταχὺς πόδας ἤλασεν ἵππος·
οὐ γὰρ ὅγε ξηρὴν ὑποδύσεται. ἴχνια δ' ἡμῖν
σημανέειν τιν' ἔολπα μυχὸν καθύπερθε θαλάσσης.
Ὣς ηὔδα, πάντεσσι δ' ἐπήβολος ἥνδανε μῆτις.
μουσάων ὅδε μῦθος, ἐγὼ δ' ὑπακουὸς ἀείδω
Πιερίδων. καὶ τήνδε πανατρεκὲς ἔκλυον ὀμφήν.
ὑμέας, ὦ πέρι δὴ μέγα φέρτατοι υἷες ἀνάκτων,
ᾗ βίῃ ᾗ ἀρετῇ Λιβύης ἀνὰ θῖνας ἐρήμους,
νῆα μεταχρονίην, ὅσα τ' ἔνδοθι νηὸς ἄγεσθε.

ἀχθομένους ὤμοισι φέρειν δυοκαίδεκα πάντα
ἤμαθ' ὁμοῦ νύκτας τε. δύην γε μὲν ἢ καὶ ὀϊζὺν
τίς κ' ἐνέποι τὴν κεῖνοι ἀνέπλησαν μογέοντες.
ἔμπεδον ἀθανάτων ἔσαν αἵματος. οἷον ὑπέσταν
ἔργον, ἀναγκαίῃ βεβιημένοι. αὐτὰρ ὅ γε πρὸ
τῆλε μάλ' ἀσπασίως Τριτωνίδος ὕδασι λίμνης
ὡς φέρον ὣς εἰσβάντες ἀπὸ στιβαρῶν θέσαν ὤμων.
λυσσαλέοις δ' ἤπειτ' ἴκελοι κυσὶν ἀΐσσοντες
πίδακα μαστεύεσκον, ἐπὶ ξηρὴ γὰρ ἔκειτο
δίψη δυηπαθίῃ τε καὶ ἄλγεσιν. οὐδ' ἐμάτησαν
86 πλαζόμενοι. ἷξον δ' ἱερὸν πέδον. ᾧ ἔνι Λάδων
εἰσέτι που χθιζὸν παγχρύσεα ῥύετο μῆλα
χώρῳ ἐν Ἄτλαντος χθόνιος ὄφις. ἀμφὶ δὲ νύμφαι
87 Ἑσπερίδες ποίπνυον ἐφίμερον ἀείδουσαι.
δὴ τότε γ' ἤδη κεῖνος ὑφ' Ἡρακλῆι δαϊχθεὶς,
μείλιον βέβλητο ποτὶ στύπος. οἰόθι δ' ἄκρῃ
οὐρῇ ἔτι σκαίρεσκεν. ἀπὸ κρατὸς δὲ κελαινὴν
ἄχρις ἐπ' ἄκνηστιν κεῖτ' ἄπνοος. ἐκ δὲ λιπόντων
ὕδρης Λερναίης χόλον αἵματι πικρὸν ὀϊστῶν
μυῖαι πυθομένοισιν ἐφ' ἕλκεσι τερσαίνοντο.
ἀγχοῦ δ' Ἑσπερίδες κεφαλαῖς ἔπι χεῖρας ἔχουσαι
ἀργυφέας ξανθῇσι λίγ' ἔστενον. οἱ δὲ πέλασσαν
ἄφνω ὁμοῦ. ταὶ δ' αἶψα κόνις καὶ γαῖα κιόντων
ἐσσυμένως ἐγένοντο κατ' αὐτόθι. νώσατο δ' Ὀρφεὺς
θεῖα τέρα. τὰς δέ σφι παρηγορέεσκε λιτῇσι.
δαίμονες ὦ καλαὶ καὶ ἐΰφρονες ἵλατ' ἄνασσαι,
88 εἴτ' οὖν οὐρανίαις ἐναρίθμιοι ἐστὲ θεῇσιν,
εἴτε καταχθονίαις, εἴτ' οἰοπόλοι καλέεσθε.

νύμφαι ἴτ' ὦ νύμφαι ἱρὸν γένος ὠκεανοῖο.
δείξαθ' ἐελδομένοισιν ἐνωπαδὶς ἄμμι φανεῖσαι,
ἤ τινα πετραίην χύσιν ὕδατος. ἤ τινα γαίης
ἱρὸν ἐκβλύοντα θεαὶ ῥόον. ὧ ἄπο δίψαν
αἰθομένην ἄμοτον λωφήσομεν. εἰ δέ κεν αὖθις
δή ποτ' ἀχαιίδα γαῖαν ἱκώμεθα ναυτιλίῃσι,
δὴ τότε μυρία δῶρα μετὰ πρώτῃσι θεάων,
λοιβάς τ' εἰλαπίνας τε παρέξομεν εὐμενέοντες.
89 Ὣς φὰρ λισσόμενος ἀδινῇ ὀπί. ταὶ δ' ἐλέαιρον
ἐγγύθεν ἀχνυμένους. καὶ δὴ χθονὸς ἐξανέτειλαν,
ποίην πάμπρωτον. ποίης γε μὲν ὑψόθι μακροὶ
βλάστεον ὄρπηκες. μετὰ δ' ἔρνεα τηλεθάοντα,
πολλὸν ὑπὲρ γαίης ὀρθοσταδὸν ἠέξοντο.
ἑσπέρη. αἴγειρος. πτελέη δ' ἐρυθηὶς ἔγεντο.
αἴγλη δ' ἰτείης ἱρὸν στύπος. ἐκ δέ νυ κείνων
δενδρέων οἷαι ἔσαν, ῥεῖα πάλιν ἔμπεδον αὔτως
ἐξέφανεν θάμβος περιώσιον. ἔκφατο δ' αἴγλη
μειλιχίοις ἐπέεσσιν ἀμειβομένη χατέοντας.
Η ἄρα δὴ μέγα πάμπαν ἐφ' ὑμετέροισιν ὄνειαρ
δεῦρ' ἔμολεν καμάτοισιν ὁ κύντατος. ὅς τις ἀπούρας
φρουρὸν ὄφιν ζωῆς παγχρύσεια μῆλα θεάων,
οἴχετ' ἀειράμενος. στυγερὸν δ' ἄχος ἄμμι λέλειπται.
ἤλυθε γὰρ χθιζός τις ἀνὴρ ὀλοώτατος ὕβριν
καὶ δέμας. ὄσσε δέ οἱ βλοσυρῷ ὑπέλαμπε μετώπῳ
νηλής. ἀμφὶ δὲ δέρμα πελωρίου ἕστο λέοντος.
ὠμὸν ἀδέψητον. στιβαρὸν δ' ἔχεν ὄζον ἐλαίης.
τόξα τε τοῖσι πέλωρ τόδ' ἀπέφθισεν ἰοβολήσας.
ἤλυθε δ' οὖν κἀκεῖνος ἅτε χθόνα πεζὸς ὁδεύων

90 δίψῃ καρχαλέος. πλῖψεν δ' ὅ γε τόνδ' ἀνὰ χῶρον
ὕδωρ ὀξερέων· τὸ μὲν οὔ ποθι μέλλεν ἰδέσθαι.
ἦν δέ τις πέτρη Τριτωνίδος ἐγγύθι λίμνης
τὴν ὅ γ' ὑποφρασθεὶς ἢ καὶ θεοῦ ἐννεσίῃσι,
λὰξ ποδὶ τύψεν ἔνερθε. τὸ δ' ἀθρόον ἔβλυσεν ὕδωρ.
αὐτὰρ ὅ γ' ἄμφω χεῖρε πέδῳ καὶ στέρνον ἐρείσας,
ῥωγάδος ἐκ πέτρης πίεν ἄσπετον. ὄφρα βαθεῖαν
νηδὺν φορβάδι ἶσος ἐπὶ πρηνὴς ἐκορέσθη.
Ὣς φάτο. τοὶ δ' ἀσπαστὸν ἵνα σφίσι πέφραδεν αἴγλη
πίδακα, τῇ θέον αἶψα κεχαρμένοι. ὄφρ' ἐπέκυρσαν.
Ὡς δ' ὁπότε στεινὴν περὶ χηραμὸν εἱλίσσονται
γειομόροι μύρμηκες ὁμιλαδὸν ἢ ὅτε μυῖαι
ἀμφ' ὀλίγην μέλιτος γλυκεροῦ λίβα πεπτηυῖαι
ἄπληκτον μεμάασιν ἐπήτριμοι· ὣς τότ' ἀολλεῖς
πετραίῃ μινύαι περὶ πίδακι δινεύεσκον.
καί πού τις διεροῖς ἐπὶ χείλεσιν εἶπεν ἰανθείς.
Ὢ πόποι. ἦ καὶ νόσφιν ἐὼν ἐσάωσεν ἑταίρους
ἡρακλέης δίψῃ κεκμηκότας. ἀλλά μιν εἴ πως
δήοιμεν στείχοντα δι' ἠπείροιο κιόντες.
Ἦ, καὶ ἀμειβομένων, οἵ θ' ἄρμενοι ἐς τόδε ἔργον
ἔκριθεν, ἄλλυδις ἄλλος ἐπαΐξας ἐρέεινεν.
91 Ἴχνια γὰρ νυχίοις ἐπικυλινδεῖτ' ἀνέμοισι
κινυμένης ἀμάθου. βορέαο μὲν ὡρμήθησαν
υἷε δύω πτερύγεσσι πεποιθότε ποσσί τε κούφοις,
εὔφημος πίσυνος, λυγκεὺς γε μὲν ὀξέα τηλοῦ
ὄσσε βαλεῖν. πέμπτος δὲ μετὰ σφίσιν ἔσσυτο κάνθος.
τὸν μὲν ἄρ αἶσα θεῶν κείνην ὁδὸν ἠνορέη τε
ὦρσεν ἵν' ἡρακλῆος ἀπηλεγέως πύθοιτο.

92 Εἰλατίδην πολύφημον ὅπῃ λίπε. μέμβλετο γάρ οἱ
οὗ ἔθεν ἀμφ' ἑτάροιο μεταλλῆσαι τὰ ἕκαστα.
ἀλλ' ὁ μὲν οὖν μυσοῖσιν εὐκλεὲς ἄστυ πολίσσας
νόστου κηδοσύνῃσιν ἔβη διζήμενος ἀργὼ
τῆλε δι' ἠπείροιο. τέως δ' ἐξίκετο γαῖαν
ἀγχιάλων χαλύβων. τόθι μὶν καὶ μοῖρ' ἐδάμασσε.
καί οἱ ὑπὸ βλωθρὴν ἀχερωΐδα σῆμα τέτυκται,
τυτθὸν ἁλὸς προπάροιθεν. ἀτὰρ τότε γ' ἡρακλῆα
μοῦνον ἀπειρεσίης τηλοῦ χθονὸς εἴσατο λυγκεὺς
τὼς ἰδέειν, ὥς τίς τε νέῳ ἐνὶ ἤματι μήνην
ἢ ἴδεν ἢ ἐδόκησεν ἐπαχλύουσαν ἰδέσθαι.
ἐς δ' ἑτάρους ἀνιὼν μυθήσατο, μή μιν ἔτ' ἄλλον
μαστῆρα στείχοντα κιχησέμεν. οἱ δὲ καὶ αὐτοὶ
ἤλυθον. εὔφημός τε πόδας ταχύς. υἱέ τε δοιὼ
θρηϊκίου βορέω μεταμώνια μοχθίζοντες.
κάνθε, σὲ δ' οὐλόμεναι λιβύῃ ἔνι κῆρες ἕλοντο,
πώεσι φερβομένοισι συνήντεες. εἵπετο δ' ἀνὴρ
αὐλείτης. ὃς ἑῶν μήλων πέρι τόφρ' ἑτάροισι
93 δευομένοις κομίσειας, ἀλεξόμενος κατέπεφνε
λᾶϊ βαλών. ἐπεὶ οὔ μιν ἀφαυρότερός γ' ἐτέτυκτο
94 υἱωνὸς φοίβοιο λυκωρείοιο κάφαυρος
κούρης τ' αἰδοίης ἀκακαλλίδος. ἥν ποτε μίνως
ἐς λιβύην ἀπένασσε θεοῦ βαρὺ κῦμα φέρουσαν
θυγατέρα σφετέρην. ἡ δ' ἀγλαὸν υἱέα φοίβῳ
τίκτεν. ὃν ἀμφίθεμιν γαράμαντά τε κικλήσκουσιν.
ἀμφίθεμις δ' ἄρ' ἔπειτα μίγη τριτωνίδι νύμφῃ.
ἡ δ' ἄρα οἱ νασάμωνα τέκε κρατερόν τε κάφαυρον,
ὃς τότε κάνθον ἔπεφνεν ἐπὶ ῥήνεσσιν ἑοῖσιν.

οὐδ᾽ ὅγ᾽ ἀρειστήων χαλεπὰς ἠλεύατο χεῖρας,
ὡς μάθον οἷον ἔρεξε, νέκυν δ᾽ ἀνάειραν ὀπίσω,
πυθόμενοι μινύαι. γαίῃ δ᾽ ἔνι ταρχύσαντο.
μυρόμενοι δὲ τὰ μῆλα μετὰ σφέας οἵ γ᾽ ἐκόμισσαν.
ἔνθα καὶ ἀμπυκίδην αὐτῷ ἐνὶ ἤματι μόψον
νηλειὴς ἕλε πότμος. ἀδευκέα δ᾽ οὐ φύγεν αἶσαν
μαντοσύναις. οὐ γάρ τις ἀποτροπίη θανάτοιο.
κεῖτο δ᾽ ἐνὶ ψαμάθοισι μεσημβρινὸν ἦμαρ ἀλύσκων
δεινὸς ὄφις. νωθὴς μὲν ἑκὼν ἀέκοντα χαλέψαι.
οὐδ᾽ ἂν ὑποτρέσσαντος ἐνωπαδὶς ἀΐξειεν.
ἀλλά κεν ᾧ τὰ πρῶτα μελάγχιμον ἰὸν ἐνείη
ζωόντων ὅσα γαῖα φερέσβιος ἔμπνοα βόσκει.
οὐδ᾽ ὁπόσον πηχυῖον ἐς ἄϊδα γίγνεται οἶμος.
οὐδ᾽ εἰ παιήων εἴ μοι θέμις ἀμφαδὸν εἰπεῖν
φαρμάσσοι, ὅτε μοῦνον ἐνιχρίμψησιν ὀδοῦσιν.
εὖτε γὰρ ἰσόθεος λιβύην ὑπερέπτατο περσεὺς
εὐρυμέδων. καὶ γὰρ τό, κάλεσκέ μιν οὔνομα μήτηρ
γοργόνος ἀρτίτμητον κεφαλὴν βασιλῆϊ κομίζων,
ὅσσαι κυανέου στάγες αἵματος οὖδας ἵκοντο,
αἱ πᾶσαι κείνων ὀφίων γένος ἐβλάστησαν.
τῷ δ᾽ ἄκρην ἐπ᾽ ἄκανθαν ἐνεστηρίξατο μόψος
λαιὸν ἴχνος προφέρων ταρσὸν ποδός. αὐτὰρ ὁ μέσσην
κερκίδα καὶ μυῶνα πέριξ ὀδύνῃσιν ἑλιχθεὶς
σάρκα δακὼν ἐχάραξεν. ἀτὰρ μήδεια καὶ ἄλλαι
ἔτρεσαν ἀμφίπολοι. ὁ δὲ φοίνιον ἕλκος ἄφασσε
θαρσαλέως, ἕνεκ᾽, οὔ μιν ὑπέρβιον ἕλκος ἔτειρε
σχέτλιος. ἦ τέ οἱ ἤδη ὑπὸ χροῒ λύετο κῶμα
λυσιμελὲς, πολλὴ δὲ κατ᾽ ὀφθαλμῶν χέετ᾽ ἀχλύς.

αὐτί

αὐτίκα δὲ κλίνας δαπέδῳ βεβαρηότα γυῖα
ψύχετ' ἀμηχανίῃ ἕταροι δέ μιν ἀμφαγέροντο
ἥρως τ' αἰσονίδης, ἀδινῇ περιθαμβέες ἄτῃ.
οὐδὲ μὲν οὐδ' ἐπὶ τυτθὸν ἀποφθίμενός περ ἔμελλε
κεῖσθαι ὑπ' ἠελίῳ. πύθεσκε γὰρ ἔνδοθι σάρκας
ἰὸς ἄφαρ. μυδόωσα δ' ἀπὸ χροὸς ἔρρεε λάχνη.
αἶψα δὲ χαλκείῃσι βαθὺν τάφον ἐξελάχαινον
ἐσσυμένως μακέλῃσιν, ἐμοιρήσαντο δὲ χαίτας
αὐτοὶ ὁμῶς κοῦραι τε νέκυν ἐλεεινὰ παθόντα
μυρόμενοι. τρὶς δ' ἀμφὶ σὺν ἔντεσι δινηθέντες
εὖ κτερέων ἴσχοντα, χυτὴν ἐπὶ γαῖαν ἔθεντο.
96 Ἀλλ' ὅτε δή ῥ' ἐπὶ νηὸς ἔβαν πνείοντος ἀήτεω
ἀμπέλαγος νοτίοιο, πόρον τ' ἀπετεκμαίροντο
λίμνης ἐκπρομολεῖν τριτωνίδος, οὔτινα μῆτιν
δὴν ἔχον, ἀφραδέως δὲ πανημέριοι φορέοντο.
ὡς δὲ δράκων σκολιὴν εἰλιγμένος ἔρχεται οἶμον
εὖτέ μιν ὀξύτατον θάλπει σέλας ἠελίοιο.
ῥοίζῳ δ' ἔνθα καὶ ἔνθα κάρη στρέφει. ἐν δέ οἱ ὄσσε
σπινθαρύγεσσι πυρὸς ἐναλίγκια μαιμώοντι
λάμπεται, ὄφρα μυχόνδε διὰ ῥωχμοῖο δύηται,
Ὣς ἀργὼ λίμνης στόμα ναύπορον ἐξερέουσα.
ἀμφεπόλει δηναιὸν ἐπὶ χρόνον. αὐτίκα δ' ὀρφεὺς
κέκλετ' ἀπόλλωνος τρίποδα μέγαν ἔκτοθι νηὸς
δαίμοσιν ἐγγενέταις νόστῳ ἐπιμείλια θέσθαι.
καὶ τοὶ μὲν φοίβου κτέρας ἵδρυον ἐν χθονὶ βάντες.
τοῖσιν δ' αἰζηῷ ἐναλίγκιος ἀντεβόλησε
τρίτων εὐρυβίης. γαῖαν δ' ἀνὰ βῶλον ἀείρας
ξείνι' ἀρέσκεσθαι προΐσχετο φώνησέν τε.

δέχθε φίλοι ἐπεὶ οὐ πολυώσιον ἐγγυαλίξαι
ἐνθάδε νῦν παρ' ἐμοὶ ξεινήιον ἀντομένοισιν.
εἰ δέ τι τῆσδε πόροιο μαίεσθ' ἁλὸς, οἷά τε πολλὰ
ἄνθρωποι χατέουσιν ἐπ' ἀλλοδαπῇ περόωντες
97 Ἐξερέω· δὴ γάρ με πατὴρ ἐπιίστορα πόντου
θῆκε ποσειδάων τοῦδ' ἔμμεναι. αὐτὰρ ἀνάσσω
παρραλίης. εἰ δή τιν' ἀκούετε νόσφιν ἐόντες,
Εὐρύπυλον λιβύῃ θηροτρόφῳ ἐγγεγαῶτα.
Ὣς ηὔδα. πρόφρων δ' ὑπορέχθεε βώλακι χεῖρας
εὔφημος. καὶ τοῖα παραβλήδην προσέειπεν.
Ἀτθίδα, καὶ πέλαγος μινώιον, εἴ νύ που ἥρως
ἐξεδάης, νημερτὲς ἀνειρομένοισιν ἐνίσπε.
δεῦρο γὰρ οὐκ ἐθέλοντες ἱκάνομεν. ἀλλὰ βαρείαις
χρίμψαντες γαίης ἐνὶ πείρασι τοῖσδε θυέλλαις
νῆα μεταχρονίην ἐκομίσσαμεν εἰς τόδε λίμνης
98 Χεῦμα δι' ἠπείρου βεβαρημένοι. οὐδέ τι ἴδμεν
πῇ πλόος ἐξανέχει πελοπηίδα γαῖαν ἱκέσθαι.
Ὡς ἄρ' ἔφη. ὁ δὲ χεῖρα τανύσσατο. δεῖξε δ' ἄπωθεν
φωνήσας πόντον τε καὶ ἀγχιβαθὲς στόμα λίμνης.
κείνη μὲν πόντοιο διήλυσις. ἔνθα μάλιστα
βένθος ἀκίνητον μελανεῖ. ἑκάτερθε δὲ λευκαὶ
ῥηγμῖνες φρίσσουσι διαυγέες. ἡ δὲ μεσηγὺ
ῥηγμίνων στεινὴ τελέθει ὁδὸς ἐκτὸς ἐλάσσαι.
κεῖνο δ' ὑπηέριον θείην πελοπηίδα γαῖαν
εἰσανέχει πέλαγος κρήτης ὕπερ. ἀλλ' ἐπὶ χειρὸς
δεξιτερῆς λίμνηθεν, ὅτ' εἰς ἁλὸς οἶδμα βάλητε
τόφρ' αὐτὴν παρὰ χέρσον ἐεργμένοι ἰθύνεσθε
ἔς τ' ἂν ἄνω τείνῃσι. περιρρήδην δ' ἑτέρωσε

κλινομένης χέρσοιο. τότε πλόος ὔμμιν ἀπήμων
ἀγκῶνος τετάνυσται ἰθὺς προὔχοντος ἰοῦσιν.
ἀλλ' ἴτε πιθόμενοι. καμάτοιο δὲ μή τις ἀνίη
γινέσθω νεότητι κεκασμένα γυῖα μογῆσαι.
ἴσκεν ἐυφρονέων. οἱ δ' αἶψ' ἐπὶ νηὸς ἔβησαν
λίμνης ἐκπρομολεῖν λελιημένοι εἰρεσίῃσιν.
καὶ δὴ ἐπιπρονέοντο μεμαότες. αὐτὰρ ὁ τείως
Τρίτων ἀνθέμενος τρίποδα μέγαν εἴσατο λίμνην
εἰσβαίνειν. μετὰ δ' οὔ τις ἐσέδρακεν οἷον ἄφαυρος
αὐτοῦ σὺν τρίποδι σχεδὸν ἔπλετο. τοῖσι δ' ἰάνθη
θυμός. ὃ δὴ μακάρων τις ἐναίσιμος ἀντεβόλησεν.
καί ῥά οἱ Αἰσονίδην μήλων ὅ τι φέρτατον ἄλλων
ἤνωγον ῥέξαι καὶ ἐπευφημῆσαι ἑλόντα.
αἶψα δ' ὅγ' ἐσσυμένως ἐκρίνατο. καί μιν ἀείρας
σφάξε κατὰ πρύμνης. ἐπὶ δ' ἔννεπεν εὐχωλῇσι.
δαῖμον, ὅτις λίμνης ἐπὶ πείρασι τῇδε φαάνθης.
εἴτε σύ γε Τρίτων ἅλιον τέρας. εἴτε σε Φόρκυν.
ἢ Νηρῆα θύγατρες ἐπικλείουσ' ἁλοσύδναι,
ἵλαθι καὶ νόστοιο τέλος θυμηδὲς ὄπαζε.
Ἦ ῥ' ἅμα δ' εὐχωλῇσιν ἐς ὕδατα λαιμοτομήσας
ἧκε κατὰ πρύμνης. ὁ δὲ βένθεος ἐξεφαάνθη,
τοῖος ἐών, οἷος περ ἐτήτυμος ἦεν ἰδέσθαι.
ὡς δ' ὅτ' ἀνὴρ θοὸν ἵππον ἐς εὐρέα κύκλον ἀγῶνος
στέλλει ὀρεξάμενος λασίης εὐπειθέα χαίτης
εἶθαρ ἐπιτροχάων. ὁ δ' αὐχένι γαῦρος ἀερθεὶς
ἕσπεται. ἀργινόεντα δ' ἐνὶ στομάτεσσι χαλινὰ
99 Ἀμφὶς ὀδακτάζοντε παραβλήδην κροτέονται,
Ὡς ὅγ' ἐπισχόμενος γλαφυρῆς ὁλκήιον Ἀργοῦς

ἦγ' ἄλλασδε προτέρωσε. δέμας δέ οἱ ἐξ ὑπάροιθε
κράατος ἀμφί τε νῶτα ἰδ' ἰξύας, ἔς τ' ἐπὶ νηδὺν
ἄντικρυ μακάρεσσι φυὴν ἔκπαγλον ἔικτο.
αὐτὰρ ὑπαὶ λαγόνων δικραία οἱ ἔνθα καὶ ἔνθα
κήτεος ὁλκαίη μηκύνετο. κόπτε δ' ἀκάνθαις
ἄκρον ὕδωρ, αἵ τε σκολιοῖς ἐπὶ νειόθι κέντροις
μήνης ὡς κεράεσσιν ἐειδόμεναι διχόωντο.
τόφρα δ' ἄγεν, τείως μιν ἐπιπροέηκε θαλάσσῃ
νισσομένην. δῦ δ' αἶψα μέγαν βυθὸν· οἱ δ' ὁμάδησαν
ἥρωες τέρας αἰνὸν ἐπ' ὀφθαλμοῖσιν ἰδόντες.
100 Ἔνθα μὲν Ἀργῷός τε λιμὴν καὶ σήματα νηός,
ἠδὲ Ποσειδάωνος ἠδὲ Τρίτωνος ἔασι
βωμοί. ἐπεὶ κεῖν' ἦμαρ ἐπέσχεθον. αὐτὰρ ἐς ἠῶ
λαίφεσι πεπταμένοις, αὐτὴν ἐπὶ δεξί' ἔχοντες
γαῖαν ἐρημαίην, πνοιῇ ζεφύροιο θέεσκον.
ἦρι δ' ἔπειτ' ἀγκῶνά θ' ὁμοῦ μυχάτην τε θάλασσαν
κεκλιμένην ἀγκῶνος ὑπὲρ προύχοντος ἴδοντο,
αὐτίκα δὲ ζέφυρος μὲν ἐλώφεεν. ἤλυθε δ' αὔρη
ἀργέσταο νότου. κεχάροντο δὲ θυμὸν ἰωῇ.
Ἦμος δ' ἠέλιος μὲν ἔδυ, ἀνὰ δ' ἤλυθεν ἀστὴρ
αὔλιος. ὅς τ' ἀνέπαυσεν ὀϊζυροὺς ἀροτῆρας.
δὴ τότ' ἔπειτ' ἀνέμοιο κελαινῇ νυκτὶ λιπόντος,
ἱστία λυσάμενοι περιμήκεά τε κλίναντες
101 Ἱστὸν ἐυξέστῃσιν ἐπερρώοντ' ἐλάτῃσι
παννύχιοι καὶ ἐπ' ἦμαρ, ἐπ' ἤματι δ' αὖτις ἰοῦσι
νύχθ' ἑτέρην. ὑπέδεκτο δ' ἀπόπροθι παιπαλόεσσα
Κάρπαθος. ἔνθεν δ' οἵγε περαιώσεσθαι ἔμελλον
Κρήτην, ἥ τ' ἄλλων ὑπερέπλετο εἰν ἁλὶ νήσων.

τοὺς δὲ

τοὺς δὲ τάλως χάλκειος ἀπὸ στιβαροῦ σκοπέλοιο
ῥηγνύμενος πέτρας εἶργε χθονὶ πείσματ᾽ ἀνάψαι
Δικταίην ὅρμοιο κατερχομένους ἐπιωγήν,
τὸν μὲν χαλκείης μελιηγενέων ἀνθρώπων
ῥίζης λοιπὸν ἐόντα μετ᾽ ἀνδράσιν ἡμιθέοισιν
Εὐρώπῃ κρονίδης νήσου πόρεν ἔμμεναι οὖρον.
τρὶς περὶ χαλκείοις κρήτην ποσὶ δινεύοντα.
ἀλλ᾽ ἤτοι τὸ μὲν ἄλλο δέμας καὶ γυῖα τέτυκτο
χάλκεος ἠδ᾽ ἄρρηκτος. ὑπαὶ δέ οἱ ἔσκε τένοντος
σύριγξ αἱματόεσσα κατὰ σφυρόν. αὐτὰρ ὁ τήνγε
λεπτὸς ὑμὴν ζωῆς ἔχε πείρατα καὶ θανάτοιο.
οἱ δὲ δύῃ μάλα περ δεδμημένοι, αἶψ᾽ ἀπὸ χέρσου
νῆα περιδδείσαντες, ἀνακρούεσκον ἐρετμοῖς.
καί νύ κ᾽ ἐπισμυγερῶς, κρήτης ἑκὰς ἠέρθησαν,
ἀμφότερον δίψῃ τε, καὶ ἄλγεσι μοχθίζοντες,
εἰ μή σφιν μήδεια λιαζομένοις ἀγόρευσε.
Κέκλυτέ μευ. μούνη γὰρ ὀίομαι ὔμμι δαμάσσειν
ἄνδρα τόν, ὅς τις ὅδ᾽ ἐστί. καὶ εἰ παγχάλκεον ἴσχει
ὃν δέμας. ὁππότε μή οἱ ἐπ᾽ ἀκάματος πέλει αἰών.
ἀλλ᾽ ἔχετ᾽ αὐτοῦ νῆα θελήμονες ἐκτὸς ἐρωῆς
πετράων. εἵως κεν ἐμοὶ εἴξειε δαμῆναι.
102 Ὣς ἄρ᾽ ἔφη. καὶ τοὶ μὲν ὑπὲκ βελέων ἐρύσαντο
νῆ᾽ ἐπ᾽ ἐρετμοῖσιν δεδοκημένοι ἥν τινα ῥέξει
μῆτιν ἀνωίστως. ἡ δὲ πτύχα πορφυρέοιο
προσχομένη πέπλοιο παρειάων ἑκάτερθε,
βήσατ᾽ ἐπ᾽ ἰκριόφιν. χειρὸς δέ ἑ χειρὶ μεμαρπὼς
αἰσονίδης ἐκόμιζε διὰ κληῖδος ἰοῦσαν.
ἔνθα δ᾽ ἀοιδῇσιν μειλίσσετο. μέλπε δὲ κῆρας

θυμοβόρους ἀίδαο θοὰς κύνας. αἳ περὶ πᾶσαν
ἠέρα δινεύουσαι ἐπὶ ζωοῖσιν ἄγονται.
τὰς γουναζομένη, τρὶς μὲν παρεκέκλετ' ἀοιδαῖς.
τρὶς δὲ λιταῖς. θεμένη δὲ κακὸν νόον ἐχθοδοποῖσιν
ὄμμασι χαλκείοιο τάλω ἐμέγηρεν ὀπωπάς.
λευγαλέον δ' ἐπί οἱ πρίεν χόλον. ἐκ δ' ἀίδηλα
δείκηλα προΐαλλεν, ἐπιζάφελον κοτέουσα.
ζεῦ πάτερ. ἦ μέγα δή μοι ἐνὶ φρεσὶ θάμβος ἄηται.
εἰ δὴ μὴ νούσοισι τυπῇσί τε μοῦνον ὄλεθρος.
ἀντιάει. καὶ δή τις ἀπόπροθεν ἄμμε χαλέπτει.
ὣς ὅγε χάλκειός περ ἐὼν ὑπόειξε δαμῆναι
μηδείης βρίμῃ πολυφαρμάκου. ἂν δὲ βαρείας
ὀχλίζων λᾶιγγας ἐρυκέμεν ὅρμον ἱκέσθαι
πετραίῳ στόνυχι χρίμψε σφυρόν. ἐκ δέ οἱ ἰχὼρ
τηκομένῳ ἴκελος μολίβῳ ῥέεν. οὐδ' ἔτι δηρὸν
εἱστήκει προβλῆτος ἐπεμβεβαὼς σκοπέλοιο.
ἀλλ' ὥς τίς τ' ἐν ὄρεσσι πελωρίη ὑψόθι πεύκη.
τήν τε θοοῖς πελέκεσσιν ἔθ' ἡμιπλῆγα λιπόντες
ὑλοτόμοι, δρυμοῖο κατήλυθον. ἡ δ' ὑπὸ νυκτὶ
ῥιπῇσιν μὲν πρῶτα τινάσσεται. ὕστερον αὖτε
πρυμνόθεν ἐξεαγεῖσα κατήριπεν, ὣς ὅγε ποσὶν
ἀκαμάτοις τείως μὲν ἐπισταδὸν ᾐωρεῖτο.
ὕστερον αὖτ' ἀμενηνὸς ἀπείρονι κάππεσε δούπῳ.
κεῖνο μὲν οὖν κρήτῃ ἐνὶ δὴ κνέφας ηὐλίζοντο
ἥρωες. μετὰ δ' οἵγε νέον φαέθουσαν ἐς ἠῶ
ἱρὸν ἀθηναίης μινωίδος ἱδρύσαντο.
ὕδωρ τ' εἰσαφύσαντο καὶ εἰσέβαν. ὥς κεν ἐρετμοῖς
παμπρώτιστα βάλοιεν ὑπὲρ σαλμωνίδος ἄκρης.

αὐτίκα δὲ κρηταῖον ὑπὲρ μέγα λαῖτμα θέοντας
νὺξ ἐφόβει. τήν πέρ τε κατουλάδα κικλήσκουσι
νύκτ' ὀλοὴν οὐκ ἄστρα διΐσχανεν, οὐδ' ἀμαρυγαὶ
μήνης. οὐρανόθεν δὲ μέλαν χάος. ἠέ τις ἄλλη
104 Ὠρώρει σκοτίη μυχάτων ἀνιοῦσα βερέθρων.
αὐτοὶ δ' εἴτ' ἀΐδῃ, εἴθ' ὕδασιν ἐμφορέοντο
ἠείδειν οὐδ' ὅσσον. ἐπέτρεψαν δὲ θαλάσσῃ
νόστον ἀμηχανέοντες ὅπῃ φέροι. αὐτὰρ ἰήσων
χεῖρας ἀνασχόμενος μεγάλῃ ὀπὶ φοῖβον ἀΰτει
ῥύσασθαι καλέων. κατὰ δ' ἔρρεεν ἀσχαλόωντι (κλαις,
δάκρυα. πολλὰ δὲ πυθοῖ ὑπέσχετο. πολλὰ δ' ἀμύ-
πολλὰ δ' ἐς ὀρτυγίην ἀπερείσια δῶρα κομίσσειν
λητοΐδη. τύνη δὲ κατ' οὐρανοῦ ἵκεο πέτρας,
ῥίμφα μελαντίους ἀριήκοος. αἵ τ' ἐνὶ πόντῳ
ἧνται. δοιάων δὲ μιῆς ἐφ' ὕπερθεν ὀρούσας
δεξιτερῇ χρύσειον ἀνέσχεθες ὑψόθι τόξον. (γλην.
μαρμαρέην δ' ἀπέλαμψε βιὸς περὶ πάντοθεν αἴ-
105 Τοῖσι δέ τις σποράδων βαιὴ ἀπὸ τόφρ' ἐφαάνθη
νῆσος ἰδεῖν ὀλίγης ἱππουρίδος ἀντία νήσου.
ἔνθ' εὐνὰς ἐβάλοντο καὶ ἔσχεθον. αὐτίκα δ' ἠὼς
φέγγεν ἀνερχομένη. τοὶ δ' ἀγλαὸν ἀπόλλωνι
ἄλσει ἐνὶ σκιερῷ τέμενος σκιόεντά τε βωμὸν
ποίεον. αἰγλήτην μὲν, ἐϋσκόπου εἵνεκεν αἴγλης
φοῖβον κεκλόμενοι. ἀνάφην δέ τε λισσάδα νῆσον
ἴσκον ὃ δὴ φοῖβος μιν ἀτυζομένοις ἀνέφηνε.
ῥέζον δ' ὅσσα περ ἄνδρες ἐρημαίῃ ἐνὶ ῥέζειν
ἀκτῇ ἐφοπλίσσειαν, ὃ δή σφεας ὁππότε δαλοῖς
ὕδωρ αἰθομένοισιν ἐπιλείβοντας ἴδοντο

μηδείης δμωαὶ Φαιηκίδες, οὐκέτ᾽ ἔπειτα
ἴσχειν ἐν στήθεσι γέλω σθένον. οἷα θαμειὰς
αἰὲν ἐν ἀλκινόοιο βοοκτασίας ὁρόωσαι.
106 τὰς δ᾽ αἰσχροῖς ἥρωες ἐπεστοβέεσκον ἔπεσι
χλεύῃ γηθόσυνοι. γλυκερὴ δ᾽ ἀνεδαίετο τοῖσι
κερτομίη, καὶ νεῖκος ἐπεσβόλον. ἐκ δέ νυ κείνης
μολπῆς ἡρώων νήσῳ ἔνι τοῖα γυναῖκες
ἀνδράσι δηριόωνται ὅτ᾽ ἀπόλλωνα θυηλαῖς
αἰγλήτην ἀνάφης τιμήορον ἱλάσκονται.
ἀλλ᾽ ὅτε δὴ κἀκεῖθεν ὑπεύδια πείσματ᾽ ἔλυσαν
μνήσατ᾽ ἔπειτ᾽ εὔφημος ὀνείρατος ἐννυχίοιο
ἁζόμενος μαίης υἷα κλυτόν. εἴσατο γάρ οἱ
δαιμονίη βῶλαξ ἐπιμάστιος ᾧ ἐν ἀγοστῷ
ἄρδεσθαι λευκῇσιν ὑπαὶ λιβάδεσσι γάλακτος.
ἐκ δὲ γυνὴ βώλοιο πέλειν ὀλίγης περ ἐούσης
παρθενικῇ ἰκέλη, μίχθη δέ οἱ ἐν φιλότητι
ἄσχετον ἱμερθείς ὀλοφύρετο δ᾽ ἠΰ τε κούρην
ζευξάμενος. τὴν δ᾽ αὐτὸς ἑῷ ἀτίταλλε γάλακτι.
ἡ δέ ἑ μειλιχίοισι παρηγορέεσκεν ἔπεσι.
τρίτωνος γένος εἰμὶ τεῶν τροφὸς ὦ φίλε παίδων
οὐ κούρη. τρίτων γὰρ ἐμοὶ λιβύη τε τοκῆες.
ἀλλά με νηρῆος παρακάτθεο παρθενικῇσιν
ἂμ πέλαγος ναίειν ἀνάφης σχεδόν εἶμι δ᾽ ἐς αὐγὰς
ἠελίου μετόπισθε τεοῖς νεπόδεσσιν ἑτοίμη.
τῶν δ᾽ ἄρ ἐπὶ μνῆστιν κραδίῃ βάλεν ἔκ τ᾽ ὀνόμηνεν
αἰσονίδῃ. ὁ δ᾽ ἔπειτα θεοπροπίας ἑκάτοιο
θυμῷ πεμπάζων, ἀνενείκατο φώνησέν τε.
Ω πόποι. ἦ μέγα δή σε καὶ ἀγλαὸν ἔμμορε κῦδος.

βῶλα

βώλακα γὰρ τεύξουσι θεοὶ πόντῳ δὲ βαλόντι
νῆσον. ἵν' ὁπλότεροι παίδων σέθεν ἐννάσονται
παῖδες, ἐπεὶ τρίτων ξεινήϊον ἐγγυάλιξε
τὴν δέ ῥι ἠπείροιο λιβυστίδος οὐδέ τις ἄλλος
ἀθανάτων ἢ κεῖνος ὅ μιν πόρεν ἀντιβολήσας.
Ὣς ἔφατ'. οὐδ' ἁλίωσεν ὑπόκρισιν αἰσονίδαο
εὔφημος. βῶλον δὲ θεοπροπίῃσιν ἰανθείς,
ἧκεν ὑποβρυχίην. τῆς δ' ἔκτοθι νῆσος ἀέρθη
καλλίστη παίδων ἱερὴ τροφὸς εὐφήμοιο.
οἳ πρὶν μέν ποτε δὴ σιντιάδα λῆμνον ἔναιον.
λήμνου τ' ἐξελαθέντες ὑπ' ἀνδράσι τυρσηνοῖσι,
σπάρτην εἰσαφίκανον ἐφέστιοι. ἐκ δὲ λιπόντας
σπάρτην αὐτεσίωνος ἐῢς παῖς ἤγαγε θήρας
107 Καλλίστην ἐπὶ νῆσον. ἀμείψατο δ' οὔνομα θήρης
ἐξ ἕθεν. ἀλλὰ τὰ μὲν μετόπιν γένετ' εὐφήμοιο
κεῖθεν δ' ἀπτερέως διὰ μυρίον οἶδμα λιπόντες
αἰγίνης ἀκτῆσιν ἐπέσχεθον. αἶψα δὲ τοί γε
ὑδρείης πέρι δῆριν ἀμεμφέα δηρίσαντο.
ὅς κεν, ἀφυσσάμενος, φθαίη μετὰ νῆαδ' ἱκέσθαι.
ἄμφω γὰρ χρειώ τε καὶ ἄσπετος οὖρος ἔπειγεν.
ἔνθ' ἔτι νῦν πλήθοντας ἐπωμαδὸν ἀμφιφορῆας
ἐνθέμενοι κούφοισιν ἄφαρ κατ' ἀγῶνα πόδεσσι
κοῦροι μυρμιδόνων νίκης πέρι δηριόωνται.
Ἵλατ' ἀριστήων μακάρων γένος. αἵδε δ' ἀοιδαὶ
εἰς ἔτος ἐξ ἔτεος γλυκερώτεραι εἶεν ἀείδειν
ἀνθρώποις. ἤδη γὰρ ἐπὶ κλυτὰ πείραθ' ἱκάνω
108 Ὑμετέρων καμάτων. ἐπεὶ οὔ νύ τις ὔμμιν ἄεθλος
αὖθις ἀπ' αἰγίνηθεν ἀνερχομένοισιν ἐτύχθη.

οὔτ' ἀνέμων ἐριωλαὶ ἀνέσταθεν. ἀλλὰ ἕκηλοι
γαίην κεκροπίην παρά τ' αὐλίδα μετρήσαντες
εὐβοίης ἔντοσθεν. ὀπούντιά τ' ἄστεα λοκρῶν,
ἀσπασίως ἀκτὰς παγασηίδας εἰσαπέβητε.

ΑΠΟΛΛΩΝΙΟΥ ΡΟΔΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ ΤΕ-
ΤΑΡΤΟΥ ΤΕΛΟΣ.

# ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ ΤΕ, ΚΑΙ ΠΑ-
# νυ ὠφέλιμα εἰς τὰ, τοῦ Ἀπολλωνίου
# ῥοδίου Ἀργοναυτικά.

*Interpretatio antiqua, ac perutilis in Apollonij Rhodij Argonautica.*

# ΣΧΟΛΙΑ

## ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ, ΤΩΝ ΑΠΟΛΛΩΝΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

Ἀρχόμενος, ἀπὸ παθητικοῦ ῥήματος ἡ μετοχὴ σχηματίζεται. παθητικὰ δέ ἐστιν ὅσα διάθεσιν ἢ πάθος ἐμφαίνουσιν, οἷον βιάζομαι, δωροῦμαι, σφαγιάζομαι. οὕτω καὶ τὸ ἄρχομαι. τὸ μὲν γὰρ σημαίνει ἀπὸ σοῦ τὴν ἀρχὴν ποιοῦμαι. ἔθος γὰρ ἀπὸ θεῶν προοιμιάζεσθαι, ἐκ διὸς ἀρχώμεσθα. τὸ δέ τι σημαίνει ἐξουσιαζόμενος ὑπὸ σοῦ οἷον ἐνθουσιῶν. παραπλησίως γὰρ τοῖς μαινομένοις οἱ ποιηταὶ ἐνθουσιῶσιν. ἔνιοι δὲ καὶ ἀντὶ τοῦ ἀρξάμενος κεῖσθαί φασι τὸ ἀρχόμενος. ὁ οὖν λόγος· ἀρξάμενος ἀπὸ σοῦ εἰς μνήμην ἄξω τὰ ἔνδοξα τῶν ἀργοναυτικῶν ἔργα. Ἀργώ. ὁ μὲν ἀπολλώνιος καλεῖ τὴν ἀργὼ, ἀπὸ ἄργου τοῦ κατασκευάσαντος. Φερεκύδης δὲ ἀπὸ ἄργου τοῦ φρίξου υἱοῦ. ταύτην δέ φασι πρώτην ναῦν γενέσθαι μακράν. ἄλλοι δὲ λέγουσι δαναὸν διωκόμενον ὑπὸ αἰγύπτου, πρῶτον κατα-

σκευάσαι, ὅθεν καὶ Δαναοὶ ἐκλήθη. Εὔζυγον ἤγουν εὐκάθεδρον. Τοίνυν γὰρ πάλιν. ἡ τοίνυν τίθεται καὶ ἀνταποδοτικῶς καθ' ὁμοίωσιν πρὸς τὰς παραβολάς. οἵη γὰρ φύλλων γενεή, τοίηδε καὶ ἀνδρῶν. καὶ ἀναφορικῶς, ἀλλὰ καὶ ὡς τοίη περ ἐοῦσα. νῦν δὲ δύναται μὲν ἐπὶ θαυμασμοῦ κεῖσθαι τὸ κατὰ ἀναίρεσιν λόγου. δύναται καὶ κατὰ ἀναφορὰν πρὸς τὰ ἐπιφερόμενα.

Ἄναυρον λέγει τὸν χείμαρρον. οἱ γὰρ ἐξ ὑετῶν συνιστάμενοι ποταμοὶ οὕτω καλοῦνται. Προχοῆσι. τῶν ποταμῶν οἱ συμβάλλοντες τόποι τῇ θαλάσσῃ, προχοαὶ λέγονται, ὡς Ὅμηρος. ὡς δ' ὅτ' ἐπὶ προχοῇσι. Ἥρης δὲ Πελασγίδος. Ὁμηρικῶς τὴν Ἥραν Πελασγίδα εἶπεν ἐκ τῆς Θεσσαλικῆς χώρας. Πελασγοὶ γὰρ ἐλέγοντο οἱ τὴν Φθιωτικὴν κατῴκουν ὥς φησιν Ὅμηρος. νῦν δ' αὖ τοὺς ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον. ἀφορίζων αὐτὸ τῆς Πελοποννήσου, ἣν Ἀχαϊκὸν Ἄργος καλεῖ.

Πρῶτά νυν Ὀρφῆος. Ἡρόδωρος δύο εἶναι Ὀρφεῖς φησιν. ὧν τὸν ἕτερον συμπλεῦσαι τοῖς Ἀργοναύταις. Φερεκύδης ἐν τῇ ς΄. Φιλάμμωνά φησι καὶ οὐκ Ὀρφέα συμπεπλευκέναι. εἶναι δὲ Ὀρφέα, κατὰ μὲν Ἀσκληπιάδην Ἀπόλλωνος καὶ Καλλιόπης. κατὰ δὲ ἐνίους, Οἰάγρου καὶ Πολυμνίας. ζητεῖται δὲ διὰ τί Ὀρφεὺς ἀσθενὴς ὢν συνέπλει τοῖς ἥρωσιν. ὅτι μάντις ὢν ὁ Χείρων ἔχρησε μὴ δύνασθαι τὰς Σειρῆνας παρελθεῖν αὐτοὺς Ὀρφέως μὴ συμπλέοντος. οὕτως Ἡρόδωρος. Πιμπληΐδος, Πιμπλιὰς χωρίον κατὰ Πιερίαν. οἱ δὲ ὄρος Θρᾴκης. οἱ δέ, κρήνην καὶ κώμην τῆς Πιερίας. Θέλξαι. ἀπατῆσαι καὶ τέρψαι. τάσσεται δὲ ἡ λέξις ἐπὶ τοῦ μὴ βλάβης ἀπά-

της

της. νῦν δὲ ὑπερβολικῶς κεῖται. ἀοιδάων δὲ ἐνοπῇ τῇ τῶν ᾠδῶν εὐρυθμίᾳ οὐκ εὖ δέ. ἡ γὰρ ἐνοπὴ ἐπὶ ὠδῆς θορύβου τίθεται. Θρηϊκίης ζώνης. ζώνη ἐστὶν ὀρεινὸς τόπος οὕτω καλούμενος. καὶ πόλις ὁμώνυμος ὥς φησι νίκανδρος. Ἐξείης στιχόωσιν, στοιχηδόν εἰσι καὶ ἑξῆς πυκναί. Πιερίηθεν. πιερία ὄρος θράκης ἐν ᾧ διέτριβεν ὀρφεύς. φησὶ δὲ ἡρόδωρος ὅτι παρῄνεσεν ὁ χείρων τῷ ἰάσονι, ὅπως τὸν ὀρφέα σὺν τοῖς ἀργοναύταις παραλάβῃ. Ἀπιδανοῖο. ἀπιδανὸς καὶ ἐνιπεὺς ἀμφότεροι θεσσαλίας ποταμοί, τὸ δὲ φυλλήϊον ὄρος μακεδονίας. ἡ δὲ πιερία χώρα ἡ πόλις, ἧς ἐγγὺς ἦν τὸ φυλλῆον. Λάρισαν δ' ἐπὶ τοῖσι. λάρισαν τὴν θεσσαλικὴν λέγει, ἣν ἔκτισεν ἀκρίσιος. ἥτις ὠνομάσθη ἀπὸ λαρίσης τοῦ πελασγοῦ, ὥς φησιν ἑλλάνικος. εἰσὶ δὲ λάρισαι τρεῖς, ἀρχαιοτάτη μὲν ἡ ἀργείων τις ἐστὶν αὐτὴ ἡ ἀκρόπολις. δευτέρα δὲ ἡ ἐν τῷ πελασγικῷ ἄργει θεσσαλίας, ἣν ὅμηρος ἄργισσαν φησὶ πλησίον τοῦ γυρτώνης, ἧς νῦν ὁ ἀπολλώνιος μέμνηται. ἔστι δὲ καὶ περὶ τροίαν ἧς ὅμηρος μνημονεύει. Φῦλα πελασγῶν. τὸν δὲ πολύφημον, ἐλάτου παῖδα εἶπεν ἀπολλώνιος. ἰσοκράτης δὲ καὶ εὐφορίων ποσειδῶνος. οἱ δὲ λαπίθαι ἀπὸ λαπίθου τοῦ ἀπόλλωνος καὶ στίλβης νύμφης ὠνομάσθησαν

5 Οὐ δὲ μὲν ἴφικλος. ἴφικλος υἱὸς ἦν φυλάκου καὶ κλυμένης τῆς μινύου. τοῦτον ἡσίοδος ἐπὶ πυρίνων ἀθέρων τρέχειν φησί. δημάρετος δὲ ἐπὶ τῆς θαλάσσης. παρασημειοῦται δ' ἄξιον ὡς οὔτε ἡσίοδος οὔτε φερεκύδης φησὶ συμπεπλευκέναι τοῖς ἀργοναύταις ἴφικλον. τὸ δὲ οὐ δηρόν, ἀντὶ τοῦ τάχιστα, ὁ τρόπος ἀντίφρασις. ἰστέον δὲ ὅτι φερεκύ

Ὡς μὲν συμφωνεῖ ἀπολλωνίῳ, λέγοντι ἀλκιμέδην μητέρα τοῦ ἰάσονος τὴν φυλάκου θυγατέρα. ἡρόδωρος δὲ πολυφήμην φησὶν εἶναι τὴν ἰάσονος μητέρα. θυγατέρα δὲ αὐτολύκου. ἄνδρων δὲ ἐν τῇ ἐπιτομῇ τῶν συγγενειῶν θεογνίτην τὴν λαοδίκου μητέρα ἰάσονος γεγενῆσθαι φησίν. Κασιγνήτην τε ὄπυιεν, διὰ τοῦ παρεπομένου τὸ προηγούμενον δηλοῖ τὸ ἐγάμει. εἴρηται ἀπὸ τῶν ὠπῶν ἐσχηματισμένης τῆς λέξεως ὅ ἐστιν ὀφθαλμῶν, ὁ ὀπτῶν καὶ ἐπιτηρῶν. ἢ ἀπὸ τῆς ὀπὸς τῆς φωνῆς. διὰ τὰς τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας ὁμιλίας. ἀφ᾽ οὗ καὶ ὄαροι αἱ γυναῖκες. Οὐδὲ φερῆσιν ἄδμητος. αἱ φεραὶ ὠνομάσθησαν ἀπὸ φέρητος τοῦ κρηθέως τοῦ ἀδμήτου πατρός. Εὐεργήνεσι δὲ ἀντὶ τοῦ πολυπροβάτοις. τὸ δὲ χαλκωδόνιον ὄρος ὑπὲρ ἄνω φερῶν. Οὐδ᾽ ἀλόπῃ μίμνον. θεσσαλίας πόλις, ἢ μαγνησίας. Πολυλήϊοι δὲ εἴρηται ἀπὸ τοῦ λήϊου τοῦ σπορφόρου πεδίου. ἢ ἀπὸ τῆς λείας ὅπερ βέλτιον. Οὐ φέρει τε δεδαῶτε δόλους. ἱστοροῦνται δὲ ἄϋπνοι εἶναι δεινοὶ καὶ φρέπενοι. Αἰθαλίδης. κύριον. πατρωνυμικοῦ τύπον ἔχον. Ἀμφρύσοιο. γράφεται καὶ διὰ τοῦ. β. ὡς διονύσιος. ἔστι δὲ ποταμὸς θεσσαλίας. προπαροξύνεται δὲ ὡς ἐν τῇ, κ, τῆς καθόλου.

4 Γυρτῶνα κόρωνος. ἣν ὅμηρος φησὶ γυρτώνην. ἔστι δὲ πόλις θεσσαλίας ἢ περραιβίας. ὠνομάσθη δὲ ἀπὸ γυρτώνης τῆς φλεγύου. ὁ δὲ κόρωνος υἱός ἐστι καινέως. μυθολογοῦσι δὲ τὸν καινέα πρότερον γεγονέναι γυναῖκα, εἶτα ποσειδῶνος αὐτῇ πλησιάσαντος μεταβληθῆναι εἰς ἄνδρα. τοῦτο τε ἤτησε καὶ ἀτρωσίαν. εἴρηκε δὲ καὶ ἀ-

πόλλωνι

πόλλωνι ὁ ἐνικήθη. οὗτος ἐκέλευε τοὺς παριόντας ὀ-
μνύναι τὸ δόρυ αὐτοῦ. ἔνθα ἡ παροιμία τὸ καινέως δό-
ρυ. τινὲς δέ φασι καινέα συμπλεῦσαι τοῖς ἀργοναύ-
ταις, οὐ κόρωνον. ὁ δὲ ἀπολλώνιος παρὰ πινδάρου εἴ-
ληφε λέγοντος. ὁ δὲ χλωραῖς ἐλάταισι τυπεὶς ᾤχε-
το καινεύς. σχίσας ὀρθῷ ποδὶ γᾶν. οὗτος δὲ αὐτὸς συ-
νέβη δεῖν τὸ μήτε θύειν τοῖς θεοῖς, μήτε εὔχεσθαι. ἀλ-
λὰ τῷ ἑαυτοῦ δόρατι. διὸ ζεὺς ἐφορμᾷ αὐτῷ τοὺς
κενταύρους. οἵ τινες κατὰ γῆν αὐτὸν ὠθοῦσιν. Ἀμ-
πυκος υἱὸς ὁ μόψος ὁ τιταρώνιος, μητρὸς δὲ χλω-
ρίδος. Ἄγχι δὲ λίμνης ξυνιάδος. ξυνιὰς λίμνη τῆς
θεσσαλίας. τινὲς δὲ πόλιν παρακειμένην τῇ βοι-
βηΐδι λίμνῃ. ἀπὸ δὲ τῆς πόλεως εἴρηκε ξυνιάδα, ἐπεὶ
δὴ πλησίον αὐτῆς ἐστιν ἡ πόλις. οἱ δέ φασι ξυνιά-
δα εἰρῆσθαι διὰ τὸ ξυνὸν εἶναι τὸ κοινόν. ταύτην δὲ κοι-
νὴν εἶναι θεσσαλίας καὶ βοιωτίας. Κτιμένῳ δολο-
πηΐδα. κτιμένη πόλις τῆς θεσσαλίας. δολοπηΐδα δὲ
τὴν θεσσαλίαν εἶπε. δόλοπες γὰρ ἔθνος θεσσαλί-
ας. ὅμηρος. ναῖον δ' ἐσχατιὴν φθίης δολόπεσσιν ἀ-
νάσσων. Ἐξ ὀπόεντος. ὀποῦς πόλις τῆς λοκρίδος.
ἀπὸ ὀπόεντος τοῦ ἠλείου. ὅμηρος, οἳ κύνον τ' ἐνέμοντ'
ὀπόεντά τε καλλίαρόν τε. μενοιτίου δὲ καὶ σθενέλης
πάτροκλος. Καὶ ἀλκείης ἐριβώτης. ἰσχυρός. παρα
γώγως δὲ ἐσχημάτισται παρὰ τὴν ἀλκήν. ὡς φωνήεις
παρὰ τὴν φωνήν. ἡρόδωρος ἐν τοῖς ἀργοναυτικοῖς τοῦ-
τον εὐρυβάτην καλεῖ, καὶ φησὶν αὐτὸν τελέοντος υἱόν. ἄ-
κτορος δὲ υἱοί, μενοίτιος καὶ ἶρος. τούτων δὲ υἱοὶ μενοιτίου
μὲν πάτροκλος ἴρου δὲ εὐρυτίων. Καὶ ἐπαΐξαι, ἀν

τὶ τοῦ ἐπιδιῶξαι. περιττὸν μὲν τὸ μετόπισθεν. λείπει δὲ ὁ καὶ ἵν' ᾖ καὶ ὅτε κλείνωσι φάλαγγας, εἰς φυγὴν τρέψειαν.

5 Κάνηθος κίε. τὸν Κάνθον καὶ ὁ Κλέων καταλέγει. ἔστι δὲ Κανήθου υἱός, ἀφ' οὗ ὄρος ἐν Βοιωτίᾳ. ἦν δὲ ὁ Ἄβαντος παῖς. ἀφ' οὗ οἱ Εὐβοεῖς Ἄβαντες. Δηϊωθῆναι. κοινότερον νῦν δηωθῆναι τὸ φθαρῆναι. ἑξῆς δὲ ὁ ποιητὴς τὸν δυσφορῶν ἐπὶ τῇ ἀπωλείᾳ τῶν ἡρώων ἐκφωνεῖ. ὡς οὐκ ἀνθρώποισιν. ὁ δὲ νοῦς, οὐδὲν ἐστι μέγιστον κακὸν οὗ ἂν θεωρῆς ἀποτυγχάνει. ἔδει τὸ διὰ τοῦ. α. ἀπαυρεῖν. ἢ ὅτι οὐδὲν κακὸν μέγιστον ὃ μὴ ἀνθρώποις εὐχερὲς ἐπαυρεῖν, ὅ ἐστιν ἐπιτυχεῖν. Δύσιές τε καὶ ἀντολαί. προσοῦρον φησὶ κεχωρισμένους τῆς τῶν Κόλχων χώρας, ὅσον τῶν ἀνατολῶν αἱ δύσιες ἀφεστήκασιν. ἐπεὶ ἡ μὲν Λιβύη πρὸς δύσιν, ἡ δὲ Κολχὶς πρὸς ἀνατολήν. Οἰχαλίης ἐπίουροι. οἱ τῆς Ἀντιόπης παῖδες. Οἰχαλίαν δὲ οἱ μὲν νεώτεροι ἐν Εὐβοίᾳ φασὶν εἶναι. Ὅμηρος δὲ ἐν τῷ θεσσαλικῷ ἀεὶ καταλέγει. οἵ τ' ἔχον Οἰχαλίην πόλιν Εὐρύτου Οἰχαλιῆος. οἱ δὲ ὁμώνυμον φασίν. Τὸ δὲ οὐ μὲν ἀντὶ τοῦ οὐ μὴν οὐδ' ὁμόθεν οὐδ' ἐκ τοῦ αὐτοῦ τόπου. διῳκίσθησαν γὰρ διὰ τὸν Φώκου φόνον. καὶ ὁ μὲν ἐν Σαλαμῖνι κατῴκησεν, ἣν ἔφη νῆσον Ἀτθίδα. ὁ δὲ ἐν Φθίᾳ ὁ Πηλεύς.

6 Τοῖς δ' ἐπὶ Κεκροπίηθεν. ἀντὶ τοῦ κυρίως ἀπὸ τῆς Ἀττικῆς. Κεκροπία γὰρ λέγεται ἡ Ἀττικὴ ἀπὸ Κέκροπος τοῦ βασιλεύσαντος. ἕτερος δέ ἐστιν ὁ Τελέων οὗτος ὁ Βούτου πατὴρ παρὰ τὸν πρότερον εἰρημένον τοῦ Ἐριβώτου πατέρα. εὐμελίης δὲ ὁ πολεμικὸς ἀπὸ τῆς μελίας.

Ἄλκων, Ἄλκωνα τὸν Φαλήρου πατέρα πρόξενος φη-
σὶν υἱὸν ἐρεχθέως. φυγεῖν δὲ αὐτὸν λέγει ἀπὸ τῆς ἀττικῆς
μετὰ τῆς θυγατρὸς χαλκιόπης εἰς εὔβοιαν. ἐξαιροῦντος
δὲ τοῦ πατρὸς οὐκ ἐκδοῦναι τοὺς χαλκιδέας. τὸ δὲ τη-
λύγετον ἐνταῦθα οὐ τὸν μονογενῆ, πρόσκειται γὰρ καὶ
μοῦνον ἐόντα, ἀλλὰ καταγηράσαντι αὐτῷ γενόμε-
νον. οἱ τοιοῦτοι τῶν παίδων εἰσὶ προσφιλεῖς.
Θησέα δ᾽ ὃς περὶ πάντας. θησεὺς καὶ πειρίθους. ὁ μὲν
ἐκ διός. ὁ δὲ ἐκ ποσειδῶνος, οἳ ἐφαμίλλους ἐποιοῦν-
το τὰς πράξεις. καὶ ὁ μὲν θησεὺς τῆς ἑλένης ἐρασθεὶς ἔσχεν
συμπράττοντα αὐτῷ τὸν πειρίθουν. ὁ δὲ πειρίθους τὴν
περσεφόνην ἁρπάσαι βουληθεὶς ἀναγκαίως εἶχε τὸν
θησέα ἑπόμενον. καὶ δὴ διὰ ταινάρου εἰς ᾅδου κατελ-
θόντες καὶ ἐπί τινος πέτρας καθεσθέντες αὖθις ἀνα-
στῆναι οὐκ ἐδύναντο. ἡρακλῆς δὲ ὕστερον κατελθὼν ἐπὶ
τὸν κέρβερον, τὸν μὲν θησέα ἀπέσωσεν ὡς μὴ ἑκόντι
κατελθόντα. τὸν δὲ πειρίθουν εἴασεν, ἐπειδὴ προαιρέ-
σει ἰδίᾳ κατῆλθεν. ἐπεστράτευσαν δὲ κατὰ τῆς τροιζῆνος
οἱ διόσκουροι διὰ τὴν ἀδελφὴν, θησέως ὄντος ἐν ᾅδου,
καὶ πορθήσαντες ἔλαβον αἰχμάλωτον αἴθραν τὴν θησέ-
ως μητέρα. Ταιναρίην, φερεκύδης ἐν τῇ θ΄, φησὶν ὅτι
ἔλατος ὁ ἰκάρου γαμεῖ ἐριμήδαν τὴν δαμασίκλου, τού-
του δὲ γίνεται ταίναρος. ἀφ᾽ οὗ ταίναρον καλεῖται ἡ πό-
λις καὶ ἡ ἄκρα καὶ ὁ λιμήν. Κεινὴν ὁδόν. γράφεται καὶ
κείνην. κενὴν μὲν ἤγουν κενὴν καὶ ματαίαν, κείνην δὲ ἀ-
ναφορικῶς. τὴν δὲ ἀνδρίαν ἑκατέρου τῶν ἡρώων διασα-
φῶν ὁ ἀπολλώνιος, φησὶν ὅτι εἴπερ συνέπλευσαν ἀμ-
φότεροι τοῖς ἀργοναύταις, ἔπαυσαν ἂν αὐτοὺς μεγάλων

μόχθων. τὸ δὲ ἄποσθεν ἢ τὴν αἰτίαν τοῦ μὴ συμπλεῦσαι αὐτὸν δηλοῖ. Προδαῆναι, προμαθεῖν, ἀρίστου γὰρ αὕτη τέχνη κυβερνήτου. ὁ δὲ λόγος ἀγαθὸς μὲν ἦν ἡμέρας τεκμήρασθαι ἡλίῳ, νυκτὸς δὲ πρός τινα τῶν ἀστέρων τὸν καιρὸν τοῦ πλοῦ τεκμήρασθαι. Τριτωνίς. τρίτωνες τρεῖς. βοιωτίας, θεσσαλίας, λιβύης. ἐν δὲ τῇ κατὰ λιβύην ἐτέχθη ἡ ἀθηνᾶ. Φλείας δ' αὖ γ' ἐπί, πόλις πελοποννήσου ἡ ἀραιθυρέα, ἐν ὁρίοις τῆς σικυῶνος κειμένη, ἡ νῦν ὀνομαζομένη φλιοῦσα ἀπὸ φλιοῦντος τοῦ διονύσου καὶ χθονοφύλης. καὶ αὐτὸς δὲ διόνυσος φλυοῦς ὠνομάζετο. ἀπὸ τοῦ φλύειν τὸν οἶνον, ὅ ἐστι βρύθειν. Ἀσωπίῳ, ἀσωπὸς ποταμὸς θηβῶν. ἔχων τὰς πηγὰς ἐν ἀραιθυραίᾳ. ἐκεραυνώθη δὲ ὑπὸ διὸς διώκων αὐτὸν διὰ τὸ ἡρπακέναι τὴν θυγατέρα αὐτοῦ αἴγιναν ὡς ὁ καλλίμαχος φησίν. Ἀργόθεν αὖτε λαὸς ἀμυθάονος τοῦ κρηθέως τοῦ αἰόλου τοῦ ἕλληνος τοῦ διὸς ὁ δ' εἰδομένης γίνεται μελάμπους ὥς φησι διευχίδης. κληθῆναι δ' αὐτὸν οὕτως διὰ τὸ τεκοῦσαν τὴν μητέρα ἐκθῆναι αὐτὸν εἰς σύνδενδρον τόπον. τοὺς δὲ πόδας μελανθῆναι τῷ ἡλίῳ ἀσκέπους ὄντας. ἐν δὲ ταῖς καλουμέναις μεγάλαις ἠοίαις λέγεται ὡς ἄρα μελάμπους ἀποδημῶν κατέλυσε παρὰ πολυφάτῃ. θύοντος δ' ἐκείνου δράκων αἰφνίδιος κατέφαγε τὸν θεράποντα. ἀναιρεθεὶς δὲ ἐτάφη ὑπὸ μελάμποδος. τὰ δὲ ἔκγονα αὐτοῦ ἐκτραφέντα καὶ περιλείχοντα τὰ ὦτα τοῦ μελάμποδος ἐνέπνευσεν αὐτῷ τὴν μαντικήν, φωραθέντα δ' ἐπὶ κλωπείᾳ τῶν βοῶν ἰφίκλου τοῦ φυλάκου καὶ συλληφθέντα

ὑπὸ

ὑπ' αὐτοῦ τὸν μελάμποδα, ἐπειδὴ δὲ στέγος ἔμελλεν ὅσον οὔπω πεσεῖσθαι τῆς οἰκίας κατανενοηκότα ἀπὸ μαντικῆς ἐν δεσμωτηρίῳ κατεχόμενον εἰπεῖν τῇ θεραπαίνῃ. ὁ δὲ Ἴφικλος μαθὼν τὸ πρόσρημα αὐτός τε ἀπαλλάττεται τοῦ δεινοῦ, καὶ μελάμποδα αἰδεσθεὶς ἀπέλυσεν, ἐπιδοὺς αὐτῷ καὶ τὰς βοῦς, ἃς ἀφικέτο κλέψαι. Νεῖον ἀπ' ἀρκαδίης. προπερισπωμένως ἀντὶ τοῦ νεωστί. ὀξυτόνως δὲ τὴν γῆν.

Οὐδὲ μὲν οὐδὲ βίην. ὁ ἑξῆς λόγος οὕτως. ἐπειδὴ ἤκουσε πλεῖν τοὺς ἀργοναύτας ὁ ἡρακλῆς, νεωστὶ δὲ ἐληλυθὼς τὸ ἄργος, καθ' ἣν ὁδὸν ἐκόμιζε τὸν κάπρον ζῶντα ἐκ τοῦ ἐρυμάνθου ὄρους, ὅπου κατὰ τὰς βήσσας ἐνέμετο λαμπείας τε καὶ ἐρυμάνθου, ἦλθεν ὡς ἰάσονα. λάμπεια ὄρος ἀρκαδίας, ἀφ' οὗ, ὁ ποταμὸς ῥεῖ ἐρύμανθος. Λυγκήιον. ἀπὸ λυγκέως τοῦ βασιλεύσαντος ἄργους. ἐὰν δὲ λυρκήιον ἀπὸ ὄρους ἀργείου ἀκουστέον, ἀφ' οὗ ὁ ἴναχος καταφέρεται ποταμός. Τῖφος ὁ κάθυγρος τόπος. περὶ δὲ τοῦ κάπρου καὶ ἡρόδωρος φησίν, ὅτι ἐπὶ τὰς πύλας τῶν μυκηνῶν κομίσας αὐτὸν ἀπέθετο. ἰλλόμενον δέ, δεσμευόμενον. διὰ δὲ τοῦ ἀπεθήκατο τοῦ βαστάζοντος ἐπιδείκνυται ἡ δύναμις ὅτι εὐχερῶς. Ὕλας ἡρακλέους ἐρώμενος. υἱὸς θειοδάμαντος τοῦ δρύοπος. οὕτω μνασέας. ἑλλάνικος δὲ θειομένην τὰ θειοδάμαντος καλεῖ. Φύλακος, ἰωνικῶς ὁ φύλακος ἀπὸ τοῦ φύλαξ, ὥσπερ καὶ τὸ μάρτυρος ὀξυτονητέον τὴν πρώτην. ἡρωδιανὸς δὲ τὴν τελευταίαν ὀξύνει. φορεὺς δὲ ὁ φέρων. Ναύπλιος. ἀπόγονος τοῦ ἀρχαίου τοῦ ποσειδῶνος υἱοῦ, ὁ ἀμυμώ-

της τῶν δαναοῦ. Προίτου δὲ λέγει τοῦ βελλεροφόν-
του ἐχθροῦ.

Ἴδμων δ' ὑστάτιος. χαμαιλέων φησὶ τὸν θέστορα
ἴδμονα παρὰ τοῖς ἀρχαίοις καλεῖσθαι διὰ τὴν ἐμπειρίαν.
ἄλλοι φασὶ καὶ θέστορα συμπλεῦσαι τοῖς ἀργοναύ-
ταις. ἡνίοχος δὲ ἦν ἀμφιαράου. ὁ δὲ ἴδμων, ὡς ἱστορεῖ
φερεκύδης, παῖς ἦν ἀστερίας τῆς κορώνου καὶ ἀπόλλω-
νος, ὁ, καὶ λαοθόης θέστωρ, τοῦ δὲ κάλχας. ἀναιρεῖται
δὲ ἴδμων ἐν μαριανδυνίᾳ ὑπὸ κάπρου. δοῦρις δὲ ἄ-
βαντος φησὶ νομισθῆναι τὸν ἴδμονα. συμμαρτυρεῖ δὲ
αὐτῷ καὶ ἡρόδωρος. Αἰολίδησιν. αἰόλου υἱοὶ τοῦ ἕλ-
ληνος κρηθεὺς καὶ ἀθάμας, κρηθέως δὲ αἴσων. αἴσο-
νος δὲ ὁ ἰάσων. ἄβας δὲ μελάμποδος ἦν τοῦ ἀμυθά-
ονος τοῦ κρηθέως τοῦ αἰόλου. Αἰτωλίς. εἰκότως αἰ-
τωλὶς ἡ λήδα, ἐπεὶ αἰτωλὸς ὁ θέστιος. καὶ εἴρηκεν
ἀπὸ τῆς χώρας ὡς εἴ τις τὸν συρακούσιον σικελόν.
ὁ δὲ ἴβυκος πλευρωνίαν φησί. ἑλλάνικος δὲ καὶ
λυσιδονίαν. ἦν δὲ θεστίου θυγάτηρ τοῦ βασιλέως τῆς αἰ-
τωλίας, ἄρεως υἱοῦ καὶ ἀνδροδίκης. γλαύκου δὲ αὐ-
τὴν τοῦ σισύφου, ἐκ πατρὸς ἐν κορινθιακοῖς λέγει εὔ-
μηλος καὶ παντειδυίας μητρός, ἱστορῶν ὅτι τῶν ἵππων
ἀπολομένων ἦλθεν εἰς λακεδαίμονα ὁ γλαῦκος,
καὶ ἐκεῖ ἐμίγη παντειδυίᾳ, ἣν ὕστερον γήμασθαι θε-
στίῳ. τὴν δὲ λήδαν οὖσαν γλαύκου κληθῆναι θε-
στίου. αἰτωλὶς δὲ ἤτοι διὰ τὴν χώραν, ἢ ἀπὸ αἰτω-
λοῦ τοῦ ἥρωος. φερεκύδης δὲ ἐν τῇ β. ἐκ λαοφόντης
τῆς πλευρῶνος λήδαν καὶ ἀλθαίαν θεστίῳ γενέσθαι φη-
σί. ὅτι δὲ γλαύκου ἐστὶ θυγάτηρ καὶ ἀλθαίας αἰνίττε-
ται

ται λέγων. τὸν τέκε θυγάτηρ γλαύκου μάκαιρα. φασὶ δὲ τὸν μὲν πολυδεύκη, διός. τὸν δὲ κάστορα τυνδάρεω. τηλογέτους δὲ νῦν ἀντὶ τοῦ ἀγαπητούς. ὅμηρος δὲ τοὺς ἐν γήρᾳ γενομένους. Ἀρήνηθεν οἱ ἀπὸ τῆς παῖδες. φερεκύδης τὴν μητέρα τῶν περὶ ἴδαν ἀρήνην φησὶν, ἀφ' ἧς ἡ πόλις. πείσανδρος πολυδώραν. θεόκριτος λαοκόωσαν. οὗτοι δὲ συνήκμαζον τοῖς διοσκούροις. ἀρήνη δὲ πόλις πελοποννήσου πλησίον πύλου. καὶ ὅμηρος. οἱ δὲ πύλον τ' ἐνέμοντο καὶ ἀρήνην ἐρατεινήν. πύλος δὲ αὕτη ἡ νέστορος, ἡ καὶ ἀμμώδης.

10 Σὺν δὲ περικλύμενος. νηλεὺς ἔσχε παῖδας, ἐκ μὲν χλωρίδος νέστορα, περικλύμενον, χρόμιον. ἐκ δὲ διαφόρων γυναικῶν, ταῦρον, ἀστέριον, λυκαίωνα, δηίμαχον, εὐρύβιον, καὶ λέοντα, φάσιν, εὐπομένη. ὡς δὲ ἀσκληπιάδης φησὶ καὶ ἀλάστορα, καὶ ὁ ποιητής. δώδεκα γὰρ νηλῆος ἀμύμονος υἱέες ἦμεν. ὅτι νηλέος παῖς περικλύμενος δῆλον. φησὶ γὰρ ὁ ποιητὴς, νέστορά τε χρόμιόν τε, περικλύμενόν τ' ἀγέρωχον. τοῦτον δὲ ὡς ἔγγονον αὐτοῦ ὁ ποσειδῶν. νηλεὺς γὰρ ποσειδῶνος, ἄλλοις τε ἐκόσμησε καὶ ἐχαρίσατο αὐτῷ εἰς πάντα μεταβάλλεσθαι. ὡς καὶ ὁ εὐφορίων, ὅς ῥά τε πᾶσιν ἔικτο θαλάσσιος ἠΰτε πρωτεύς. ἀναιρεῖ δὲ αὐτὸν ἡρακλῆς εἰς μυῖαν μεταβληθέντα ἐν τῷ πρὸς πυλίους πολέμῳ κατὰ συμβουλὴν ἀθηνᾶς τῷ ῥοπάλῳ πλήξας ἐμπαγέντα ὥσπερ μέλισσαν τῷ κέντρῳ. ἡσίοδος δὲ μεταβληθέντα εἰς τινα τῶν συνήθων μορφῶν καὶ καθεσθῆναι τῷ ὀμφαλῷ τοῦ ζυγοῦ τῶν ἡρακλέους ἵππων, βουλόμενον εἰς μάχην καταστῆναι τῷ ἥρωϊ. τὸν δὲ ἡρακλέα καιρίως αὐτὸν κα-

παρεξεῦσαι τῆς ἀθηνᾶς ὑπὸ δὲ ξάσης. φησὶ δὲ οὕτως. περικλύμενόν τ' ἀγέρωχον ὄλβιον, ᾧ πόρε δῶρα ποσειδάων ἐνοσίχθων παντοῖ'. ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φαίνεσκεν αἰετός. ἄλλοτε δ' αὖτε πελέσκετο θαῦμα ἰδέσθαι μύρμηξ ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα. ἄλλοτε δεινὸς ὄφις καὶ ἀμείλιχος. εἶχε δὲ δῶρα παντοῖ' οὐκ ὀνομαστά, τά μιν καὶ ἔπειτα δόλωσεν βουλῇ ἀθηναίης. Εἰ τεγέην. τεγέα πόλις ἀρκαδίας. κλῆρον δὲ τὴν βασιλείαν τοῦ ἀφείδαντος. ὁ γὰρ ἀλεὸς ἱστορεῖται ἀφείδαντος υἱὸς εἶναι τοῦ ἀρκάδος, ἀφείδας δὲ ὁ ἀρκάδος ἀρχαῖος ἥρως ἐβασίλευσε τεγέας, ἀφ' οὗ καὶ ἡ χώρα ἀρκαδία. δύο δέ εἰσι κηφεῖς. ὁ μὲν ἀλεοῦ, οὗ μνημονεύει ἀπολλώνιος. ὁ δὲ ἕτερος οὗ μνημονεύει ἑλλάνικος ἐν τοῖς περὶ ἀρκαδίας. ἀγκαῖος. λυκούργου ὁ αὐτὴν ὄχης ἀγκαῖος καὶ ἐπίοχος. τιμᾶται δὲ παρὰ ἀρκάσιν ὥς φησιν ἀριστομένης. μνημονεύει καὶ ὅμηρος τούτου τοῦ λυκούργου, τὸν λυκοῦργος ὑπέφθας διὰ μέσον πεφόνησε, καὶ ἄγεται μεσολεία ἑορτὴ παρὰ ἀρκάσιν, ἐπειδὴ ὁ λυκοῦργος λοχήσας κατὰ τὴν μάχην εἷλεν ἐρευθαλίωνα, μῶλος δὲ ἡ μάχη. Βῆ δ' ὅγε μαιναλίης. μαίναλον ὄρος ἀρκαδίας ἡ πόλις, ἀπὸ μαινάλου τοῦ ἀρκάδος, οὗ πατὴρ λυκάων. καλιῆ δὲ αὐτὴ τοῦ οἰκία κυρίως δὲ ἡ ἐκ κάλων κατεσκευασμένη. κᾶλα δὲ τὰ ξύλα. ξυλίναις γὰρ ἐχρῶντο πάλαι οἰκίαις, λίθων μηδέπω ἐπινοηθέντων.

11 Βῆ δὲ τοῦ αὐγείης οὖρος λόγῳ μὲν ἦν ἡλίου, τῇ δὲ ἀληθείᾳ φόρβαντος ἐκ τῆς ὑρμίνης. οἱ δέ φα

σιν

ην ἀπὸ τοῦ νυκτέως. οἱ δὲ αὐτὴν ἐπόχου θυγατέρα φασίν ἐδόκουν δὲ ἀκτῖνας ἀπολάμπειν αὐτοῦ τῶν ὀφθαλμῶν, τοῦτο τῶν βοσκημάτων ὁ ἡρακλῆς τὴν κόπρον ἐκάθηρεν. Ἀστέριος δὲ, ἀστέριον τὸν ἀστερίωνα λέγει, ἀπὸ ὑπερασίου βασιλέως τῆς ἀχαΐας, καὶ πόλις ὑπερασία. ὅμηρος, οἵθ' ὑπερασίην. Πελλήνης. ἡ ἀχαϊκὴ πελλήνη διὰ τοῦ ε. ἡ δὲ ἑτέρα ἡ τῆς ἀρκαδίας διὰ τοῦ α, γράφεται παλλήνη ἀχαιῒς δὲ μέσος τῆς θετταλίας ἧς ἡ πελλήνη. Ταίναρον ἀκρωτήριον τῆς λακωνικῆς, ἀπὸ ταινάρου τοῦ ποσειδῶνος. Εὐρώπη τιτυοῖο. τοῦ ἐλάρης παιδός. οὗτος δὲ ἐν ἅδου τετιμώρηται διὰ τὸ ἐν πυθῶνι στελλομένην καταχεῖν τὴν λητώ, ὡς καὶ ὅμηρος τιτυὸν γαίης υἱόν. ὁ δὲ εὐφορίων ἀρτέμιδος φησὶν αὐτὸν ἧφθαι, καὶ διὰ τοῦτο τιμωρεῖσθαι. Διοβρῆ πεφόρητο. διοβρὴ κυρίως ἡ ἐκ διὸς γινομένη κάθυγρος γῆ ἐξ οὗ καὶ διαίνω τὸ βρέχω εἴληπται παρὰ τὸ ὁμηρικόν. ἀλλ' ὅτε δὴ σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν, καὶ τὰ ἑξῆς.

12 Καὶ δ' ἄλλω δύο παῖδε. ὁ μὲν ἀγκαῖος υἱὸς ἀστυπαλαίας ἦν τῆς φοίνικος καὶ ποσειδῶνος. ἐργῖνος δὲ ἀπόγονος, κλυμένου ὃς ἦν τοῦ πρέσβωνος καὶ βουζίγης τῆς λύκου. ὁ δὲ μίλητος, ἀφ' οὗ καὶ ἡ πόλις μίλητος, εὐξαντίου τοῦ μίνωος ἦν. οἱ δὲ φασὶν αὐτὸν ἀπόλλωνος καὶ ἀρείας τῆς κλεόχου. ἐκλήθη δὲ μίλητος, ὅτι ἐκρύβη ὑπὸ τῆς μητρὸς ἐν μίλακι. οἱ δὲ φασιν ὑπὸ σαρπηδόνος τοῦ διὸς μίλητον κτισθῆναι ὀνομασθεῖσαν ἀπὸ τῆς ἐν κρήτῃ. ὠνομάσθαι δὲ αὐτὴν πρῶτον λέγουσι πιτυοῦσαν. οἱ δὲ ἀστερίαν, εἶτα

ἀνακτόρειον, εἶτα μίλητον. καὶ ἀριστόκριτος φησὶν ὅτι ἀρεία θυγάτηρ ἐγένετο κλεόχου, ἧς καὶ ἀπόλλωνος γενέσθαι βρέφος, καὶ τοῦτο ἐκτεθῆναι εἰς μίλακα. τὸν δὲ κλεόχον ἀνελέσθαι καὶ ὀνομάσαι ἀπὸ τοῦ μίλακος μίλητον. τοῦτον δὲ ἀνδρωθέντα καὶ φθονούμενον ὑπὸ τοῦ μίνωος ἀναχωρῆσαι εἰς τὴν σάμον, ἀφ᾽ οὗ καὶ τόπος ἐστὶ μίλητος. καὶ ἀπὸ τοῦ σάμου μεταβὰς εἰς τὴν καρίαν, ἔκτισε πόλιν μίλητον, ἀφ᾽ ἑαυτοῦ καλέσας.

Ὁ δ᾽ ἰμβρασίης τὴν σάμον φησίν. ἴμβρασος γὰρ ποταμὸς σάμου, ὃς μετεκλήθη παρθένιος, διὰ τὸ ἐκεῖ παρθένον οὖσαν τετράφθαι τὴν ἥραν. καὶ καλλίμαχος μέμνηται. ὁ δὲ ταῤῥαῖος οὕτως. παρθενία δὲ ἡ σάμος ἀπὸ παρθενίας τοῦ σάμου γυναικὸς ὠνομάσθη.

Παρθενίης ἀγκαῖος. ἀριστοτέλης φησὶ περὶ ἀγκαίου ὅτι φιλογεωργὸς ὢν καὶ φυτεύων ἀμπελῶνα βαρέως ἐπέκειτο τοῖς οἰκέταις. εἷς δὲ τῶν οἰκετῶν ἔφη μὴ μεταλήψεσθαι τὸν δεσπότην τοῦ καρποῦ. ὁ δὲ ἀγκαῖος ἐπειδὴ ὁ καρπὸς ἐφθάκει χαίρων ἐτρύγα, καὶ τὸν οἰκέτην ἐκέλευσε κεράσαι αὐτῷ. μέλλων δὲ τὴν κύλικα προσφέρειν τῷ στόματι, ὑπεμίμνησκεν αὐτὸν τοῦ λόγου. ὁ δὲ ἔφη πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. τούτων ἔτι λεγομένων, ἧκέ τις ἀγγέλλων ὡς ὑπερμεγέθης σῦς λυμαίνεται τὸν ὄρχατον. ὁ δὲ ἀγκαῖος ἀποβαλὼν τὴν πόσιν, ἐπὶ τὸν σῦν ὥρμησε. ὃ πληγεὶς ὑπ᾽ αὐτοῦ ἐτελεύτησε. ὅθεν ἡ παροιμία ἐπὶ τῶν παρὰ προσδοκίαν τι πραττόντων. καὶ φερεκύδης ἐν τῇ η. φησὶ τὸν ἀγκαῖον ὑπὸ τοῦ καλυδωνίου σὸς πληγέντα τὸν μηρὸν ἀποθανεῖν. Ἀλλὰ ἔθισε

σα. θῆσσα ἡ δούλη. ἀθηναῖοι δὲ καὶ τὰς πενιχρὰς γυναῖκας θήσσας λέγουσιν, ἀπὸ τοῦ θητεύειν ἐπὶ μισθῷ διὰ τὴν ἔνδειαν τῶν ἐπιτηδείων. καὶ ὥσπερ τὸ κρὴς παράγεται τὸ κρῆσσα, οὕτω καὶ τὸ θῆς θῆσσα. Ὠλενίοιο. ὤλενοι τῆς ἀχαΐας δύο. ὅμηρος. οἳ πλευρῶν' ἐνέμοντο καὶ ὤλενον. Ἀλθαία καὶ ἴφικλος ἀδελφοὶ ἐκ δηϊδαμείας τῆς περιήρους. Σιφλός. ἀντὶ τοῦ κεκακωμένος. οἱ δὲ τὸν κακότροπον καὶ ἐπιμωμητὸν ἀπέδοσαν. σίφλος δὲ ὁ μῶμος. Ἐκ δ' ἄρα φωκήων. οἱ φωκεῖς ἐκλήθησαν ἀπὸ φώκου τοῦ αἰακοῦ. τὸν δὲ ἴφιτον γενεαλογοῦσι ναυβόλου καὶ πολυνείκης τῆς ἱππομάχου. ἡ δὲ πυθὼ πόλις φωκίδος, ἔνθα τὸ μαντεῖον, ἀπὸ τοῦ πυνθάνεσθαι τῶν μαντειῶν οὕτω κληθεῖσα. ἢ ἀπὸ τοῦ ἐκεῖ σεσῆφθαι τὸν δράκοντα.

33 Ζήτης αὖ καλαΐς τε. τούτους ἐκ διαφόρων τόπων συμπλεῦσαι τοῖς ἀργοναύταις φασίν. οἱ μὲν γὰρ ἐκ θράκης, ὡς ἀπολλώνιος, ἡρόδωρος δὲ ἐκ σκυλίδος. δοῦρις δὲ ἐξ ὑπερβορέων. καταλέγει δὲ τούτους καὶ ἀντίμαχος. φανόδικος δὲ ἐν α. δηλιακῶν, ἐξ ὑπερβορέων αὐτοὺς ἐλθεῖν ἐπὶ τὸν πλοῦν. τὴν δὲ ὠρείθυιαν σιμωνίδης ἀπὸ βειλισσοῦ φησιν ἁρπαγεῖσαν, ἐπὶ τὴν σαρπηδονίαν πέτραν τῆς θράκης ἐνεχθῆναι. ἔστι δὲ καὶ τῆς κιλικίας ὁμώνυμος, ὡς καλλισθένης. στησίχορος δὲ ἐν τῇ γηρυονίδι καὶ νῆσόν τινα ἐν τῷ ἀτλαντικῷ πελάγει σαρπηδονίαν φησί. περὶ δὲ τῆς θρακίας σαρπηδονίας πέτρας, ὅτι πρὸς τῷ αἵμῳ ὄρει. ὅτι φερεκύδης φησὶ περὶ τῆς ἁρπαγῆς ἱστορῶν τῆς ὠρειθυίας. χοιρίλος δὲ ἁρπασθῆναί φησιν αὐτὴν

ἄνθη ἀμέλγουσαν ὑπὸ τὰς τοῦ κηφισοῦ πηγάς. ἡ σα-
γόρας δὲ ἐν τοῖς μεγαρικοῖς, τὴν ὠρείθυιαν ἁρπά-
σαντα βορέαν, υἱὸν στρυμόνος φησίν, οὐχὶ δὲ τὸν ἄνε-
μον. ἡ δὲ ὠρείθυια ἐρεχθέως θυγάτηρ, ἣν ἐξ ἀττικῆς
ἁρπάσας ὁ βορέας ἤγαγεν εἰς θράκην. κἀκεῖσε συν-
ελθὼν ἔτεκε ζήτην καὶ κάλαϊν, ὡς σιμωνίδης ἐν τῇ
ναυμαχίᾳ. φινεὺς δὲ κλεοπάτραν τὴν ὠρειθυίας
πρώτην ἔγημεν, μετὰ ταῦτα δὲ ἰδαίαν τὴν δαρδά-
νου, ἥτις ἀπεχθῶς ἔχουσα πρὸς τοὺς προγόνους, λέγει
δὴ τοὺς ἀπὸ κλεοπάτρας υἱοὺς ἐπειρᾶτο τυφλῶσαι
αὐτούς. οἱ δὲ ὅτι ὁ πατὴρ ἐτύφλωσεν αὐτοὺς δια-
βαλλούσης τῆς μητρυιᾶς πρὸς αὐτόν. κέκροπος δὲ κού-
ρου, ὠρείθυια, πρόκεισ. ὠρειθυίας δὲ καὶ βορέου χιόνη
χθονία, κλεοπάτρα, ζήτης καὶ κάλαϊς. ὁ δὲ βορέας
ἰδὼν ὠρείθυιαν παίζουσαν ἐν τῷ ἰλισσῷ, ἠράσθη αὐ-
τῆς, ἐξ ἧς οὗροι. Κεκροπίηθεν. ἡ ἀκρόπολις τῆς ἀττι-
κῆς, κεκροπία ἐκαλεῖτο πρότερον. Σαρπηδονί-
ην ὄθι. πόλις τῆς ἀττικῆς, ἀπὸ σαρπήδονος τοῦ τῆς
θράκης βασιλέως ἀδελφοῦ πόλτυος. τὰ δὲ ἐφε-
ξῆς προσέθηκεν, ἐπεὶ καὶ ἑτέρα ἐστὶ σαρπηδονία πέτρα
τῆς κιλικίας. Ἐπ' ἀκροτάτοισι ποδῶν. τοῖς σφυροῖς,
ἢ τοῖς ἀστραγάλοις. Ἐρεμνὰς δὲ, ἤτοι κατὰ συγκο-
πὴν ἐρεβεννάς. τοῦτ' ἔστι καταπληκτικάς. σκοτεινὰς
κυρίως, ἐξ οὖν μελαίνας. Λυγαίοις, σκοτεινοῖς,
κατὰ μετωνυμίαν. λύγος γὰρ τὸ σκότος, ἀπὸ τοῦ λύ-
γου τοῦ φυτοῦ, ὅπερ ἐστὶ πυκνὸν καὶ δασύ. Φολίδεσσι,
ταῖς στίξεσι τοῖς ποικίλμασι τῶν πτερῶν. Ὑπάτης
δ' ἐξ, ἄκρας κεφαλῆς. ὁ δὲ λόγος. ἔσειον ἐρυμνὰς πτέ-

ῥύγας κινούμενοι καταπληκτικὰς τὸ ἰλέαθη.

14. Οὐδὲ μὲν οὐδ' αὐτοῖο πάϊς. Ἄκαστος πελίου υἱὸς ἐστὶν, ὃν κρηθηΐδα, ἢ ὥς τινες ἱππολύτην. ἡ δὲ πηλέως ἐρασθεῖσα αὐτοῦ ὡς ἀπετύγχανε δεομένη, προλαβοῦσα τὸν πηλέα τῷ ἀνδρὶ κατηγόρει, ὡς πειραθέντα αὐτῆς. ὁ δὲ ἐξαγαγὼν τὸν πηλέα ὡς ἐπὶ θήραν εἰς τὸ πήλιον, κατέλιπεν αὐτὸν ἄοπλον ἐν τῷ πηλίῳ, ἵνα ὑπὸ θηρίων διαφθαρῇ. ἐπιστὰς δὲ ὁ ἑρμῆς, ἢ ὥς τινες χείρων, ἔδωκεν αὐτῷ ἡφαιστότευκτον μάχαιραν, ἧ τά τε ἐπιόντα τυγχάνων τῶν θηρίων ἀνῄρει, καὶ εἰς τὴν πόλιν ἐπανελθὼν, τήν τε ἀκάστου γυναῖκα, καὶ αὐτὸν ὥς φασί τινες ἀνεῖλε τὸν ἄκαστον. εἰ δὲ ἐπὶ κίνδυνον αὐτὸν ἔπεμπεν ὁ πελίας, διότι ὁ υἱὸς αὐτοῦ ἐξήρχετο. Καὶ οὗτος μὲν φησὶν ἄκοντος τοῦ πατρὸς δημαίνητος ὅτι ἐκέλευσεν ὁ πελίας τὴν ἀργὼ ἀραιοῖς γόμφοις παγῆναι, ἵνα ταχέως ἀπολέσῃ αὐτούς. ὁ δὲ ἄργος τοὐναντίον πεποίηκεν, ὃ δὴ πιστὸν ἔχων παρὰ τοῦ τέκνου ὁ ἄκαστος ἐπέβη. διὸ οὖν ὁ ποιητὴς φησὶν ἀθηνᾶς ὑποθημοσύνῃσι γενέσθαι αὐτήν. Ἄργος τε θεᾶς, διὰ τὸ τὴν ἀργὼ κατασκευάσαι ἀθηνᾶς προνοίᾳ. Ἐπεὶ μινύαο θυγατρῶν. ὁ γὰρ μινύας πολλὰς εἶχεν θυγατέρας. καὶ γὰρ ὁ ἰάσων ἀλκιμέδης ἐστὶ τῆς κλυμένης τοῦ μινύου θυγατρός. στησίχορος ἐτεοκλυμένης φησίν. φερεκύδης δὲ ἀλκιμέδης τοῦ φυλάκου. ἡσιόνης δὲ τοῦ δαναοῦ καὶ διὸς γίνεται ὀρχομενός. ἀφ' οὗ καὶ ἡ πόλις ὀρχομενὸς καλεῖται. ὀρχομενοῦ δὲ καὶ ἑρμίππης τῆς βοιωτοῦ γίνεται μινύας ἐπίκλησιν· φύσει δὲ ποσειδῶνος,

ὃς οἰκεῖ ἐν ὀρχομενῷ. ἀφ' οὗ ὁ λαὸς μινύαι ἐκλήθησαν. ἐκ δὲ μινύου καὶ κλυτοδώρας γίνεται πρέσβων καὶ περικλυμένη καὶ ἐτεοκλυμένη. ἐκ δὲ φανοσύρας τοῦ παίονος ἢ μινύου πάλιν ὀρχομενὸς καὶ διοχθώνδης καὶ ἀθάμας. ὁ δὲ σκήψιος δημήτριος φησὶ τοὺς περὶ τὴν ἰωλκὸν οἰκοῦντας μινύας προσαγορεύεσθαι. Παγασαί. ἀκρωτήριον μαγνησίας. ὠνομάσθη δὲ ἀπὸ τοῦ ἐκεῖ πεπῆχθαι τὴν ἀργώ. ὁ δὲ σκήψιος, ἀπὸ τοῦ πηγαῖς περιρρέεσθαι τοὺς τόπους. ἔστι δὲ καὶ παγασαίου ἀπόλλωνος ἱερόν. Ἀστέρες ὥς νεφέεσσι. πρὸς τὸ γένος καὶ τὴν τύχην ἢ τὴν ἀνδρείαν ἀπιδών. ἀστέρας μὲν τοὺς ἥρωας φησί. νεφέλας δὲ τὸν δημοτικὸν ὄχλον. Πόθι τόσσον ὅμιλον. οὐχ ὑπῶς τὸ πόθι. ἔστι δὲ τὸ ἐν τόπῳ σχέσεως δηλωτικόν. τὸ δὲ ἔκποθι βάλλει, ἀντὶ τοῦ ἀποστέλλει. παναχαιίδα δὲ τὴν θεσσαλίαν φησίν. ὅτι αὕτη πρώτη ἐκλήθη ἀχαΐα, ἀπὸ ἀχαιοῦ τοῦ ξούθου. Πυρὶ δηώσειαν. συμπλέξειαν, ἢ πολεμήσειαν, καταστρέψειαν. δόμοις δὲ τὴν χώραν τὴν γῆν συνεκδοχικῶς. Ἀλλ' οὐ φυκτὰ κέλευθα. ἀλλ' οὐκ ἐκφεύξιμος αὐτοῖς ἡ ὁδός. κατ' ἀνάγκην γὰρ ἔσται. οὐδὲ ἄπρακτος ὁ ἄθλος. ἀνύσιμος γὰρ ῥᾳδίως, οἷον εὐκατορθώτως. ἢ οὐ φυκτὰ, οὐκ εὔπλοα, διὰ τοὺς ἐν μέσῳ κινδύνους. Πόνος δ' ἀπρήκτος ἰοῦσιν. ἤγουν ἐν τῷ πλῷ ὁ κίνδυνος. ἢ κατὰ κοινοῦ τὸ, οὐ, ἵν' ᾖ, ἀλλ' οὐ φυκτὰ κέλευθα. οὐδὲ ὁ πόνος ἄπρακτος.

Πρὸς δ' αὐτῆμαρ δὲ δόμοις ὀλοῷ πυρὶ δηώσειαν αἰνῆ τείσω. ὅτε μή σφιν ἑκὼν δέρος ἐγγυαλίξῃ. οἱ δὲ ὄντως ἀπρήκτους δύσπρακτος, δυσεργὴς, δυσκατόρθωτος.

δωρε. Νόστοιο τέλος θυμηδές, θυμῆρες, καὶ τοῦτο ὡς πρὸς γυναικείαν φύσιν ἄγαν θαυμαστῶς πρὸς τὰς φύσεις, καὶ τοὺς λόγους ἀμφοτέρων ἀνέπλασεν. τοῖς μὲν γὰρ ἀνδράσιν, ἐπεὶ θρασυτέρα ἡ φύσις, ἀνιαρὸν τὸ τέλος τῶν μελλόντων εἰσάγει. ταῖς δὲ γυναιξίν, ἐπεὶ ἀσθενέστεραι, εὐχὰς καὶ ἱκεσίας ποιεῖ. τοιαῦται γὰρ ἐπὶ τῶν μεγάλων καὶ φοβερῶν πραγμάτων αἱ γυναῖκες.
Δειλὴ Ἀλκιμέδη, ἐπίηνε. ὁ δὲ νοῦς εἰ καὶ ὀψὲ ὅμως δ' οὖν ἦλθε καὶ σοὶ κακὸν Ἀλκιμέδη, λείπει δὲ ἡ διὰ πρόθεσις. καὶ οὐ διετέλεσας λαμπρῶς τὸν βίον αὐχοῦσα ἐπὶ τοιούτῳ υἱῷ. Ἦ τέ οἱ ἦεν, πρὸ τοῦ τὸν ἆθλον ἐπιστῆναι. κακῶν δέ ἄρτι τῶν ἰδίων ἢ τῶν μελλόντων ἐπιτελεῖσθαι τοῖς Ἀργοναύταις.
Ὡς ὄφελεν καὶ Φρίξον. λέγεται γὰρ ὅτι τῆς Ἕλλης καταπεσούσης ἀγωνιῶντι τῷ Φρίξῳ κατὰ Διὸς βούλησιν ἐφθέγξατο θαρσύνων αὐτὸν ὁ κριός, διασώσειν αὐτὸν εἰς τὴν Σκυθίαν. τοῦτο δὲ αὐτῇ τῇ Ἀλκιμέδῃ ἔμελλε κακὸν γενέσθαι τοῦ υἱοῦ ἐκεῖσε στελλομένου. ὅτι δὲ ἐλάλησεν ὁ κριὸς καὶ Ἑκαταῖός φησιν. ἔνιοι δέ φασιν αὐτὸν ἐπὶ κριοπρῴρου σκάφους πλεῦσαι. Διονύσιος δὲ ἐν β. κριὸν φησὶ Φρίξου τροφέα γενέσθαι, καὶ συμπεπλευκέναι αὐτῷ εἰς Κόλχους. διὸ καὶ μεμύθευται τὰ περὶ τῆς τοῦ κριοῦ θυσίας αὐτόθι.
Ἐπὶ προμολῇσι τῇ ἐξόδῳ τῶν ἀριστέων. ἀπὸ τοῦ εἰς τὸ πρόσθεν μολεῖν. ἐντεῦθεν καὶ τὰς πρώτας προφάσεις τῶν ὀρῶν προμολὰς λέγουσι. Βεβολημένη. λύπῃ βλαβεῖσα, ἢ δυσθυμοῦσα. Ὀξὺ δ' ἐκάστην. μετενήνεκται ἀπὸ τῶν κατὰ τὴν ἀφήν,

ὡς παρ' Ὁμήρῳ, ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξύ. ἄχος δέ ἐστι σύγχυσις ψυχῆς λύπῃ ἐπιτεταμένη. σαφὲς δὲ ἐκ τοῦ λέγειν τὸν ποιητήν, ἡ δ' ἄχει οὗ παιδὸς ἀπέφθιτο. Ἐντυπὰς ἐν λεχέεσσιν. ἄγαν περιεσφιγμένος ὡς πάντα τὰ μέλη ἐκτυπωθῆ ἐκ τῆς σφίγξεως. Ὅμηρος ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος. ἐντυπὰς δὲ λέγεται καὶ ὁ περιβεβλημένος κατὰ τῆς ὄψεως οὕτως, ὡς καὶ τὸν τύπον διὰ τοῦ ἱματίου θεωρεῖσθαι. Κατηφέες, κατάστυγνοι διὰ τὴν λύπην. τὸ δὲ εἴκηρον παθητικὸν ἀντὶ ἐνεργητικοῦ κεῖται τοῦ ἤειρον ἐπιχεύαρ, ἀντὶ τοῦ ἐπέθηκεν, ἐπέβαλεν. Ἀλγινώτερον. ὅμοιον τὸ σχῆμα τῷ μελάντερον ἠΰτε πίσσα. τὸ δὲ συγκριτικὸν ἔλαβεν ἀντὶ τοῦ ἀπολελυμένου. Ἥ τε κούρη. ἀκαταλλήλως τὴν παραβολὴν πεποίηκεν. ὑποτίθεται γὰρ γραῦν μὲν τὸν Ἰάσονα, κόρην δὲ τὴν μητέρα. ἔδει δέ φησι κατὰ τὸ ἐναντίον ταῦτα τάξαι. ἀλλ' ἐροῦμεν ὅτι προσφόρως ὑπόκειται ὁ Ἰάσων, οὐ κατὰ τὴν ἡλικίαν, ἀλλὰ κατὰ τὴν γηροκομίαν τῇ μητρί. καὶ γὰρ ἡ γραῦς τὴν κόρην ἀνατρέφει, ὡς ἡ μήτηρ πρός τε τὸ ἀφορέτερον διὰ τὴν ἡλικίαν. καὶ γὰρ τὸ γῆρας καὶ ἡ βραχεῖα ἡλικία παρεοίκασιν εἶναι πρὸς τὸ χρήζειν τῆς τρεφούσης. μητρυιὰ δὲ ὥσπερ ἀπηνὴς ἐπικειμένη ἐστίν, ὁ Πελίας. τὸ δὲ κηδεμονήων κατὰ πλεονασμὸν ἀπὸ τοῦ κηδεμόνας. οὕτω δὲ λέγονται οἱ κατὰ γάμον οἰκεῖοι οἱ κηδεσταὶ ἢ κηδόμενοι. Ἢ οὐκ εἰσί, ταῦτα εἶναι πρὸς τὴν Ἀλκιμέδην, ἢ οὐκ εἰσὶν ἄλλοι παῖδες. Βίοτον βαρύν. λείπει τὸ οὖσα. ὑπὸ μητρυιὰν οὖσα κακὴν ζωὴν διά-

γει.

γι. τίθεται δὲ τὸ εἴσοπα καὶ ἐπὶ τῆς ζωῆς, ὡς νῦν καὶ ἐπὶ τοῦ πλούτου. τὸ δὲ ἠπηλάζει ἀντὶ τοῦ ἠπηλάσκει κατὰ τοῦ αὐτοῦ πράγματος κεῖται. δηλοῖ δὲ τὸ ἐπὶ τῶν αὐτῶν τὸ περιπατεῖν καὶ ἐνέχεσθαι ἀντὶ ἐν τοῖς αὐτοῖς ἀναστρέφεσθαι. ἐπὶ δὲ τῶν μηλῶν φησὶν Ὅμηρος. αἵ τε κατὰ σταθμὸν περιμηκύον ἠλάσκουσι. καὶ ὅπῃ κεῖνος ἐμὸν μένος ἠλασκάζει. ἐκφλύξαι. ἀντὶ τοῦ εἰπεῖν. φλύζειν δὲ κυρίως τοὺς λέβητας φαμὲν νομιζομένους ἀναβάλλειν τῇ θερμότητι τὸ ὕδωρ. παρασπᾶται δὲ τὸ ὀρεχθεῖν ὡς πνεῖν. ἔστι δὲ μίμημα φωνῆς ἀνάρθρου. Ὅμηρος. πολλοὶ μὲν βόες ὀρέχθεον. δεῖ δὲ μᾶλλον ἀκούεσθαι ἀντὶ τοῦ στένειν, ἀλλὰ καὶ ἀντὶ τοῦ τραχύνεσθαι. Ὅμηρος. ἐν ἄλγεσι θυμὸν ὀρέχθων. ἔοικε δὲ τὸ μὲν περισπώμενον εἶναι ἀπὸ τοῦ ο, τὸ δὲ βαρύτονον ἀπὸ τοῦ ε, ἐρέχθω. Ὀδαλίνη, πάνυ τετυρημένως. ἀδύνατον γὰρ μητέρα εἰς τοσοῦτον κίνδυνον ἀξιοῦντος τοῦ παιδὸς μὴ κλαίειν. ἐπεὶ οὐ μὲν, πρὸς τὸ παρ' Ὁμήρῳ. οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.

16 Ἀχαιιάδεσσι, ταῖς Θεσσαλαῖς, ἀπὸ Ἀχαιοῦ τοῦ Φθίου. Ὅμηρος. μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί. Δμωὶς ὅπως, ἐν τῇ προεκδόσει οὕτως ἔχει, δμωὶς ὅπως κεν ἐοῖσι βιώσομαι ἐν μεγάροισιν. ἀντὶ τοῦ ἑξῆς οὕτως ὀϊζυρὴ Ἀχαιιάσι δυσάμμορος. εὕρηται δὲ καὶ οὕτως. σεῖο πόθῳ φίλε κοῦρε δυσάμμορος ὦ ἀπὸ μούνῳ. ἐπὶ ἄρρενος δεῖ νοεῖν. εἶχε γὰρ ἀντὶ ἀδελφὴν Ἰάσονι Ὑπολύτην, ὥς φησιν Ἴβυκος. Μίτρην πρῶτον ἔλυσα. λύουσι γὰρ τὰς ζώνας αἱ πρώτως τίκτουσαι, καὶ ἀνατιθέασιν Ἀρτέμιδι.

ποιεῖν καὶ λιθοζώνης ἀρτέμιδος ἱερὸν ἐν ἀθήναις. Κινύρετο, ἐθρήνει. κυρίως δὲ κινύρεσθαί ἐστιν τοῦ βοός, καὶ εἴρηται παρὰ τὸ κινεῖν τὴν οὐρὰν ἐν τῷ μυκᾶσθαι. καὶ ἀπορίων δὲ εὑρὼν τὴν ἐτυμολογίαν παρὰ ἀπαλλοτριοῦ ρῶ ταύτην. ὅτι ταῦρος λέγεται παρὰ τὸ τείνειν τὴν οὐρὰν, μετέθηκε τὴν εὕρεσιν διὰ ἐτυμολογίας. Ἐπισχεδὸν, ἐφεστηκυῖα. Ὡδε λίην, πάνυ τεθλιμμένως, ἀδύνατον τὴν μητέρα εἰς τοσοῦτον κίνδυνον ὄντος τοῦ παιδὸς μὴ κλαίειν. Ἐπεὶ οὐ μὴν, πρὸς τὸ παρ' ὁμήρῳ. οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο. Ἀλλ' ἔτι κεν, πρὸς τὸ ὁμηρικὸν καὶ τοῦτο. πρίν τι κακὸν ἄλλο παθῆσθαι. Ἄρσιο, λάβοι, ὅθεν καὶ τὸ ὄναρ τινὲς ἐτυμολογοῦσιν ἀπὸ τοῦ λαμβάνειν καὶ ὠφελεῖσθαι ἐν πολέμῳ. ὁ δὲ λόγος ἐπὶ κακῷ κακὸν ἀποίσης. Ἀνιάζουσά περ. ὁ περ σύνδεσμος τίθεται πολλάκις ἀντὶ τοῦ γε, καὶ δή. μὴ δ' οὕτως ἀγαθός περ ἐών. οὕτως ἀρίσταρχος ἀπέδωκεν. ἐν γὰρ τῷ ἀγαθός περ ἐὼν, τὸν περ μεταλαμβάνει εἰς τὸν δή. καὶ ἐνταῦθα γοῦν τὸν περ μεταλαμβάνει εἰς τὸν δή. ἀπαθὸς δὴ ὢν, καὶ φυγόντι περ αἰπὺν ὄλεθρον. φυγόντι δὴ τὸ ἑξῆς οὕτως, τὴν μοῖραν κατὰ θυμὸν ἀνιάζουσα ὅμως τλῆθι φέρειν. Ἔχει, ἀντὶ τοῦ ἐχρηματίσθη σε πολλὰ τῆς ναυτιλίας. Ἀτὰρ μετέπειτά γε. ἐπὶ δὲ τοῖς προειρημένοις τῇ τε ἀθηνᾷ καὶ ταῖς θεοπροπίαις ἔτι θάρσει καὶ ἐπὶ τῇ τῶν ἀριστέων ἀρωγῇ τῇ τ' ἐστὶ βοηθείᾳ. Ἀλλὰ σὺ μέν. παρὰ τὸ ὁμηρικὸν, ἀλλ' εἰς οἶκον ἰοῦσα. Μὴ δ' ὄρνις. πάλιν τὸ ὁμηρικόν. μηδέ μοι αὐτὴ ὄρνις ἀεικελίη. Κεῖσε δ' ὁμαρτήσειον,

ἀκεῖσε εἰς τὴν κολχίδα, ἢ εἰς τὸν λιμένα. τὸ δὲ ὁ-
μαρτεῖν ἐνταῦθα μὲν τὸ ἀκολουθεῖν, ἀλλαχοῦ δὲ καὶ τὸ
ὁμοῦ τυχεῖν. ἔται δὲ αὐτοὶ οἱ ἑταῖροι. οὐκ ἔστι δὲ συνώ-
νυμος ἡ λέξις, κατὰ ἀποκοπὴν δὲ διηνέχθη. πρῶτος
δὲ ὅμηρος κέχρηται λέγων, κασιγνήτοι τε ἔται τε. διὸ καὶ
κατὰ τὸ πλεῖστον ἐκ πλήρους ἐκφέρεται. οὐ γάρ μοι
πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι. Προτέρωσ', ἀν-
τὶ τοῦ εἰς τοὔμπροσθεν. ὅμηρος, οὐδ' ἄρα μοι προτέρω
17 νηὸς κίον. Οἷος δ' ἐκ νηοῖο. οἰκεία ἡ παραβολή. ὅ-
τε γὰρ ἰάσων νέος, καὶ ὁ ἀπόλλων νέος. Δῆλον ἀν ἠγα-
θέην. Δῆλος μία τῶν κυκλάδων νήσων ἱερὰ ἀπόλλω-
νος, ἡ πρὶν μὲν δῆλος, ὕστερον δὲ ἀστερία διὰ τὸ χῆ-
μα. πάλιν δὲ ὀρτυγία ἀπὸ τῆς ἀδελφῆς τῆς λητοῦς.
Ἢ ἐκλάρον, κλάρος πόλις πλησίον κολοφῶνος, ἱε-
ρὰ ἀπόλλωνος, καὶ χρηστήριον τοῦ θεοῦ ἀπὸ μαντοῦς τῆς
τειρεσίου θυγατρὸς καθιδρυμένον. ἢ ἀπὸ κλάρου τι-
νὸς ἥρωος ὡς θεόπομπος. νέαρχος δέ φησιν ὅτι κα-
τὰ κλῆρον ὁ ἀπόλλων ἔλαχε τὴν πόλιν. καὶ ἀπὸ τοῦ
κλήρου οὕτως αὐτὴν ὠνομάσθη. οἱ δὲ τὴν θηβαΐδα
γεγραφότες φασὶν ὅτι ὑπὸ τῶν ἐπιγόνων ἀκροθίνιον
ἀνετέθη μαντὼ ἡ τειρεσίου θυγάτηρ εἰς δελφοὺς πε-
μφθεῖσα. καὶ κατὰ χρησμὸν ἀπόλλωνος ἐξερχομέ-
νη περιέπεσε ῥακίῳ τῷ λέβητος υἱῷ μυκηναίῳ τὸ γέ-
νος, καὶ γημαμένη αὐτῷ. τοῦτο γὰρ περιεῖχε τὸ λόγιον
γαμεῖσθαι ᾧ ἂν συναντήσειεν. συναπῆλθεν ἐκείνῳ εἰς
κολοφῶνα, κἀκεῖ δυσθυμήσασα, ἐδάκρυσε διὰ τὴν
τῆς πατρίδος πόρθησιν. διὸ τὸ ὄρος ὠνομάσθη κλά-
ρος, ἀπὸ τῶν δακρύων. συγγενὲς γὰρ τὸ λ, τῷ ρ.

ὡς ὑδρηλοὶ ἀντὶ τοῦ ὑδρηροί. λέγεται δὲ καὶ κρήνην ἀναβλύσαι ἀπὸ τῶν δακρύων μαντοῦς κατὰ κλάρον. καὶ μαντεῖον ἐκεῖ ἀπόλλωνος αὐτὴν καταστῆσαι. οἱ δὲ κλάρον φασὶ κληθῆναι διὰ τὸ κληρώσασθαι ἐκεῖ ποσειδῶνα καὶ ἄρην. ὁ δὲ ἱέρακος οὕτως ὠνομάζετο διὰ τὴν πενιχρότητα καὶ κακοδαιμονίαν. Κεκλομένων, πάντων ὁμοῦ κελευομένων καὶ ἐπευφημούντων. Τῷ δὲ ξύμβληντο, τούτῳ ξύμβολον ἀγαθὸν, ὅτι τε γεραιὰ, καὶ ὅτι ἱέρεια ἡ ἰφιάς. Σὺ δ᾽ ἔκφᾶσθαι, προσληπτέον τὸ καὶ, ὅμως δὲ τὸ λαλῆσαι προθυμουμένη οὐκ ἔφθασε. τὸ γὰρ ἔμπης νῦν ἀντὶ τοῦ ὅμως. Δειδέχατο. ἐδεξιοῦντο, ἢ προσεδέχοντο. Καταβλώσκοντας, κατερχομένους, καταμολίσκοντας, τὸ β, ἀντὶ τοῦ μ. συγγενὲς γὰρ τὸ β, τῷ μ. ὅθεν καὶ ὁ ψωμὸς βλωμὸς ἀπὸ τοῦ βλώσκειν διὰ τοῦ λαιμοῦ, ὅ ἐστι κατέρχεσθαι. καὶ πίτυν βλωθρὴν ὅμηρος τὴν ἄχρι τοῦ αἰθέρος μολίσκουσαν. Δέρμα δὲ ὁμοῦ, σύνηθες τοῖς ἥρωσι τὸ δερμαφορεῖν.

18 Εὐστείρης, εὐστρόπιδος. Οἰήια δὲ τὰ πηδάλια οἷον οἰήσια, ἐπειδὴ οἰήσεως χρεία τῷ κυβερνήτῃ. οἱ δὲ γλωσσογράφοι τοὺς οἴακας. Νήεον αὐτόθι, ὠκοδόμουν, κατεσκεύαζον. ἀπὸ τῶν λίθων συνθέσεως. ἢ ἐστὶ νήησις, ἢ ἐσώρευον, ἔνθεν καὶ νηδύς. καὶ ναῦς ἐν ᾗ σωρεύεται ὁ φόρτος. Ἐπακτίου ἐπάκτιος ὁ ἐν τῇ ἀκτῇ τιμώμενος. Τείως δ᾽ αὖτ᾽ ἀγέληθεν. ἐν τοσούτῳ, ἐν ὅσῳ ταῦτα ἐποίουν, ἡ δὲ πρὸ πρόθεσις νῦν ἐστι τόπου δηλωτική, ἀντὶ τοῦ εἰς τὸ ἔμπροσθεν. ὡς τὸ ἐκ δ᾽ ἄγαγε προδόμου δέ. Δύω βόε.

εἰκότως

εἰκότως ἐπὶ δυσὶ προσηγορίαις ἀκτίου ἐμβασίου τε. Δύο βοῦς ἀγρίων. Κουρότεροι. ἐπεὶ ἴσως ἀεὶ νέος ὁ θεὸς, καὶ οἱ τῶν ἑταίρων νεώτεροι τὴν θυσίαν ἐπιτελοῦσιν. καὶ ὅμηρος περὶ τῆς τῶν νέων θυσίας. κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο. ἤτοι τὸν συγκριτικῶς ἐστὶν ἢ πρωτοτύπως. Χέρνιβα. χέρνιβα μὲν οἷς τὰς χεῖρας νίπτουσιν. οὐλοχύτας δέ οἱ μὲν τὰ κανᾶ. ἐπεὶ δι' αὐτῶν φέρεται τὰ πρὸς θυσίαν. οἱ δὲ τὰς κριθάς, ἐπειδὴ οὐλὰς ἐνέβαλλον τοῖς βωμοῖς. Αἰσωνίδα. αἰσωνὶς πόλις τῆς μαγνησίας, ἀπὸ τοῦ πατρὸς ἰάσονος, ὡς καὶ πίνδαρος φησὶ καὶ φερεκύδης. Ἀνίων καὶ πείραθ' ὁδοῖο. ἄνιων τὴν ἐνέργειαν, ἢ τὴν ταχυτῆτα. ὅμηρος. οὐκ αὐύω φθονέεσθαι. Πείραθ' ὁδοῦ, αὐτὸν τὸν πλοῦν καὶ τὸ πέρας τῆς ὁδοῦ. Ἐπαίτιος, διὰ τὸ χρησμωδῆσαι τῷ πελίᾳ. ῥηρεικῶς δὲ ὥσπερ αἰτίῳ γινομένῳ τοῦ πλοῦ τῷ θεῷ. καὶ τὸ πᾶν πρᾶγμα ἀνατίθησιν ὡς πρὸς οἰκεῖον. Ἑλλάδα. ἑλλάδα οἱ μὲν τὴν φθίαν φασὶ συνωνύμως. ἡμεῖς δὲ χώραν ὑπολαμβάνομεν εἶναι ἑλλάδα, οὐ μέχρι γε τὴν αὐτὴν τῇ φθίᾳ, ἐνταῦθα δὲ καὶ ὅλην τὴν ἑλλάδα. Ὀρτυγίην. περὶ τῆς ὀρτυγίας φανόδικος ἐν τοῖς δηλιακοῖς ἱστόρηκεν. καὶ νίκανδρος ἐν τρίτῃ αἰτωλικῶν. ἐκ τῆς ἐν αἰτωλίᾳ ὀρτυγίας φησὶ τὴν δῆλον ὀνομασθῆναι, γράφων τάδε. οἱ δ' ἐξ ὀρτυγίης πτηνίδος ὁρμηθέντες. οἱ μὲν, τὴν ἔφεσον. οἱ δέ, τὴν πρότερον δῆλον καλουμένην. ἄλλοι δὲ τὴν ὁμοτέρμονα σικελίας νῆσον. ὅθεν

ὀρτύγιαι πᾶσαι βοῶνται. καὶ ἡ δῆλος τὴν οὐχ ὡς μεμύθευται ἀπὸ τῆς ἀστερίας μεταμορφώσεως τῆς ἀδελφῆς. ἀλλὰ καθὸ πᾶσαι αἱ ὀρτυγίαι ἀττικίαι εἰσὶ τῆς κατ' ἀνατολὴν ὀρτυγίας. Ἐπίβαθρα, ἐπιβατήρια. χάριν δὲ, μισθόν, νῶι ὑπὲρ τοῦ ἐπιβῆναι νῦν πρώτον τῆς νεώς. Προτιθείμεθα. ἀντὶ τοῦ ποιοῦμεν. θεῖναι γὰρ τὸ ποιῆσαι. Προχύτας, οἱ μὲν τὰς κριθάς. οἱ δὲ τὸ ὕδωρ ὃ εἰώθασιν ἐμβάλλειν εἰς τὸ οὖς τοῦ ἱερείου πρὸ τοῦ ἐπινεύειν τὸ ἱερεῖον. λείπει δὲ ἡ σύν. τὸ ζώσασθαι ἀντὶ τοῦ ἀναθῆναι ἢ ἑρμαθῆναι. σημαίνει δὲ καὶ τὸ ὁπλίσασθαι. Χαλκείῳ πελέκει. ἀπολλώνιος φησὶν ἐν πρώτῳ τῶν ὑπομνημάτων, τὸν σίδηρον ὑπὸ τῶν ἀρχαίων χαλκὸν λέγεσθαι, ἀγνοῶν ὅτι μηδέπω εὑρεθέντος σιδήρου χαλκῷ ἐχρῶντο, ὡς καὶ ἡσίοδος φησί. χαλκῷ δ' εἰργάζοντο. μέλας δ' οὐκ ἔσκε σίδηρος. Περιῤῥηδὴς κραέασιν, ἐπὶ πρόσωπον μεθ' ὁρμῆς κατενεχθείς. ἐπιῤῥαπεὶς εἰς ῥύμην ποθεν. ἢ ἐπενεχθείς. ὡς καὶ παρὰ τῷ ποιητῇ. περιῤῥηδὴς δὲ τραπέζῃ κάππεσεν. ὁ εὐρύμαχος ἀντὶ τοῦ περιφερόμενος. τὸ κατὰ κύκλον πεσεῖν οὕτω λέγεται. νῦν δὲ ἀντὶ τοῦ ἐπενεχθεὶς εἰς τὸ ἔμπροσθεν. Δημῷ. τῷ ἐπίπλῳ ἐνειλοῦσι τὰ ἱερεῖα, ἵνα εὐκαέστατα ὦσι. Θηεύμενος. τὸ θηεῖσθαι ὅμηρος ἐπὶ τοῦ θαυμάζειν τίθησιν. θηήσαντες ἔλαφον. ὁ δὲ ἀπολλώνιος ἐπὶ τοῦ βλέπειν. Ἑλίκεσσι ταῖς τοῦ καπνοῦ συστροφαῖς. Πορφυρέαις. πρὸς τὸ φυριζούσαις, ταῖς τοῦ πυρὸς καμπαῖς, καὶ εἰλίσσουσιν αὐτὸν

ου πρ

ον πορφυρίζουσιν. ἐν ἄλλοις δὲ ἡ φράσις. Κῶας ἄ-
γοντας. ἔδει ἀποδοῦναι εἰπεῖν πρὸς τὸ ὑμῖν. καὶ ὁ ποι
ητὴς δὲ, αἰεί τοι φίλον ἐστὶν ἐμεῦ ἀπονόσφιν ἐόν
τα. Ασίδος. ἡ ἀσία ὠνομάσθη ἀπὸ ἀσίας τῆς προ
μηθέως μητρὸς ἢ ἄτλαντος. οἱ δὲ ἀπὸ τοῦ πολλὴν
ἄσιν ἔχειν. Ωδε κακοῖσι δεδαώς. οὐκ ἐν τοῖς καθό
λου, ἀλλ' ἐν τοῖς ἐμοῖς βλαβεροῖς. ὑπερβατὸν δέ
ἐστι, καὶ πλεονάζει ὁ καὶ, σύνδεσμος. λείπει δὲ ἡ διὰ
πρόθεσις. καὶ ἐνήλλακται γενικὴ ἀντὶ δοτικῆς. ἔστι
δὲ καὶ τὸ ῥῆμα συντελικὸν ἀντὶ τοῦ ἐξῆλθον. ὁ δὲ λό-
γος οὕτως. ἔμπροσθεν ἐκ κακῶν οἰωνῶν ἐγνωκὼς
τὸν ἐμαυτοῦ μόρον ἐξῆλθον ἐκ τῆς πατρίδος, ἵνα ὑμῖν
συμπλεύσας κλέος ἀπενέγκωμαι. Οφ' ἐπιβαί
ην. ὑπερβατόν ἐστι. τὸ δὲ ἑξῆς ὄφ' ἐπιβαίην νηός. ἐ-
πιβάντι δὲ τῆς νηὸς ἡ εὐδοξία τοῖς οἴκοις λίπειρ.

19 Σταθερόν, ἀντὶ τοῦ καυματηρὸν καὶ θερμόν. λέγε-
ται δὲ τὴν μεσημβρίαν ἐκ τοῦ συμβαίνοντος, ἐπειδὴ ἡ
μεσουρανήσας ὁ ἥλιος θερμαίνει πάντα, διὰ τὸ
πανταχόθεν ἐπίσης ἀπέχειν τῶν ὑποκειμένων. ἢ
δηλονότι τὸ ἑστηκέναι. ἥττον γὰρ δοκεῖ τότε κινεῖσθαι ὁ ἥλι
ος. Πολιοῦ. δηλονότι τὸ λευκαίνεσθαι ὑπὸ τῶν κυμά-
των κλυζόμενον. Φυλλάδα δὲ τὴν στιβάδα τῶν
φύλλων. Λαρόν. παρὰ τὸ λίαν ἀρηρός. ἢ παρὰ
τὸ λῶ τὸ θέλω πεποίηται. ἡσίοδος δέ φησι λα
ροῖς περὶ, τοῖς κατ' ὄψιν ἡδέσιν. Εψιόωνται.
παρὰ τὴν ἑψίαν, ἥ ἐστι δηλονότι λόγων παιδιά, οἷον ἐπε
σία τὶς οὖσα παρὰ τὸ ἔπος, διὸ καὶ ψιλοῦται.
ὅτε δὲ συνίεται ἀντὶ τοῦ ἀκολουθοῦσιν.

Ααπς. ἢ ἄπαν βλαπτική. τὸ δὲ α, τὸ πρῶτον, ἐπί-
τασίς ἐστιν, ὡς ἀχανὲς, καὶ ἀτενές.. Πορφύρεσκεν.
ἀντὶ τοῦ κατὰ βάθους ἐνεθυμεῖτο. πορφύρα γὰρ εἶ-
δος ἰχθύος ἐν βάθει τῆς θαλάσσης εὑρισκόμενον.
ἐμεμέριμνα γοῦν ὁ τὸν τῆς γῆς καὶ τὸν θαλάσσης κίν-
δυνον. Ζεὺς τόσον. περὶ τοῦ κύκλωπος ὅμηρος.
οὐδ' ἂν ἐγὼ διὸς ἄχθος ἀλευάμενος πεδίοι-
μην. διὰ τούτων αὐτοῦ ἡ ὑπερηφανία δηλοῦται. καὶ
ὅμηρος δὲ ἀσεβῆ αὐτὸν λέγει. καί ῥα ἄνακτος ἐ-
ναντίον εἷλκετο τόξον. Τοῖόν μ' ἀρήνηθεν. ἀρήνη
πόλις πελοποννήσου. νῦν δὲ εἰδράνα λέγεται ὥς
φησι πείσανδρος. φησὶ δὲ ὑπερηφάνως ὡς οὐ φέρεις
μεσ ὑμπόλων, ἀλλὰ βοηθόν. Καλίκρητον. τὸν
ἄκρατον. τὸν χαλῶντα τὰς φρένας. ἀθηναῖοι δὲ
τὸν ἄκρατον χάλιν λέγουσιν. αἰσχύλος δὲ καὶ τὰς
βάκχας χαλιμίας φησὶ λέγεσθαι. Ἰδμέων δὲ οἰ-
κείως τὸν ἴδμονα ὡς μάντιν ὄντα ποιεῖ ἐναντιού-
μενον τῷ ἴδᾳ ἐχθρῷ ὄντι ἀπόλλωνι. Οἰδάνει.
ἐπαίρει, μετεωρίζει, θρασύνει, ἐνδρητικῶς. ἡ δὲ
μεταφορὰ ἀπὸ τῆς θαλάσσης ὅταν ἄρξηται μετεω-
ρίζεσθαι. τὸ ἐπιφλύειν ἀντὶ τοῦ φλυαρεῖν καὶ λοιδο-
ρεῖν. Ἀλωϊάδας, τὴν περὶ τούτων ἱστορίαν ὁ ὅ-
μηρος οἶδεν. ἐρασθείσης δὲ ποσειδῶνος αὐτούς φη-
σι. διὰ δὲ τὸ ἀνατετράφθαι ὑπὸ τοῦ ἀλωέως γυ-
ναικὸς, μυθευθῆναι ὡς ἀλωέως εἰσὶν υἱοί. ἡσίο-
δος δὲ ἀλωέως καὶ ἰφιμεδείας κατ' ἐπίκλησιν.
ταῖς δὲ ἀληθείαις, ποσειδῶνος καὶ ἰφιμεδείας αὐ-
τούς. καὶ ἄλλον πόλιν αἰτωλίας ὑπὸ τοῦ πατρὸς αὐ-

τῶν

τοῦ ἐκτίσθη, ἧς ὅμηρος μνημονεύει. οἵ τ' ἄλλον εἶχον.
20 Ἐκ δὲ γέλασσε. τὸ τοῦτο κουφότητος σημεῖον. εἴπε τὸ ἰσοκράτης φησί. μήτε γέλωτα προπετῆ στέργε. Κερτομίοισιν. εἰρωνευτικοῖς. τὸ κέαρ τέμνειν τὸ λυπεῖν δυναμένοις. ἐπιλλίζων δὲ τοῖς ὀφθαλμοῖς. ἐπιμωκώμενος. ἐπιλλοὶ γὰρ οἱ στραβοί. Ἀγρεῖ νῦν. δι' ἀμφοτέρων ἐπισκώπτει τὸν ἴδμονα. πρότερον μὲν, ὡς ἀτεχνῆ μάντιν. δεύτερον δὲ, ὡς μέγα φρονοῦντα ὑπὲρ ἀπόλλωνι θεῷ παρὸ ὡς μέγα δυναμένῳ τοὺς αὐθάδεις καθαιρεῖν. τοῦτο δὲ μετὰ ἀπειλῆς δρᾷ λοιδορῶν. Χρειὼ δηλοῖ ἢ τὸ μετὰ χρείαν καὶ μοῖραν λεγόμενον καὶ τὸ μέλλον. μεταμώλιοι δὲ, μεταμελείας ἄξιοι. γράφεται δὲ καὶ μεταμώνιον, ὅ ἐστι μάταιον. μετὰ ἀνέμων φερόμενον. ἀπὸ γενικῆς πληθυντικῆς γίνεται κτητικὸς, τύπος εἰς ος, διὰ τοῦ ι, παραληγόμενος, οἷον ἄμμων ἀμμώνιος, ἀνέμων, ἀνεμώνιος. Χώετ' ἐνιπτάζων. ἐχολοῦτο καὶ ὠργίζετο κακολογῶν καὶ μεμφόμενος. Λαιῇ. κατ' εὐφημισμόν. τῇ ἀριστερᾷ. πείραζεν δὲ, ἀντὶ τοῦ ἥρμοττεν. περιττὴ δὲ ἡ ἀνά. τὸ δὲ ἑξῆς. ἢ ὀρφεὺς δὲ εἰ μὴ ὅτι. ἐκ τοῦ ἄνω, τὸ ἀναστὰς λέγει. ἀναστὰς δὲ ἢ ὁ ὀρφεύς. ὅρα δὲ τὸ τῆς μουσικῆς χρήσιμον εἰπεῖν τὰς στάσεις καὶ τὰς φιλονεικίας καταπαύει. Ἤειδεν δ' ὡς γαῖα. τὴν πρώτην σύγχυσιν τῶν στοιχείων ᾄδειν βούλεται ὡς ἐκ τινος φιλονεικίας τὸ ἴδιον ἕκαστον μετέχειν τὸ τάξιν ἔλαβεν. οἰκεία δὲ τὸ τοῖς ὑποκειμένοις πράγμασιν ἡ ᾠδή. ὅτι περὶ τῶν

ὅτι τῆς μάχης παύσασθαι, καὶ εἰς τὴν οἰκείαν διάθεσιν ἐπανιέναι. Νείκεος δὲ ὀλοοῖο. ἐμπεδοκλῆς φησὶν ὅτι συγκεχυμένων ἁπάντων τὸ πρότερον νεῖκος καὶ φιλία παραπεμφθέντα, τὴν διάκρισιν ἐποιήσαντο. χωρὶς γὰρ τούτων οὐδὲν δύναται γενέσθαι, ὥσπερ καὶ ὡς εἰκὸς μηδὲ ἀπολωλέναι. ὁ δὲ θαλῆς ἀρχὴν ὑπεστήσατο πάντων τὸ ὕδωρ, λαβὼν παρὰ τοῦ ποιητοῦ λέγοντος. ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε. καὶ ζήνων δὲ τὸ παρ' ἡσιόδου χάος ὕδωρ εἶναι φησί. οὗ συνιζάνοντος ἰλὺν γίνεσθαι. ἧς πηγνυμένης ἡ γῆ στερεμνιοῦται. τρίτον δὲ ἔρωτα γεγονέναι καθ' ἡσίοδον, ἵνα τὸ πῦρ παραστήσῃ. πυρωδέστερον γὰρ τὸ πάθος ἔρως. ἀναξαγόρας δὲ μύδρον εἰπὼν τὸν ἥλιον φησὶν, ἐξ οὗ τὰ πάντα γίνεσθαι. διὸ καὶ εὐριπίδης γνώριμος αὐτοῦ γεγονὼς χρυσέαν βῶλον τὸν ἥλιον εἶπε. τὴν δὲ σελήνην ὁ αὐτὸς ἀναξαγόρας χώραν πλατεῖαν ἀποφαίνεται, ἐν ᾗ δοκεῖ ὁ νεμαῖος λέων πεπτωκέναι. Δικταῖον. τὸ κρητικὸν ἔνθα ἀνετράφη ὁ ζεὺς, ὡς καὶ καλλίμαχος ἱστορεῖ. Οὔρεα. δύο φησὶ τοὺς ὑπὸ τῶν γιγάντων κατενεχθέντας λίθους, τοὺς μὲν εἰς τὴν θάλασσαν πεσόντας γενέσθαι νήσους, τοὺς δὲ εἰς τὴν γῆν ὄρη.

21 Τοὶ δ' ἄμοτον. ἀντὶ τοῦ ἀμότως καὶ ἀκορέστως. ὁ δὲ νοῦς. λήξαντος δὲ τοῦ ᾠδοῦ, ἀπλήρωτοι αὐτοῦ ὄντες ἔτι προσετάκησαν τὰς κεφαλὰς ἀναπεπτακότες τὰ ὦτα καὶ ἠρεμοῦντες ἐν ἡσυχίᾳ. τοιαύτῃ ἡδονῇ συνείχοντο. Κηληθμῷ. ἐν δὲ τῇ προ-

εκδόσει

ἐκδόσει μὲν οὕτω γέγραπται. ἦμος δὲ τριτάτη φά-
νη ἠώς. τῇ δ' ἐπὶ νύκτα βαθύσιον ἐκάριο κατ'
αὐτόθι δαινυμένοισι, τῆμος ἄρ' ἐκ δηόθεν πνοιὴ πέ-
σεν. ὦρρ δὲ τῖφυς κεκλόμενος βαίνειν ἐπὶ σέλ-
μασι. τοί δ' ἀΐοντες. ἑξῆς δὲ τῶν ἐκκειμένων, σμερ-
δαλέον δὲ λιμήν. Οὐδ' ἐπὶ δὴν μετέπειτα. οὕ-
τως ἀναστρεπτέον τὴν φράσιν, ἔπειτα οὐκ ἐπὶ δὴν
οὐδὲ μετὰ χρόνον κεράσαντες. ἀντὶ τοῦ εὐθέως καὶ
μετ' ὀλίγον. Ἡ θέμις, ὅτι ἔθος ἦν τοῖς παλαιοῖς
κρατῆρα κιρνᾶν, ὅτε μέλλοιεν καθεύδειν, καὶ τὰς
γλώσσας τῶν ἱερείων ἐπιθύειν τῷ ἑρμῇ, καὶ ἐπι-
σπένδειν οἶνον, καὶ ἴσως φυσικῶς. ἐπεὶ γὰρ ὁ ἑρμῆς λό-
γος εἶναι παραδέδοται, ὄργανον δὲ αὐτοῦ ἡ γλῶσσα,
ἡ δὲ τοῦ ὕπνου ἐπιπεσόντος ἠρεμεῖ, εἰκότως τῷ ἑρ-
μῇ αὐτὴν θύουσιν. καὶ ὅμηρος, γλώσσας δ' ἐν πυρὶ
βάλλον. Διευχίδας δὲ ἐν τοῖς μεγαρικοῖς ἱστορεῖ, ὅ-
τι ἀλκάθους ὁ πέλοπος διὰ τὸν χρυσίππου φόνον
φυγαδευθεὶς ἐκ μεγάρων, ἀπήρχετο κατοικήσων
εἰς ἑτέραν πόλιν καὶ δὴ περιπεσὼν λέοντι λιμαι-
νομένῳ τὰ μέγαρα, ἐφ' ὃν καὶ ἕτεροι ἦσαν ἀπεσταλ-
μένοι ὑπὸ τοῦ βασιλέως τῶν μεγάρων, καταγωνίζε-
ται τοῦτον. καὶ τὴν γλωττίαν αὐτοῦ εἰς πήραν θέμενος ἐ-
πανῆλθεν αὖθις εἰς τὰ μέγαρα. καὶ ἀπαγγελλόν-
των τῶν ἀπεσταλμένων ἐπὶ τὴν θήραν, ὅτι αὐτοί εἰσιν
οἱ καταγωνισάμενοι τὸ θηρίον, προσκομίσας τὴν
πήραν ἤλεγξεν αὐτούς, διόπερ θύσας τοῖς θεοῖς, ὁ βα-
σιλεὺς τὸ τελευταῖον τὴν γλῶσσαν ἐπέθηκεν τοῖς
βωμοῖς. καὶ ἀπὸ τότε ἔθος τοῦτο διέμεινεν μεγαρεῦσι.

Φιλόχορος δὲ ἐν τῷ περὶ θυσιῶν φησὶν ὅτι τὸ κάλλιστον τοῦ σώματος ἡ γλῶττα πρωτεῦόν ἐστι. καὶ ὅμηρος. ἀλλ' ἄγε τάμνετε γλώσσας, ἀντὶ τοῦ παύετε τὰς λέξεις. Ἐν γάρ οἱ δόρυ. πιθανῶς ἐκ τῆς δωδωνίδος φησὶ δρυὸς τὸ ξύλον εἶναι ἐν τῇ ἀργοῖ τὸ φωνῆεν. ἐπεὶ ἡ αὐτὴ ἐφθέγγετο, ὥς φησιν ὅμηρος. ὄφρα θεοῖο ἐκ δρυὸς ὑψικόμοιο διὸς βουλὴν ἐπακούσαι. Οἱ δ' ἀνὰ σέλματα. τὰς τῶν ἐρετῶν καθέδρας τὰ σελιδώματα. καθόλου δὲ τὸ πλατὺ ξύλον σέλμα λέγεται καὶ σελίδωμα. ὅθεν καὶ τὰς σελίδας τῶν ῥαψῳδιῶν διὰ τὸ πλάτος φαμέν. Ποσσὶν ὑπεκλύσθη. ἡ αὐτῷ ἐπικαθισθέντι κάτωθεν περὶ τοῖς ποσὶ μᾶλλον ἐπεκλύσθη ἡ τρόπις τῆς νεώς. ἡ ἐν βάθει τῆς θαλάσσης ἐγένετο τῷ βάρει τοῦ ἥρωος.

22 Ἢ ἐνὶ πυθοῖ. ἐν τῇ δήλῳ. τὸ δὲ ἑξῆς οὕτως. καθάπερ οἱ θεοὶ ἐν δελφοῖς, ἢ ἐν δήλῳ, ἢ ἐν ἰσμηνῷ περὶ τὸν βωμὸν τοῦ ἀπόλλωνος χορὸν στήσαντες πρὸς τὸ τῆς κιθάρας μέλος ἡρμοσμένως κροτοῦσιν τοῖς ποσὶν, οὕτω καὶ οὗτοι τῇ τοῦ ὀρφέως κιθάρᾳ κηλούμενοι σφοδρότερον πρὸς τὴν κωπηλασίαν ἤεσαν. τὸ δὲ ἑξῆς ὁμοῦ τῇ ῥήσσωσιν. ἡ δὲ ὑπὸ πρόθεσις περιττῶς παρ' ὁμήρῳ, ὑπαὶ πόδα νείαρον ἴδης. Ἰσμηνοῖο. ἰσμηνὸς ποταμὸς βοιωτίας. ἀφ' οὗ ἰσμηνίου ἀπόλλωνος ἱερόν. Κηκίεν ἅλμη. ἀνέδιδε, καὶ ἐνεπήδα ἑκατέρωθεν τῆς νεὼς ἡ θάλασσα. Μορμύρουσα. δεινῶς ταρασσομένη, καὶ κινουμένη φοβερῶς. ἐν δὲ τῇ προεκδόσει μορμύρου.

μύρκοσα τυπῆσιν ἐυσθενέων μελέει ἀνδρῶν. Τεύχεα, εἰς κόσμον τῆς νεὼς εἰώθασιν ὅπλα προστιθέναι. Μακραὶ δ' αἰεί. ὁ νοῦς, ἐλευκαίνετο δὲ τὸ ὕδωρ καθάπερ ἀτραπὸς διὰ χλοηφοροῦντος πεδίου ἢ ἄλλως ὡς δήλη ἐστὶν ἡ ὁδὸς πεδίου μεταξὺ χλοηφόρου. οὕτω καὶ ὁ τύπος τῆς νεὼς ἐφαίνετο. Πάντες δ' οὐρανόθεν. διὰ τούτου ἐβεβαιώσατο καὶ τοὺς θεοὺς σκοπεῖν καὶ θαυμάζειν τὸν πλοῦν. οὐ γὰρ ἁπλῶς τινες καὶ οὗτοι ἦσαν, ἀλλ' ἡμίθεοι. τὸ δὲ νῆα ὑπὸ ἀθηνᾶς εἰργασμένην πρὸς πᾶν ἑαυμα κεῖται. Ἀθηναίης ἰτωνίδος. γράφεται καὶ τριτωνίδος. ἰτωνίας δὲ ἀθηνᾶς ἐστὶν ἱερὸν ἐν κορωνείᾳ τῆς βοιωτίας. ὁ μέν τοι ἀπολλώνιος οὐκ ἂν λέγοι τὴν ἀθηνᾶν ἐπὶ τῇ κατασκευῇ τῆς ἀργοῦς ἀπὸ τῆς ἐν ἰτωνίᾳ κλήσεως. μᾶλλον δὲ ἀπὸ θετταλικῆς ἰτωνίας, περὶ ἧς ἑκαταῖος μὲν ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν λέγει. ἀρμενίδας δὲ ἐν τοῖς θηβαϊκοῖς ἀμφικτύονος υἱὸν ἴτωνον ἐν θετταλίᾳ γεννηθῆναι, ἀφ' οὗ ἴτων πόλις καὶ ἰτωνὶς ἀθηνᾶ. μέμνηται καὶ ἀλέξανδρος ἐν πρώτῳ καρικῶν ὑπομνημάτων. Πολιῇ δ' ἐπὶ κύματος ἄχνῃ. τῷ αἰγιαλῷ ἔνθα τὰ κύματα προσιαίνονται. Στάφυλος ἐν θετταλικοῖς φησιν ἰξίονος υἱὸν εἶναι χείρωνα, ὥσπερ καὶ τοὺς λοιποὺς τῶν κενταύρων. ὁ δὲ τὴν γιγαντομαχίαν ποιήσας, φησὶν ὅτι ὁ κρόνος μεταμορφωθεὶς εἰς ἵππον ἐμίγη φιλύρᾳ τῇ ὠκεανοῦ. διόπερ καὶ ἱπποκένταυρος ἐγεννήθη ὁ χείρων. τούτου δὲ γυνὴ χαρικλώ. εἰκότως δὲ παρεισήνεγκεν εἰκόνα τοῦ χεί-

ρωνος, καὶ ὅτι φιλάνθρωπος, καὶ ὅτι δικαιότατος κενταύρων. καὶ διὰ τὴν οἰκειότητα τὴν εἰς τὸν Ἰάσονα. παρ' αὐτοῦ γὰρ ἔμαθε τὴν ἰατρικήν. ὅθεν καὶ Ἰάσων ἐκλήθη παρὰ τὴν ἴασιν. Πηλείδην Ἀχιλλῆα. ἠκολούθησεν Ἀπολλώνιος τοῖς μεθ' Ὅμηρον ποιηταῖς, ὑπὸ Χείρωνος λέγων τὸν Ἀχιλλέα τραφῆναι. Ὅμηρος δὲ οὐδὲν τοιοῦτον λέγει. διαπεφωνήκασι δὲ καὶ περὶ τοῦ αὐτοῦ μητρός. ἐκεῖνος μὲν πανταχοῦ Θέτιδος αὐτὸν ἀποφαίνεται. Λυσίμαχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ δευτέρῳ τῶν νόστων κατὰ λέξιν λέγων. Σαΐδας μὲν καὶ Ἀριστοτέλης οἱ περὶ Εὐβοίας πεπραγματευμένοι. καὶ ὁ τοὺς Φρυγίους λόγους γράψας, καὶ Δαΐμαχος καὶ Διονύσιος ὁ Χαλκιδεὺς οὐ τὴν περὶ Ἀχιλλέως διεσπαρμένην ἀφῆκαν ἡμῖν τῆς χώρας δόξαν, ἀλλὰ τοὐναντίον. οἱ μὲν ἐκ Θέτιδος αὐτὸν νομίζουσι γεγενέναι τοῦ Χείρωνος. Δαΐμαχος δὲ ἐκ Φιλομίλας τοῦ Ἄκτορος. ἄλλοι δ' ἄλλως περὶ αὐτοῦ ἀποφαίνονται.

23 Μεσόδμη. ἡ ἱστοδόκη, ὅπου τίθεται ὁ ἱστὸς καὶ κλίνεται. Προτόνοις δὲ τὰ ἐξ ἑκατέρου μέρους τοῦ ἱστοῦ ἐπὶ τὴν πρῷραν καὶ τὴν πρύμναν ἐκτεινόμενα σχοινία. ἠλακάτη δὲ λέγεται τὸ λεπτότατον καὶ ἀκρότατον μέρος τοῦ ἱστοῦ κατὰ Ἐρατοσθένην, ὑπὲρ ὃ ἐστὶ τὸ καρχήσιον. ἰκρίον δέ, οἱ μὲν μέρος τοῦ ἱστοῦ λέγουσι. βέλτιον δὲ νοεῖν ἰκρίον τὴν καλουμένην κεραίαν, ὡς τὰ ἄκρα, ἀκρότερα λέγοντες. λέγεται δὲ ἰκρία καὶ τὰ σανιδώματα, οἷς οἱ πάσσαλοι προσήκονται. προτόνας δὲ τοὺς πασσάλους τοὺς

ὑπὸ

ὸς, ὃς ἐν μαγνήσῃ τῇ πόλει ἀπώλετο. καὶ αὐτό-
θι τάφον παρὰ τῷ αἰγιαλῷ ἔσχεν. ὡς κλέων ἐν
πρώτῳ τῶν ἀργοναυτικῶν. τοῖς μὲν τῶν κατοιχο-
μένοις ὡς περὶ ἡλίου δυσμὰς ἐναγίζουσι. τοῖς δὲ
οὐρανίδαις ὑπὸ τὴν ἕω ἀνατέλλοντος τοῦ ἡλίου.
ἔντομα δὲ τὰ σφάγια κυρίως τὰ τοῖς νεκροῖς ἐνα-
γιζόμενα διὰ τὸ ἐν τῇ γῇ αὐτῶν ἀποτέμνεσθαι τὰς
κεφαλάς. οὕτω γὰρ θύουσι τοῖς χθονίοις. τοῖς δὲ οὐ-
ρανίοις ἄνω ἀναστρέφοντες τὸν τράχηλον σφά-
ζουσιν. ὅμηρος. αὖ ἔρυσαν μὲν πρῶτα. ἄλλοι δὲ
ἔντομα φασὶν τοῖς τεθνεῶσιν ἐνάγιζον ὡς ἄγονα
τοῖς ἀγόνοις. τοῖς δὲ οὐρανίοις θεοῖς ἔνορχα ἔθυον.
λείπει δὲ ἡ παρὰ πρόθεσις ἵν᾽ ᾖ ἔθυον τῷ δόλοπι
παρὰ τῷ οἴδματι τῆς θαλάσσης. Ἐλινύεσκον.
περὶ τὸ αὐτὸ διέτριβον. ἢ ἐστρεύοντο ἐμποδιζόμενοι
τῆς ὁδοῦ. Μελίβοια, πόλις θεσσαλίας.

24 Ὁμόλην. ὁμόλη ὄρος θεσσαλίας οὕτω κα-
λούμενον ἢ πόλις θράκης. οὐδέ τι δηρὸν, ὁ λό-
γος, οὐκ ἔμελλον μετὰ πολὺ παρέρχεσθαι τὰ ῥεύ-
ματα τοῦ ποταμοῦ. τὸ δὲ ὑπεκβαλέειν, τὸ ἀμεῖ-
ψαι τὰ ῥέεθρα τοῦ ἀμύρου ποταμοῦ σημαίνει. εὐρυ-
μενὰς δὲ φάραγγας τὰς εἰς τὸ πλάτος ἀνεω-
γμένας. Ἀμύροιο ῥέεθρα. ἄμυρος θεσσαλίας πο-
ταμὸς ἐκρέων μετὰ τὴν μελίβοιαν κείμενος. προ-
σαγορευόμενος ἀπὸ ἀμύρου τοῦ υἱοῦ ποσειδῶνος.
ἔστι δὲ καὶ πόλις αὐτόθι. Ὄσσης. ὄσσα ὄρος πρὸς
τῷ τέλει τῆς θεσσαλίας. μεθ᾽ ὃ διαδέχεται ἡ μα-
κεδονία. Κλίτεα δὲ τὰς ἀνακλίσεις τῶν ὀρῶν

οὕτω γὰρ καὶ τὴν αἴγυπτον ἠερίαν φασίν. ἢ ἠερία ἀντὶ τοῦ πρωΐα, ἀπὸ τοῦ ἦρι. Πελασγιδῶν. τῶν θετταλῶν, ἀπὸ πελασγοῦ τοῦ ἰνάχου. ἢ ἀπὸ πελασγῶν ἔθνους βαρβαρικοῦ οἰκήσαντος τὴν θετταλίαν καὶ τὸ ἀρχαῖον. ἢ ἀπὸ πελασγοῦ τοῦ ποσειδῶνος υἱοῦ καὶ λαρίσης. στάφυλος δὲ ὁ ναυκρατίτης, πελασγόν φησιν ἀργεῖον τὸ γένος, μετοικῆσαι δὲ εἰς θετταλίαν, καὶ ἀπ' αὐτοῦ πελασγίαν τὴν θετταλίαν κληθῆναι. ὅτι δὲ καὶ αὐτοὶ οἱ ἀργεῖοι ἐκαλοῦντο πελασγοί, σοφοκλῆς ἐν ἰνάχῳ φησί, καὶ οἱ τυρσηνοὶ δὲ πελασγοί. Ἐρίπνας. ἀπορρῶγας, κολώνας, σκληρὰ καὶ κρημνώδη. λέγονται δὲ οὕτω καὶ τὰς οἰκίας ἀπὸ τοῦ ἐρηρέφθαι. ἐρίπνη δὲ λέγεται διὰ τὸ τὰ ἀκρωτήρια παρὰ τὸ ἄγαν πνέεσθαι. Σηπιάς. ἀκρωτήριον ἐν ἰωλκῷ οὕτω καλούμενον, διὰ τὸ τὴν θέτιν ἐνταῦθα εἰς σηπίαν μεταβληθῆναι διωκομένην ὑπὸ πηλέως. Εἰναλίη σκίαθος. ἡ παραθαλασσία. νῆσος γὰρ ἡ σκίαθος παρὰ θετταλίας. ἐγγὺς εὐβοίας. ἧς καὶ σιμωνίδης μέμνηται. Πειρεσιαὶ δὲ πόλις μαγνησίας. μάγνησσα δὲ πόλις τῇ χώρᾳ ὁμωνύμως ἅπαν εὔδιος καὶ παραθαλάσσιος. Μάγνησσα. τὴν μαγνησίαν λέγει τὴν κατὰ θετταλίαν. ἔστι δὲ καὶ ἑτέρα μαγνησία περὶ ἔφεσον, ἐκτισμένη ὑπὸ λευκίππου τοῦ καρὸς μετοικήσαντος ἐκεῖ σὺν μάγνησι τοῖς ἐκ κρήτης. μάγνησσά θ' ὑπεύδιος. ὁ νοῦς, οὐ τραχεῖά τις, οὐδὲ πετρώδης, ἀλλ' ὁμαλής τις καὶ εὔδιος. Καί μιν κυδαίνοντες. τὸν δόλοπα, ὁ δὲ δόλοψ ἑρμοῦ υἱ

ός,

ἐκεῖθεν αἰχμαλώτους λαμβανόντων, καὶ ἀποστρεφομένων τὰς γνησίας γαμετὰς, κατὰ τὴν τῆς θεοῦ ὀργὴν ἐψηφίσαντο αἱ γυναῖκες νύκτωρ τοὺς ἄνδρας ἀνελεῖν. καὶ οὐ μόνον τούτους ἐπρίνσαν, ἀλλὰ καὶ τὰς αἰχμαλώτους ἀνεῖλον. δείσασαι δὲ μὴ οἱ παῖδες ἀνδρωθέντες τιμωρήσονται αὐτὰς, πᾶν ὁμοῦ τὸ ἄρσεν γένος ἀνεῖλον. Ἀντιπέρηθεν. ἀπεναντίας. οὕτω γὰρ κεῖται ἡ θράκη τῆς λήμνου. Ληΐδας τὰς αἰχμαλώτους. Ἄτισαν, οὐκ ἐτίμησαν. ἰστέον δὲ, ὅτι τῶν ἄλλων ἱστορούντων, ὅτι κατὰ χόλον τῆς ἀφροδίτης αἱ λημνιάδες δύσοσμοι ἐγένοντο, μυρτίλος ἐν πρώτῳ λεσβικῶν διαφέρεται, καὶ φησὶ τὴν μήδειαν παραπλέουσαν διὰ ζηλοτυπίαν ῥῖψαι εἰς τὴν λῆμνον φάρμακον, καὶ δυσοσμίαν γενέσθαι ταῖς γυναιξίν. εἶναί τε μέχρι τοῦ νῦν κατ' ἐνιαυτὸν ἡμέραν τινὰ, ἐν ᾗ διὰ τὴν δυσωδίαν ἀποστρέφονται τὰς γυναῖκας ἄνδρες τε καὶ υἱεῖς.

25 Οἴη δ' ἐκ πασέων. εἰκότως ἡ ὑψιπύλη οὐκ ἀπέκτεινε τὸν πατέρα. πρῶτον μὲν διότι πατὴρ ἔδωκε τὴν ὀφειλομένην τῷ Θόαντι σωτηρίαν. δεύτερον δὲ διὰ τὴν ἡλικίαν, καὶ ὅτι οὐκ αἴτιος ἦν αὐτοῖς οὐδὲ σύνεργος τῆς τῶν ἄλλων λημνιάδων ἀσελγίας. Ἐς Οἰνοίην ἐρύσαντο. εἴληφε τὴν ἱστορίαν παρὰ Θεολύτου. σίκινος δέ ἐστι νῆσός τις πρὸ τῆς εὐβοίας, τὸ πρότερον οἰνοίη καλουμένη, διὰ τὸ εἶναι αὐτὴν ἀμπελόφυτον. μνημονεύει δὲ τῆς μετονομασίας ξεναγόρας, λέγων, ὅτι μετωνο

καὶ βάσεις. παλλήνη δὲ ὄρος θράκης καὶ πόλις, ὅθεν ἦν πρωτεύς. κανάστρα δὲ ἀκρωτήριον τῆς παλλήνης. ὄλυμποι δέ εἰσιν ἕξ. μακεδονίας, θεσσαλίας, ἐν ᾧ καὶ ὀλύμπια φησὶν ἀπολλόδωρος ἄγεσθαι. μυσίας, κιλικίας, ἤλιδος, ἀρκαδίας. Ἄθω. ἄθως ὄρος θράκης ὑψηλότατον. ἡ δὲ διάνοια. ἅμα δὲ τῇ ἡμέρᾳ ὁ ἄθως αὐτοῖς ἀνεφάνη, ἀπέχων τῆς λήμνου τοσοῦτον, ὅσον ἂν ναῦς πλέουσα ἀπὸ ἠοῦς μέχρι μεσημβρίας πλοῦν ἀνύσῃ. καὶ τοσοῦτον φησὶν ἀπέχουσαν τὴν λῆμνον ὅμως σκιάζει, διὰ τὸ ὕψος παρακλίναντος τοῦ ἡλίου. οὐ μόνον δὲ, ἀλλὰ καὶ μέχρι μυρίνης. πόλις δέ ἐστιν ἡ μυρίνη πρὸς τῷ τέλει τῆς λήμνου. δίπολις γάρ ἐστιν ἡ λῆμνος. ἔχει γὰρ ἡφαιστίαν καὶ μυρίνην. ἐκλήθη δὲ ἀπὸ μυρίνης τῆς θόαντος γυναικὸς, κρηθέως δὲ θυγατρός. Καὶ ἐσάχρι. περιττὸς ὁ καὶ σύνδεσμος. Σιντηΐδα. ἐπιθετικῶς σιντηῒς ἡ λῆμνος. τυρσηνοὶ γὰρ αὐτὴν πρῶτοι ᾤκησαν βλαπτικώτατοι ὄντες. ἢ τὴν ὑπὸ τῶν βαρβάρων οἰκηθεῖσαν. καὶ ὅμηρος. ὠχόμεθ' ἐς λῆμνον μετὰ σίντιας ἀγριοφώνους. ἑλλάνικος δέ φησι σίντιας ὠνομάσθαι τοὺς λημνίους, διὰ τὸ πρώτους ὅπλα ποιῆσαι πολεμικὰ πρὸς τὸ σίνεσθαι τοὺς πλησίον καὶ βλάπτειν. Ἔνθ' ἄμυδις. αἱ λήμνιαι γυναῖκες ἐπὶ πολὺ τῆς ἀφροδίτης τιμῶν καταλιγωρήσασαι καθ' ἑαυτῶν τὴν θεὸν ἐκίνησαν. πάσαις γὰρ δυσοσμίαν ἐνέβαλεν, ὡς μηκέτι αὐτὰς τοῖς ἀνδράσιν ἀρέσκειν. τῶν δὲ πρὸς θρᾷκας ἐχόντων πόλεμον, καὶ πολλάκις

ἐκεῖθεν

ὠπλίζοντο. ἐπικτέταται δὲ τὸ τέως κείμενον ἀντὶ τοῦ ἕως. ἕως δή. Σφωϊτέροιο. ἀκαίρως τὸ δυϊκῷ ἐχρήσατο ἀντὶ ἑνικοῦ. Ἀπροφάτοις. ἀπροσφωνήτοις, ἀπροφασίστοις. Ἐπιδέδρομε λήθη. ὅτι λέγονται οἱ τεθνηκότες λήθην τῶν γενομένων αὖθις ἐν τῇ ζωῇ λαμβάνειν. οὗτος δὲ φησι καὶ τεθνηκὼς εἰς λήθην οὐκ ἔπεσεν. καὶ μεταμψυχωθεὶς κατὰ τὸν τῶν φιλοσόφων λόγον, ἤδη τις ἦν διὰ τὰς τοῦ ἑρμοῦ βουλάς. φερεκύδης δέ φησιν ὅτι δῶρον εἶχε παρὰ τοῦ ἑρμοῦ ὁ αἰθαλίδης, τὸ τὴν ψυχὴν αὐτοῦ, ποτὲ μὲν εἰς ᾅδου, ποτὲ δὲ ἐν τοῖς ὑπὲρ τὴν γῆν τόποις εἶναι. φασὶ δὲ τοῦτον τὸν αἰθαλίδην οἱ πυθαγορικοὶ διὰ ψυχῆς οὔσης ἀφθάρτου. κατὰ μὲν τοὺς τρωϊκοὺς χρόνους ἀναβιώσαντα εὔφορβον εἶναι τὸν πάνθου. ἔπειτα ἐκ τούτου πύῤῥον τὸν κρῆτα. εἶτα ἠλεῖον τινά, οὗ τὸ ὄνομα ἀγνοεῖται. μετὰ ταῦτα αὐτὸν τὸν πυθαγόραν. πυθαγόρας δὲ ἐν τῷ μεταβάλλεσθαι τὰς ψυχάς, καὶ περιεισδύειν εἰς ἕτερα σώματα φησίν, ὅτι γένοιτο μὲν πρῶτον αἰθαλίδης. εἶτα εὔφορβος τρώς. εἶτα ἑρμοῦ υἱὸς ὁ σαμίας ἑταίρας ὁ πυθαγόρας. τὴν δὲ μνήμην αὐτοῦ παρέπεσθαι τῷ κεχαρίσθαι ἑρμῆν τῷ αἰθαλίδῃ υἱῷ ὄντι. Μεμόρηται, κατὰ ἔκθλιψιν τοῦ ι. ἔστι γὰρ μεμοίραται, ἀντὶ τοῦ κεκλήρωται. αἰθαλίδης δὲ κῆρυξ τῶν ἀργοναυτῶν ἑτερήμερος ὥς φησιν. ὥστε μίαν μὲν ὑπὸ τὸν ᾅδην, μίαν δὲ ὑπὸ τὴν ἡμέραν διάγειν. Μειλίξατο. παρεκάλεσεν. ἔπει

μάθῃ ἀπὸ Σικίνου υἱοῦ Θόαντος καὶ Νηΐδος νύμφης. ὅτι δὲ ἐνθάδε Θόας ἐσώθη, καὶ Κλέων ὁ Κουριεὺς ἱστορεῖ. καὶ Ἀσκληπιάδης ὁ Μυρλεανός. δείκνυσιν ὅτι παρὰ Κλέωνος τὰ πάντα μετήνεγκεν Ἀπολλώνιος. Ἐπακτῆρσιν. ἀντὶ τοῦ ἁλιεῦσι. τοὺς νήσου κυνηγοὺς οὐ δεῖ λέγειν. Τῇσι δὲ βουκολίαι τε. λοιπὸν γὰρ διὰ τὸ ἀνδρῶν πολὺν χρόνον στερίσκεσθαι τὴν νῆσον ἡ πεῖρα αὐτὰς καὶ εἰς ἀνδρεῖον μετέβαλεν βίον καὶ ἐπιτήδευμα. Ἦ θαμὰ δὴ πάμπαν. ὁ ἦ σύνδεσμος ἰσοδυναμεῖ τῷ δή. ὥστε κεῖσθαι τὸν δὴ σύνδεσμον. ὡς παρ' Ὁμήρῳ, ἦ δὴ λοίγια. ἐκ παραλλήλου. Τῷ καὶ ὅτε. ἔλεγον γὰρ αὐτοὺς ὡς εἰς πόλεμον ἐλήλυθον. Μυρίνη πόλις ἐπὶ Λήμνου, ἧς καὶ ἀνωτέρω μέμνηται. Θυιάσιν ὠμοβόροις. μαινάσιν. ἔνθεν καὶ τὴν Σεμέλην Θυώνην καλοῦσιν, ἐπειδὴ Αἰσχύλος ἔγκυον αὐτὴν παρεισήγαγεν οὖσαν καὶ ἐνθεαζομένην. ὁμοίως δὲ καὶ τὰς ἐφαπτομένας τῆς γαστρὸς αὐτῆς ἐνθεαζομένας. Ἄλλως. μαινάσι. βάκχαις. καὶ ὅτι Σεμέλη Θυώνη παρὰ τὸ θύειν καὶ ὁρμᾶν, μαινομένας. τὸ δὲ ὠμοβόροις, ὅτι πολλάκις τῇ μανίᾳ κατασχεθεῖσαι καὶ ὠμοσπάρακτα ἐσθίουσιν, ὡς καὶ Εὐριπίδης ἐν Βάκχαις φησίν. Θοαντιάς. δύο τύποι εἰσὶ τῶν θηλυκῶν πατρωνυμικῶν. ὁ μὲν εἰς ας, οἷον Πελιάς, ὁ δ' εἰς ις, οἷον Πελοπίς. καὶ ταῦτα δὲ εἰς ας μεταβάλλει τὴν τελευταίαν, παρεντιθεμένου τοῦ ι, ἵνα μὴ εἴη κακόφωνα.

26 Τείως δ' αὖτ' ἐκ νηός. ἐν τοσούτῳ ἐν ὅσῳ αὗται

ὡπλίζον

μὴ ἐμβεῖναι. δεῖ δὲ τοῦ ὑποθέτου τοῦ γήρως τὸν λόγον ἐπὶ πλεῖον ἐκάκωσε, στυγερὸν γῆρας εἰπών. Βώσεσθε. ἀντὶ τοῦ βιώσεσθε. ὁ δὲ νοῦς. αἱ δὲ νεώτεραι πῶς βιώσεσθε, ἢ ζήσεσθε, ὅταν γηράσητε. τῶν μὲν παλαιοτέρων περιελθουσῶν, ὑμῶν δὲ λοιπὸν μὴ δυναμένων ἐργάζεσθαι. ἢ αὐτόματοι οἱ βόες ἀροτριάσουσι καὶ θερίσουσι τοὺς ἐνιαυτοὺς περιερχομένους, μηδενὸς ἀνθρώπου ὑποκειμένου τῷ ἔργῳ. Καὶ πρόκα. εὐθέως γράφεται καὶ περιτελλομένου ἔτεος. Ἡ μὲν ἐγών. ἐν ἤθει λέγει ταῦτα. εἰ καὶ πεφρίκασιν, οἷον φοβοῦνται ἐπ' ἐμὲ αἱ κῆρες ἐλθεῖν, νῦν ὅμως ἀποθανοῦμαι. λέγει δὲ τὸ ὑπεργεγηρακέναι. Αὕτως ἡ θέμις. οὕτως ὡς προσῆκόν ἐστιν. Ἐπήβολος. ἐπιτυχὴς ἢ κυρία ἐπιτυχεῖν τῶν καλῶν. ἢ ἀντὶ τοῦ διασώζουσα καὶ συμφέρουσα. Ληίδα. καταχρηστικῶς τὰ χρήματα. κυρίως δὲ τὰ ἐκ λαφυραγωγίας. Ἄστυ. ἐτυμολογεῖ ἐυμόλπος τὴν λέξιν, ἄστυ λέγων παρὰ τὸ ἵστασθαι. ἐπὶ μετεώρου γὰρ κεῖνται αἱ πόλεις. Ἡδὲ μενοινή. ἀντὶ τοῦ βουλή. ἀστείως δὲ ἐπεὶ αὐτῇ ἤρεσε τὰ λεχθέντα, ἵνα μὴ ὥσπερ ἀκολασίαν κατηγορῆται τὴν κοινὴν πασῶν ἐπικαλεῖται μαντείαν. Καὶ ἄγγελον μετὰ νῆα. ἀντὶ τοῦ ὑπὸ τὴν ναῦν. περὶ τοῦτο δὲ ὁ καὶ σύνδεσμος. Ὄρσο μοι Ἰφινόη. τὸ ἑξῆς ὄρσο μοι Ἰφινόη τοῦ δ' ἀνέρος ἀντιόωσα, ὅστις στόλου ἡγεμονεύει ἡμέτερον δὲ μολεῖν. τὸ δὲ ἀντιόωσα ἀντὶ τοῦ ἀντιάσουσα, οἷον ἀξιώσουσα, τουτέστι δεησομένη. στόλος δέ ἐστιν ἐπὶ πρᾶξίν τινα πορευόμενον πλῆθος, εἴτε ἐπὶ

στι γὰρ λόγῳ συνεστὼς ὤν, καὶ γέγονε παρὰ τὸ ὁμηρι-
κόν. ἐσθλὸν καὶ τὸ τέτυκται ὅτ' ἄγγελος αἴσιμα
εἴπῃ. Ἤματος ἀνυομένοιο. τῆς ἡμέρας ἐπὶ δύσιν
ἀνυομένης. Πείσματα. τὰ τῆς πρώρας σχοινία.
ὁ δὲ λόγος. καίτοι τῇ πνοῇ οὔσῃ τῇ βορέου ἐπι-
τηδεία τοῖς ἀργοναύταις πρὸς τὸν πλοῦν, ὅμως
οὐκ ἔλυσαν τὰ σχοινία. Λαρόν. ἡδὺν, ἀπολαυστι-
κόν. παρὰ τὸ λῶ πεποίηται, ὃ σημαίνει τὸ θέλω. ἤ-
ια δὲ νῦν ἐφόδια βρώματα. Μὴ δ' ὄμμε. δῶμεν
αὐτοῖς χρείας, ἵνα ἐκτὸς τῶν πύργων μείνωσιν ἀ-
πρόσοδοι πρὸς ἡμᾶς, μή πως διὰ τὴν τῶν ἐπιτηδεί-
ων ἀνάγκην καὶ χρείαν εἰσιόντες εἰς τὴν πόλιν
ἀκριβῶς τὰ καθ' ἡμᾶς μάθωσιν. Ἡμετέρη
μείνῃ. κατ' ἔγκλισιν τὴν νῦν ἀναγνωστέον. οὐ γὰρ
δηλοῖ χρόνον, ἀλλ' ἴσον ἐστὶ γὰρ δή. ἐκταταῖον ἐστὶ δὲ
τὸ μέτρον. Ὑμέων δ' εἴ τις. παρὰ τὸ ὁμηρικόν. νῦν
δ' εἴη ὃς τοῦδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι. Ῥικνοῖ-
σι. ῥυσοῖς. ἡ δὲ λέξις παρὰ Καλλιμάχῳ. καὶ μά-
λα ῥικνὸν σῦφαρ ἐμόν. διασκευάζει δὲ ὁμηρικῶς
τὴν γραῦν οὕτως. ὃς δὴ γήραϊ κυφὸς ἔην.
Ἐπιχνοάουσαι. ὡς χνοῦν ἔχουσαι τὰς λευκὰς
φυομένας τρίχας. Μόλις. κακῶς διὰ τοῦ λ. ἔ-
δει γὰρ διὰ τοῦ γ. μόγις παρὰ τὸν μόγον. Ἐπαυρέ-
σθαι. ἐὰν μὲν παροξυτόνως ἔσται ἀόριστος ἀντὶ τοῦ,
ἀπολαῦσαι· ἐὰν δὲ προπαροξυτόνως, παρατατι-
κὸς ἀντὶ τοῦ ἀπολαύειν.
27 Ἀλλὰ δ' ὀπίσσω. πολλὰ δὲ κακὰ χείρονα μάχης
καὶ πολέμου ἔσται. Ἄγονοι. ἄσπορμοι. διὰ τὸ ἀνδρῶν
μὴ

ἐπιστάζοιτο. δάε δὲ, ἐδίδαξεν ἡ θεός. Τῆς μὲν ἐκ ἕτερον. ἐν τῇ προεκδόσει, γράφεται τοῦ μὲν ἐκ ἑτέρου κεν. ἑξῆς ἐστιν, ἄκρα δὲ πορφυρέη. οἱ δὲ μεταξὺ δύο οὐκ εἰσίν. Ἔρευθος. ἐρύθημα. ἔστι δὲ καὶ βοτάνης εἶδος ἐρυθρὸν, ᾗ τὰ ἔρια βάπτουσιν. ἐρευθήεσσα δὲ αὐτὴ τοῦ πυῤῥά, ἀπὸ ἐρύθρος. καὶ ἔστι παρὰ τὸ σαπφικὸν πάνυ ῥόδα παισὶ μεμιγμένα χροιαῖσιν. Κύκλωπες. οὗτοι οἱ κατασκευάζοντες τῷ Διῒ τὸν κεραυνόν. καὶ Ἡσίοδος. οἳ βροντὴν Ζηνὶ ἔδοσαν, τεῦξάν τε κεραυνόν. Ἐπ' ἀφθίτῳ. τῷ θείῳ καὶ θαυμαστῷ καὶ ἀθανάτῳ ἔργῳ. Ὅς τόσον. ἤτοι ὑπὲρ ποσότητος τόσον, ἢ ὑπὸ θαύματος τοσοῦτον, ἀντὶ τοῦ μεγάλως. Μιῆς δ' ἔτι δεύετο. ὅτι ἦν ἡμιτελὴς παρὰ μίαν ἀκτῖνα κεραυνός. αἰνίττεται δὲ ὅτι τὸ κατασκεύασμα ἀληθὲς εἶχε τὸν κεραυνόν. καὶ ὀλίγῳ ἐλαττούμενον τοῦ ἀληθοῦς λαμπηδόνος. οὐ γὰρ οἷόν τε ἦν τεχνίτην ἐν ποικίλματι ὁμοίαν τὴν λαμπηδόνα ποιῆσαι τοῦ ἀληθοῦς. Μαλεροῖο. οἱ νεώτεροι τοῦ λαμπροῦ. οἱ δὲ τοῦ μελαντικοῦ. Ἀντιόπης. δύο Ἀντιόπαι ἐγένοντο. ἡ μὲν Νυκτέως, ἡ δὲ Ἀσωποῦ. ταύτης νῦν Ἀπολλώνιος. ἧς καὶ Διὸς, Ἀμφίων καὶ Ζῆθος, οἳ καὶ τὰς Θήβας ἐτείχισαν. ὡς καὶ Ὅμηρος φησίν, οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο. Φερεκύδης δὲ καὶ τὴν αἰτίαν παραδίδωσι τῆς οἰκοδομῆς, διότι Φλεγύας πολεμίους ὄντας εὐλαβοῦντο βασιλεύοντι Κάδμῳ. Κεῖτο πέλας. ἀστείως, ὡς πρὸς τὴν ἕδραν τῆς πόλεως τῶν τειχῶν καὶ τὴν στάσιν, γράφεται κεῖτο ἔ-

νεῶν εἴτε ἐστὶ πεζῇ, καὶ σχεδὸν τῆς πάσης ὁρμῆς ἐστὶ μείζονος παρασκευῆς. ἐνταῦθα δὲ στόλον τὸ ἀπὸ μιᾶς νηὸς πλῆθος εἶπε. προστίθησι παλαμήδης. οὕτω δὲ λέγεται ἐστὶ ἡ εἰς ὀξὺ ἀπόληξις. Εὐμενέοντας. ἤτοι ὡς πρὸς ὃ ἐδεδοίκεισαν, μὴ ἀπολέμιοι ἦσαν. Κούρη τοί μ' ἐφέηκε. διὰ τοῦ κόρην τὸν τῶν ἀργοναυτῶν φόβον ἀποκρούεται. ἐστὶ γὰρ αὐτοὶ ἐδεδοίκεισαν ἑωρακότες αὐτὰς καθωπλισμένας. καὶ ἀποτρέπει. παρθένος γὰρ ἡ καλέσασα. τὸ δὲ θοαντιὰς ἀντὶ τοῦ θόαντος.

Εἴσαντο. ἀντὶ τοῦ διενοήθησαν, ὑπέλαβον. τηλυγέτην δὲ νῦν ἀκουστέον μόνην. ὁ γὰρ νοῦς. διενοήθησαν δὲ μονογενῆ θόαντι τὴν ὑψιπύλην γεγενημένην, τὴν βασιλείαν τοῦ πατρὸς εἰληφέναι. Ἰτωνίδος. ἐν θεσσαλίᾳ θεὰ ἰτωνὶς τιμᾶται, ἐστὶ ἐν κορωνείᾳ πόλει τῆς βοιωτίας, ἀπὸ ἴτωνος τοῦ ἱερέως. ἀστείως δὲ οὐ πολεμικῇ σκευῇ χρώμενον ἐξάγει, ἀλλ' ἐσθῆτι κοσμούμενον. πρῶτον μὲν ὅτι ἀπόλεμον αὐτὸν ἐκάλει. ἔπειτα, ὅτι ἐστὶ γυναικῶν μόνον ἡ πόλις, αἳ μάλιστα τοῖς τοιούτοις χαίρουσι. ἐστὶ ὁ μὲν ἀνδρὸς εὐκαταφρόνητος τῇ στολῇ εἴσειμι, καὶ ταῦτα εἰς γυναῖκας. ἤδη δὲ ἐστὶ διὰ τῆς δωρησαμένης θεοῦ, τὸ τῆς χλανίδος κάλλος ἐσήμαινεν. Δρυόχοις, ἐν οἷς καταπήγνυται ἡ τρόπις ξύλοις ταῦτα οὕτως καλοῦσιν. ὅμηρος. ἵστασο χ' ἑξείης δρυόχους ὡς δώδεκα πάντας. δρυόχοι εἰσὶ τὰ ἐγκοίλια τῆς νεώς. κανόνας δὲ τὰς στάθμας, οἷς τὰ ξύλα καὶ τοὺς τοίχους οἱ τέκτονες ἐξισάζουσι.

πανακλάσεις ἐγίνοντό τινων ἐν τῇ ἀσπίδι φη-
σίν, ὅτι γυμνωθέντος τοῦ ὤμου τῆς ἀφροδίτης μέχρι
τοῦ μαζοῦ εἰς τὸ ἐναντίον τῆς ἀσπίδος, τὸ ὁμοίωμα τῆς
ἀφροδίτης ἐφαίνετο διὰ τὸ λείαν εἶναι τὴν ἀσπίδα.

29 Ἐν δὲ βοῶν. ἡ τάφος νῆσος ἐστὶ μία τῶν ἐχινά-
δων, ἣν ᾤκησαν τηλεβόαι, οἱ πρότεροι τὴν ἀκαρ-
νανίαν οἰκοῦντες, ἄνδρες λῃστρικώτατοι τὸν τρό-
πον. καὶ εἰς ἄργος ἐπελθόντες τοὺς τοῦ ἠλεκτρύω-
νος βόας ἀπήλασαν τοῦ πατρὸς ἀλκμήνης. γενο-
μένης δὲ μάχης καὶ ὁ ἠλεκτρύων καὶ οἱ τούτου παῖ-
δες ἀνῃρέθησαν. διὸ ἀλκμήνη μετέστη καὶ ἀνεκή-
ρυξεν τὸν ἑαυτῆς γάμον τῷ τιμωρησαμένῳ τὸν πα-
τρῶον φόνον. τιμωρησάμενος δὲ ἀμφιτρύων ἔγη-
μεν. ἡ ἱστορία σαφῶς παρ᾽ ἡσιόδῳ. περὶ δὲ τῆς μά-
χης ἡρόδωρος ἱστορεῖ, ὅτι περσέως καὶ ἀνδρομέδας
τέος τῶν παίδων ἐγένοντο, ἀλκαῖος, σθένε-
λος, μήστωρ, ἠλεκτρύων. καὶ κοινὴν ἔχοντες τὴν βα-
σιλείαν, μετὰ τὸν περσέως θάνατον, μήστορος δὲ
θυγάτηρ ἱπποθόη, ἧς καὶ ποσειδῶνος πτερέλαος.
τοῦ δὲ τηλεβόας καὶ τάφος. ὡς δέ τινες πτερέ-
λα τοῦ τηλεβόου ἐγένοντο παῖδες οἱ καλούμε-
νοι τηλεβόαι. ἐλθόντες δὲ ἀπῄτουν ἠλεκτρύω-
να τὰ τῆς μάμμης ἑαυτῶν τῆς μητρὸς ἱπποθόης. ἀν-
τιστάντων δὲ αὐτοῖς οἱ ἠλεκτρυωνίδαι ἀνῃρέθησαν
ὑπ᾽ αὐτῶν. πτερέλα παῖδες τηλεβόας καὶ τάφος.
ἀφ᾽ ὧν ἡ νῆσος. τηλεβόαι δὲ οἱ τάφιοι. ἤτοι ὅτι
τῆλε οἰκοῦντες ἀπὸ ἄργους τὰς βοῦς ἀπήλασαν. ἢ
ἀπὸ τηλεβόου τοῦ πτερέλα τοῦ βασιλέως υἱοῦ οὐ ἀδελ-

ταξεν. Ἐπωμαδὸν ἤερταζεν. κατὰ τοὺς ὤμους
ἐβάσταζεν. τὸ τῶν ὤμων ἦρεν. δῆλον δὲ τὸ ἐοικὼς ἐκόλα
σε τὸν λόγον διὰ τὸ ἐν γραφῇ εἶναι. οὐ γὰρ ἀληθῶς ἐ
κακοπάθει ἐν τῇ γραφῇ. Ἐπὶ οἱ. ἐπ' αὐτοῦ τοῦ
ζήθῳ ἑπόμενος. τὸ δὲ δὶς τόσση, ἀντὶ τοῦ διπλα
σίων τοῦ ἀμφίονος ἐπηκολούθει πέτρα. ὅτι δὲ ἠκο-
λούθησαν τῇ ἀμφίονος λύρᾳ οἱ λίθοι αὐτόμα-
τοι, ἱστορεῖ ὁ αὐτὸς Παρμενίδας ἐν πρώτῳ. τὴν δὲ λύ
ραν δοθῆναι ἀμφίονι ὑπὸ μουσῶν φησι. Διοσκουρί
δης δὲ ὑπὸ ἀπόλλωνος. καὶ φερεκύδης δὲ ἐν τῇ δε
κάτῃ ἱστορίᾳ ὑπὸ μουσῶν. Δὶς τόσσηδε. διπλῆ
ὡς πρὸς ἣν ἐβάσταζεν ὁ ζῆθος. δῆλον δὲ τοῦτο οὐδὲν
ἕτερον δηλοῖ, ἢ τὴν τῆς μουσικῆς καὶ τὴν τῆς εὐπαιδευ
σίας ἀρετὴν, ὡς πρὸς τὴν ἄλογον ἀνδρίαν, παραι
νῶν ὅτι ὁ μὲν, ὡς σφόδρα ἰσχυρὸς ὀλίγον καίτοι
κακοπαθῶν ἔφερεν. ὁ δὲ, μέγιστον, τῇ εὐπαιδευ
σίᾳ φέρειν ἠδύνατο. θοὸν δὲ τὸ εὐκίνητον καὶ εὐμετά
φορον, ἀπὸ τοῦ θοάζειν ὅ ἐστι ταχύνειν. Ὀχμάζου
σα. κατέχουσα, βαστάζουσα, καὶ ῥιμὴ οὖσα πολε
μική. ἀλλ' ὡς ἐραστῇ χαριζομένη τοῦ ἄγει. κυρί
ως δὲ ἐστιν ὀχμάζειν, τὸ ἵππον ὑπὸ χαλινὸν ἀγα
γεῖν. ἢ ὑπὸ ὄχημα. σημαίνει καὶ τὸ ἐν μάχῃ κρα-
τῆσαι ἀπὸ τῆς αἰχμῆς. Δίκηλον. κυρίως τὸ τοῦ
δὴ ἐοικὸς ἄγαλμα. καταχρηστικῶς δὲ τὸ πᾶν
ὁμοίωμα, ὡς τὸ νῦν. τὸ δικηλίτας δὲ τοὺς σκωπτι
κοὺς, τοὺς ἐν τῷ σκώπτειν ἄλλον τινὰ μιμουμένους.
ἐν δὲ τῇ ἀσπίδι φησὶ χαλκῇ οὔσῃ ἐφαίνετο αὐ-
τῇ μορφὴ ὁμοία. βουλόμενος δὲ δεῖξαι ὅτι ἂν

σμῃ, τὴν πλημμύραν τοῦ ποταμοῦ. διόπερ περὶ ἧσι ὅλῳ οὕτως ἀναγνωστέον. αὐτὸς δ' ἐν πλήσμῃσι διϊπετέος ποταμοῖο. καὶ οὐχ ὥς τινες ἐν πλήμνῃσιν, εἰ μὴ ἔξωθεν προσλάβοιμεν τὴν σὺν, πρόθεσιν, σὺν πλήμνῃσι. Βούπαις. μέγας παῖς, οὔπω τέλειος ἀνήρ. Τιτυὸν μέγαν. ἐλάρη μήτηρ τιτυοῦ. μετὰ τὴν τελευτὴν δὲ τῆς μητρὸς λέγεται παρὰ τῆς γῆς ἀνατετράφθαι, καθὰ καὶ ὅμηρος ἱστορεῖ. καὶ Τιτυὸν εἶδον γαίης ἐρικυδέος υἱόν. φερεκύδης δέ φησιν, ὅτι ἐλάρῃ τῇ ὀρχομενοῦ μιγεὶς ὁ Ζεὺς ὤθησεν αὐτὴν κατὰ γῆς ἤδη κύουσαν, δεδιὼς τὴν τῆς ἥρας ζηλοτυπίαν. καὶ ἀνεδόθη τῆς γῆς τιτυός. διὸ καὶ γηγενὴς καλεῖται. Ἄλλως.

Ἐλάρη μήτηρ τιτυοῦ, ὃν τεκοῦσα ἐκ Διὸς, καὶ ἀδυνατοῦσα γεννῆσαι διὰ τὸ μέγεθος τοῦ παιδὸς ἀπώλετο. δοκεῖ δὲ ἡ ἱστορία ἀπίθανος εἶναι καὶ ἄπιστος, ὅτι ἐκ δευτέρου ἡ γῆ ἐγέννησε τὸν τιτυόν. ἀλλ' ἐροῦμεν ὅτι οἱ ποιηταὶ τοὺς τερατώδεις κατὰ τὸ σῶμα γῆς εἶναι φασίν. οὕτω γοῦν καὶ καλλίμαχος τὰ δεινὰ τῶν θηρείων γῆς εἶναι ἔφη. ὅτι δὲ μέγας ὁ τιτυὸς, καὶ ὅμηρος φησίν. ὃ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα. φαμὲν οὖν ὅτι ὅτε πρὸς ἐλάρης ἐτέχθη ἐδόκει αὐτῆς εἶναι διὰ τὸ βραχὺ τοῦ σώματος. ὡς δὲ αὐξηθεὶς τερατώδης ἐγένετο, εἶπον καὶ τεχθῆναι αὐτὸν καὶ τετράφθαι πρὸς τῆς γῆς.

Τιτυὸν μέγαν. τὸ μέγαν θαυμαστικῶς εἴρηται, ὅτι βούπαις ὢν μέγαν ἐτόξευσεν. καὶ ἤτοι πρὸς τὴν θείαν φύσιν ἀκουστέον. ἢ πρὸς τὸ ὑπ' ὄψιν εἶναι τὴν

φὸς τάφος. ἀφ' οὗ καὶ ἡ νῆσος. Ἀμέρσαι. ἀποστερῆσαι. Δηριόωντες. ἀγωνιζόμενοι. ὁ γὰρ οἰνόμαος ἄρεος ὢν παῖς καὶ ἀρπίνης τῆς ἀσωποῦ, ἤτοι εὐρυθόης τῆς δαναοῦ, θυγατέρα ἔχων ἱπποδάμειαν, καὶ χρησμὸν λαβὼν ἀναιρεθήσεσθαι ὑπὸ τοῦ ἰδίου γαμβροῦ οὐκ ἐβούλετο ἐκδοῦναι αὐτήν, εἰ μὴ τῷ νικήσαντι αὐτὸν διὰ ἵππων. προέκειτο δὲ αὐτοῖς κλάδος ὁ ἀπὸ τῆς ἀφετηρίας. ἰσθμὸς δὲ τὸ τέρμα. καὶ ἀνεῖλεν τρεισκαίδεκα μνηστῆρας, ὡς πίνδαρος ἱστορεῖ. ἐλθόντος δὲ τοῦ πέλοπος ἐπὶ τὸν ἆθλον μετὰ ἵππων δεδομένων αὐτῷ ὑπὸ ποσειδῶνος, ἐρασθεῖσα ἡ ἱπποδάμεια πέλοπος, ἔπεισε μυρτίλον τὸν ἑρμοῦ μὲν παῖδα, ἁρματοπηγὸν δὲ καὶ ἡνίοχον οἰνομάου, ἐμβαλόντα κήρινον ἔμβολον ἐπὶ τοῦ ἀκραξονίου. ἢ οὐδ' ὅλως ἐμβαλόντα τὸν ἔμβολον, ὡς φερεκύδης ἱστορεῖ. οὗ γενομένου οἰνόμαος ἐκκυλισθεὶς τοῦ τροχοῦ ἀπέθανε. καὶ ἱπποδάμειαν πέλοψ ἔλαβεν. αἱ δὲ τοῦ οἰνομάου ἵπποι, ψίλα καὶ ἄρπιννα. ὁ δὲ μυρτίλος ἑρμοῦ υἱὸς ἐκ μιᾶς τῶν δαναοῦ θυγατέρων φαεθούσης. οἱ δὲ ἐκ μυρτοῦς μιᾶς τῶν ἀμαζόνων. Παραιβάτης. οὐχ ὅτι αὐτῷ κατὰ τὸν ἀγῶνα συμπαρῆν, ἀλλ' ὅτι ὁ τεχνίτης ἀμφότερα δεῖξαι θέλων καὶ τὸν δρόμον καὶ τὴν νίκην, οὕτω πεποίηκεν. Προτενές. προτεταμένον ἔχον τὸ δόρυ. Παρακλιδόν. παρακεκλιμένως ἔπιπτεν. Ἄξονος ἐν πλήμνῃσι. διαφέρει πλήμνη καὶ πλήσμη. ἡ μὲν γὰρ τὴν χοινικίδα σημαίνει τοῦ τροχοῦ. ἡ δὲ πλή-

σμη,

ὀρθῶς γένοιτ᾽ ἄν. Ὀρρ᾽ ἀταλάντη. ἰάσονος θυγάτηρ ἣν ἔγημε μειλανίων. ἑτέρα γάρ ἐστιν ἡ ἀργεία ἡ σχοινέως, ἣν ἔγημεν ἱππομέδων. μαίναλος δὲ ὄρος ἀρκαδίας, ἐν ᾧ ἡ ἀταλάντη διῆγεν. ἀπὸ μαινάλου τοῦ ἀρκάδος, ὥς φησιν ἑλλάνικος. οἱ δὲ ἀρίσταρχειοι δι᾽ ἑτέρου ρ, ἔχουσι τὰς τοιαύτας γραφάς, ὡς ἡρακλέων φησὶν ἐν τῇ π. τῆς ἰλιάδος. τόρρα τότ᾽ ἐκ χηλοῖο λαβών. πρὸς δὲ τὴν παρθένον στελλόμενος, παρθένου δῶρα μεταχειρίζεται. ὁ δὲ δεῖσεν ἀργαλέας ἔριδας, τὰς τῶν μνηστήρων λέγει τῆς ἀταλάντης ἔριδας ἔδεισεν, μὴ εἰς στάσιν αὐτοὺς ἄξῃ, καὶ διαφορά τις γένηται μεταξὺ, τῶν μὲν μιγῆναι αὐτῇ θελόντων. τὸ δὲ τὴν παρθενίαν τηρῆσαι. ὅτι δὲ ἐμίγησαν οἱ ἀργοναῦται ταῖς λημνίαις, ἡρόδωρος ἱστορεῖ ἐν τοῖς ἀργοναυτικοῖς. αἰσχύλος δὲ ἐν ὑψιπύλῃ ἐν ὅπλοις φησὶν αὐτὰς ἐπελθούσας χειμαζομένοις τοῖς ἀργοναύταις, μέχρις οὗ ὅρκον ἔλαβον παρ᾽ αὐτῶν ἀποβάσι μιγήσεσθαι αὐταῖς. σοφοκλῆς δὲ ἐν λημνίαις καὶ μάχην ἰσχυρὰν αὐτὰς συνάψαι φησίν. Εἰσαΐων. ἐφθέγγετο ὁ κριὸς πιστούμενος περὶ φρίξῳ τὴν σωτηρίαν κατὰ βουλησιν διός. Καλύβησιν. ταῖς διὰ τῶν ἱματίων κατεσκευασμέναις, ἃς καλοῦσι παστούς. ἤτοι δὲ δι᾽ ἔρωτα, ἢ δι᾽ ἀμνηστίαν εἰρῆσθαί φησι. νηγατέαις δὲ ταῖς νεοκατασκευάστοις. Κυανέοιο. νῦν λαμπροῦ. δόλου δὲ ἁρμόζουσα καὶ οἰκεία ἡ εἰκών. καὶ γὰρ καὶ αὐτὸς ἐρῶσα ἐξελέγχετο παρθένος καὶ τὰ λαμπόμενα τῷ κάλλει. Ἀνὰ στίβον. ἀνὰ τὴν ὁδόν,

ὕβριν τῆς μητρός. ὅτι πολλάκις τὰ δεινὰ τῶν πραγμάτων, καὶ τὴν ἡλικίαν, καὶ τὴν φύσιν ἀποβιάζεται. πρὸς ὃ ὁ ποιητὴς οὐ τῷ κυρίῳ ὀνόματι ἐχρήσατο. ἀλλὰ τῷ κατὰ φύσιν μητέρα εἰπών. Ἐν καὶ φρίξος ἦν μινυήϊος. ὁ ἰώλκιος. τὴν γὰρ ἰωλκὸν μινύαι ᾤκουν ὡς φησι σιμωνίδης ἐν συμμίκροις. δύναται δὲ καὶ αὐτὶ τοῦ ὀρχομένιος. πολλοὶ γάρ φασιν ἐν ὀρχομενῷ οἰκῆσαι τὸν ἀθάμαντα. Ζητητέον δὲ τί βούλεται αὐτῷ ταῦτα τὰ ποικίλματα. καὶ ἐροῦμεν ὅτι ὁ ποιητὴς διὰ τῆς χλαμύδος οὐδὲν ἕτερον ἢ τὴν κοσμικὴν τάξιν καὶ τὰς πράξεις φασί. καὶ πρῶτον μὲν διὰ τοῦ κεραυνοῦ καὶ τῶν κυκλώπων θεόν τινα καὶ θείαν φύσιν ἀλληγορεῖ. διὸ καὶ φησὶν ἐπ' ἀφθίτῳ ἤμενοι ἔργῳ. μεθ' ὃ πόλεως κτιζομένης διὰ τῆς τοῦ ἀμφίονος λύρας ἱστορεῖ. ἔπειτα τὰ ἐν πόλεσι πάντα γενόμενα, ἔρωτάς τε καὶ πολέμους. τοῦτο γὰρ βούλεται αὐτῷ ἡ ἀφροδίτη ὁπλοφοροῦσα. ἡ δὲ βία καὶ αἱ μάχαι διὰ τῆς τῶν ταφίων ἱστορίας, ἀγῶνάς τε καὶ γάμους διὰ τῶν τοῦ πέλοπος ἄθλων, ἀσεβείας τε καὶ τιμωρίας πρὸς τῶν κρειττόνων διὰ τοῦ τιτυοῦ, ἐπιβουλάς τε καὶ δόλους καὶ συμβουλὴν ἀγαθήν, καὶ σωτηρίαν ἀπροσδόκητον δείκνυσι διὰ τῆς τοῦ φρίξου ἱστορίας. καὶ σχεδὸν πάντα τὰ ἐν ταῖς πόλεσι γινόμενα, διὰ τῆς χλαμύδος ποιητικῶς ἔφασε. δῶρον δέ φησιν εἶναι τὴν χλαμύδα τῆς ἀθηνᾶς. ἐπειδὴ ὅ, τε κόσμος ὑπὸ τῆς θείας φρονήσεως γέγονε, τῶν δὲ ἐν αὐτῷ ὑπὸ τῶν ἀνθρώπων πραττομένων οὐδὲν ἄνευ φρονήσεως

αν. θαυμαστικῶς, οἷον λήϊδας αὐτὰς καὶ δεσποίνας ἡμῶν ἔφερον ἄγοντες. ἐν δὲ τῇ προεκδόσει ἐκ νηῶν. ἀμυδὶς δὲ βόας ἅμα μῆλα κόμιζον αὐτῇσιν κούρῃσιν ἀπείρονα λήϊδα δεῦρο. καὶ τό τ' ἔπειτ' αἰνὰ δ' ἦμον ἀάατος ἔμπεσε λύσσα. οὐκ οἶδ' ἢ θειόθεν ἢ αὐτῶν ἀφροσύνῃσιν. Οὐλομένης. ἀντὶ τοῦ δεινῆς, ἢ κατὰ συμβαίνοντος ὀλέθρου ποιητικῆς, ὡς τὸ πολύδακρυν ἄρηα, τὸν δακρύων ποιητικόν. Ἠματίη. τῇ ἑαυτῶν ματαιότητι καὶ μωρείᾳ καὶ φρενοβλαβείᾳ νικηθέντες. Εἴ κέ περ αὖτις. περιττὸς ὁ κε, σύνδεσμος. ὁ δὲ λόγος πολὺν χρόνον περιεμείναμεν, εἴπερ τε μεταμεληθῶσιν. ἵνα δὲ μὴ ὥσπερ ζηλοτυπίαν καὶ ἀκρασίαν κατηγορήσῃ τῶν γυναικῶν, διὰ πολὺ αὐτάς φησὶν ἐνηνοχέναι τὸ πάθος. Χῆραί τ' ἄρα τῇσιν. ἵνα μὴ τῶν παρθένων ἀσέλγειαν κατηγορῇ εἴπερ. ὑπὲρ τούτων φησὶν ἐδυσφόρουν διὰ τὰς χηρευούσας μητέρας. καὶ ἐφρόντιζον. κατὰ κοινοῦ δὲ τὸ ἀλλήλων. καὶ πρὸς ἕτερον. ὅτι οὐδεμία ἡμῶν πρὸς γάμον ἤρχετο. εἴχομεν δὲ τὴν τῶν μητέρων χρείαν καὶ ὕβριν διδάσκαλον τῶν ἡμῖν ἐσομένων. Οὐδὲ πατήρ. πρὸς πλείονα οἶκτον καὶ ἔμφασιν δηλοῦν τοῖς φυσικοῖς ὀνόμασι χρῆται. Ὑπέρβιον, μέγα καὶ θαυμαστόν. οἶδε γὰρ αὐτὸ δεινὸν καὶ ἄπιστον, εἰ γυναῖκες ἀνδρῶν ἐκράτησαν. διὸ καὶ τὴν τοῦ δαιμονίου σύνταξιν εἴληφεν. Αὐταῖς ληϊάδεσσιν. λείπει ἡ σὺν, πρόθεσις, ἵν' ᾖ σὺν αὐταῖς ταῖς γυναιξί.

παρὰ τὸ στείβω τὸ περιπατῶ. Επικλονέουσι. οὐ καλῶς τὸ ἐπικλονέουσιν εἴρηκεν ἅμα τῇ χειρί. κλόνος γὰρ ἡ ταραχή. ὅμηρος. ὡς ὑπὸ τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγες. Απηλεγέως, ἀντὶ τοῦ συντόμως. ἡρόδοτος δὲ ἐν τῷ τρίτῳ τῶν καθόλου ἀνηλεγέως φησί. Προφανέντι. περιττὴ ἡ προ, πρόθεσις. θεράπναι δὲ κατὰ συγκοπὴν τοῦ θεράπαιναι. Σανίδεσσιν. οὕτω λέγονται τὰ ὑποδρμήκη ξύλα καὶ πλατέα, οἷον τανίδες παρὰ τὴν τάσιν. Ενθά μιν. ἐν τῇ προεκδόσει, ἔνθα μιν ἰφινόη πρὸ δόμου διὰ τριηρίου. ἐασυμένως καλῆς δὲ δίφακος εἶσεν ἄγουσα. Καλῆς δὲ ἀνασάδος. ἣν ἡμεῖς προπαστάδα λέγομεν. εἴρηται δὲ οὕτως διὰ τὸ ἐν αὐτῇ σταθῆναι ἡμᾶς, οἱονεὶ παράστασις. καλῆς δὲ ἤτοι ὅτι βασίλεια τὰ οἰκήματα, ἢ ὅτι ἐρωτικά. τοιαῦτα γὰρ τὰ τῶν ἐρώτων, ὡς καὶ ἀνακρέων περὶ τῶν ἐρωμένης φησίν.

30 Ηθ᾽ αὔτως. εἰκῆ ἐκαθίζεσθε. ἤδη δὲ καὶ διὰ κήρυκος ἐφ᾽ ὃ ἐκάλεσεν αὐτὸν, ἡνίξατο γὰρ τὰ τῆς δυμενίας οὕτω πρέζεται. Υπ᾽ ἀνδράσι. ἀντὶ τοῦ ὑπ᾽ ἀνδρῶν. ὅμηρος. ζωοὶ μὲν ἠπεμόνευσε ἀντὶ δὲ ἰώνων ἴδιον. ταῦτα δὲ πλάττεται ἡ ὑψιπύλη ἀπὸ τοῦ δημεῖν τῶν θράκης τοὺς ἄνδρας. ἀρόωσι δὲ ἀροτριῶσιν. ἀφ᾽ οὗ τὸ διαλεγομένων ἀκουστέον. πλάττεται δὲ γὰρ ἀφανίζει τὸ ἀληθῶς γενόμενος γὰρ τὸν φόνον τῶν ἀνδρῶν. Επαύλεις. τὰς ἐπαύλεις τὰς μάνδρας. ἢ καταχρηστικῶς τὰς οἰκίας τῶν θρακῶν ἐπόρθουν οἱ λήμνιοι. Αὐτῆσι δ᾽ ἀπείρο

γυναῖκας, ἀλλ᾽ ὅτι σὺν ταῖς γυναιξὶ ταῖς θρᾳσ-
σαις καὶ τοῖς ἄῤῥεσι παισὶν ἀπῆλθον εἰς θρᾴκην, κἀ-
κεῖ διάγουσιν. οὕτω γὰρ ἐκ τοῦ ἐνόντος ἀπέλυσεν αὐ-
τὰς μέμψεως. καὶ ὅλος δὲ ὁ λόγος τῆς ὑψιπύ-
λης πολλὴν περιέχει δεινότητα, ἀντεγκληματι-
κὴν τρόπου τὴν στάσιν αὔξει τὸ ἐκείνων ἔγκλημα
διὰ πολλῶν, δεικνῦσα πολλῷ μεῖζον ἁμάρτημα
τὸ τῶν γυναικῶν. πολύν τε γάρ φησι χρόνον ὑπομε-
μενηκέναι τὰς γυναῖκας τὴν ὕβριν, ἀλλὰ σὺ
καὶ τὸ τὰς μὲν κουριδίας μισεῖσθαι, καὶ τῆς οἰκίας ἐκ-
βαλεῖν, ταῖς δὲ δορυκτήτοις συγγενέσθαι, πάνυ τὸ
ἔγκλημα τῶν ἀνδρῶν αὐξάνει. αὔξησις δὲ μεγάλη
καὶ τὸ τοὺς μὲν γνησίους παῖδας ἀτιμάζεσθαι, τοὺς
δὲ νόθους θάλλειν. ὄνειδος δὲ μέγα, καὶ τὸ τὰς κό-
ρας τὰς γνησίας καὶ τὰς χηρευούσας γυναῖκας,
ἴσως δὲ καὶ πάσας νῦν χήρας καλεῖ, διὰ τὸ ἐστερῆ-
σθαι τῶν οἰκείων ἀνδρῶν. ταύτας οὖν πάσας πλανᾶ-
σθαι περὶ τὴν πόλιν ἀτημελήτως, καθάπερ προ-
σηλύτους. παροξυντικὸν δὲ τὸ τὸν πατέρα μὴ φρον-
τίζειν τῆς οἰκείας θυγατρὸς, εἰ καὶ τυπτομένην
ἴδοι ὑπὸ τῆς μητρυιᾶς. μηδὲ τοὺς παῖδας ἀμύνειν
τῇ μητρί. μηδὲ τοὺς ἀδελφοὺς ἀλλήλων φροντί-
ζειν. μάλιστα δὲ διεγείρει εἰς ὀργὴν, καὶ τὸ τὰς μὲν
γυναῖκας τὰς ἀστυκάς. καὶ κόρας καὶ παῖδας ἐν
ἀπάσαις ταῖς πολιτικαῖς κοινωνίαις καθάπερ με-
τοίκους διαζεύξειν καὶ προσηλύτους. τὰς δὲ δορυκτή-
τους τούτων ἁπάντων ἀφθόνως μετέχειν, ἱκανὴ δὲ
ἀπολογία ὑπὲρ τῶν γυναικῶν, καὶ τὸ μὴ εὐθὺς ἐκ

31 Θεασάμενοι. ἀπὸ ἀτήσεως ἀναλαβόντων αἰτήσαντες. ἔθη γὰρ τὸ αἰτῆσαι καὶ ἱκετεῦσαι. ὁ ἡσίοδος. θεασάμενος πυνέην κλεαδαίου κυδαλίμοιο. καὶ ἀρχίλοχος. πολλὰ δ' εὐπλοκάμου πολιῆς ἁλὸς ἐν πελάγεσι θεασάμενοι γλυκερὸν νόστον. δαιμονίως δὲ καὶ τοῦτο πλάττεται, ἵνα μὴ εὐθέως ζητῆσαι εἰ οἱ ἄνδρες ἀπέβησαν, κἂν ἡ βραχυτέρα τῶν ἀρσένων τοῦ ἡλικία. Χιονώδεα. οἱ μὲν, ὅτι λευκόγεως ἡ θράκη. οἱ δὲ τὴν συνεχῶς χειμαζομένην παρὰ τὸ δυσχείμερον εἶναι, ὃ καὶ βέλτιον. ψυχρὰ γάρ ἐστιν ἡ χώρα. διὸ κἀκεῖθεν τοὺς ἀνέμους πνεῖν ἐμυθεύσαντο. διονυσοφάνης δὲ βόθρον φησὶν εἶναι ἐν τῇ θράκῃ, ἐξ οὗ φυσήματα αὔμων γίνεσθαι καὶ μεμυθεῦσθαι οὕτω θράκην ἀνέμων οἰκητήριον. Αἰγαίης. τὸ αἰγαῖον πέλαγος φησίν. ἐκλήθη δὲ ἀπὸ νήσου αἰγῶν καλουμένης. ὅμηρος. οἱ δέ ποι εἰς ἑλίκην τε καὶ αἰγάς. αὕτη μὲν ἱερὰ ποσειδῶνος, ἐν ᾗ μηδένα κοιμᾶσθαι λόγος, διὰ τὰ φαντάσματα τοῦ θεοῦ ὥς φησι νικοκράτης. οἱ δὲ ἀπὸ ποσειδῶνος ὀνομασθῆναι φασὶ τὸ πέλαγος. αἰγαῖος γὰρ οὗτος ὁ θεὸς προσαγορεύεται, ὥς φησι φερεκύδης. νικοκράτης δὲ φησὶν ὅτι ἀπὸ αἰγέως κατακρημνίσαντος ἑαυτὸν ἀπὸ τῆς ἀκροπόλεως εἰς τὴν θάλασσαν, οὐκ εὖ. πολὺ γὰρ ἀπέχει ἡ ἀκρόπολις τῆς θαλάσσης παραπλέοντι. Αμαλδύνουσα. ἀφανίζουσα ἐκ τοῦ πλάσματος ἢ κρύπτουσα. αὐτεγκληματικῶς πανταχόθεν μετάγει τὴν αἰτίαν ἐπὶ τοὺς ἄνδρας. οὐ μὴν λέγει ὅτι ἐφόνευσαν αὐτοὺς καὶ τοὺς ἄρρενας παῖδας καὶ τὰς

γυναῖ

32 Μῦθον ὅτ᾽ ἤδη. μετέπειτα δὲ αἱ θεραπαινίδες ἦλθον βαστάζουσαι ξένια. ὅτε ἤδη ὁ ἰάσων πάντα τὰ παρὰ τῆς ὑψιπύλης ῥηθέντα τοῖς ἑαυτοῦ ἑταίροις συνετέλεσε λέγων. Ἡφαίστοιο χάριν. ἱερὰ γὰρ ἡφαίστου ἡ λῆμνος. τὸ δὲ πολυμήτιος, παρὰ τὸ εἰδυίῃσι πραπίδεσσι. Ἡρακλῆος ἄνευθε. τοῦτο ἕνεκα τῆς οἰκονομίας φησὶν ὁ ποιητής. τῶν ἐντίμων γὰρ ταῖς ἡδοναῖς νικωμένων μόνος οὗτος πρὸς τὸν ἆθλον αὐτοὺς προτρέπει, καὶ πρὸς τὴν κρατερὰν καὶ σώφρονα φύσιν τοῦ ἥρωος. Ἥρης ἶα. ἡσίοδος ἐπηκολούθησεν ἐξ ἥρας μόνης τὸν ἥφαιστον λέγοντι γεγενῆσθαι. ἥρη δ᾽ ἥφαιστον κλυτὸν οὐ φιλότητι μιγεῖσα γείνατο. ὅμηρος δὲ διὸς καὶ ἥρας φησὶν αὐτόν. Καὶ αὐτὴν κύπριν. διότι τὰ παρόντα ἐρωτικά, καὶ ὅτι τοῦ θεοῦ γαμετὴ αὕτη, οὗ ἱερὰ ἡ λῆμνος. Ἀνελίνυον. ἀντὶ τοῦ εἴργων. ἢ τὰ ἄλινα τὰ θρηνητικὰ ἐντεῦθεν περιῄρηνται. παρὰ τὸ ἀνήνυκτα τινὰ ἐσθλὰ εἶεν. παρὰ τὸ ὁμηρικόν. οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο. Δαιμόνιοι. οἰκεῖοι τῷ ἀξιώματι τοῦ ἥρωος οἱ λόγοι. τεχνικῶς δὲ καὶ συνετῶς οὐχ ἕνα τινὰ λοιδορεῖ, ἀλλὰ πάντας. καὶ οὐ πρῶτον τὴν ἀκρασίαν αὐτοῖς ὀνειδίζει, πρὶν τὰ συμφέροντα δηλώσῃ. παρὰ δὲ τοῖς φυσικοῖς ὁ ἡρακλῆς σύνεσις καὶ ἀλκὴ λαμβάνεται. ὥστε δηλοῦν τὸν λόγον, ἐνδόντας ἡδονῇ τοὺς ἥρωας τῷ λόγῳ ἀναλαβεῖν ἑαυτούς. ὁ δὲ νοῦς ὦ μακάριοι, ἐξερρόμεθα τοῦ ἡμῶν αἵματος τοῦ πατρ. εἴδους. ἢ γάμων ἐνδεεῖς ὄντες ἐνταῦθα ἥκομεν μεμψάμενοι τὰς ἑαυ

τὰς ληΐδας εἰς λῆμνον κατοικήσοντες τοῖς κλήροις διελόμενοι. ἢ οὕτως. ὦ μακάριοι ἐμφύλιον φόνον δράσαντες ἐξειργόμεθα τῆς πατρίδος. ἐπειδὴ οἱ τοιοῦτοι ἐκ τῆς πατρίδος φυγῇ ἐνιαυσιαίᾳ ἐζημιοῦντο. Ὀνοσσάμενοι. ληΐτιδας. κυρίως τὸ ληΐτιδας γυναῖκας ἔταξεν. οἱονεὶ τὰς ἑλληνίδας γυναῖκας ἀπαρνησάμενοι συμβιοῦν τοῖς βαρβάροις ἤλθομεν. καὶ οὔ φησι τὸ κάλλος αὐτῶν ἀποφυγόντες. τάχα γὰρ ἀληθῶς ἐν τῇ λήμνῳ εὐπρεπεστέρας εἶναι γυναῖκας συνέβαινεν. Εὐκλειέες. ἔνδοξοι. ἐπειδὴ τοῦ ῥύπου ἐνυβρίζεται. οἷόν τι ἕκαστον αὐτῶν πρὸς τὸν πλοῦν ἐλθόντα εἰς εὐδοξίαν. ταύτην δὲ ἂν ἀπωλέσαν, εἰ ἐπὶ πολὺ διέτριψαν. Ἐπὶ δηρὸν ἐελμένοι. καὶ τοῦτο συνετῶς καὶ τεχνικῶς τὸν χρόνον αἰτιᾶται. τὸ μέν τι ὀλίγον ἀμελῆσαι τοῦ πόνου συγγνώμης ἂν εἴη, τὸ δὲ ἐπὶ πολὺ ἀνυπόστατον ἦν παντὶ ἀνδρὶ καὶ ἐπαισχυντόν, παρὰ τὸ πάντων μὲν κόρος ἐστί. Ἴομεν αὖτις ἕκαστοι ἐπὶ σφέα. οὐχ ὑγιῶς τὸ σφέα κεῖται. ἰσοδυναμεῖ γὰρ τὸ σφὰ ἐπὶ τρίτου προσώπου τασσόμενον. ἔδει δὲ εἰπεῖν, ἴομεν αὖτις ἕκαστοι ἐφ' ἡμέτερα. ἔστι γὰρ συζυγία τῶν προσώπων αὕτη. ἡμέτερα. ὑμέτερα. σφέτερα. τὸ δὲ σφὰ, ἁμά. ὑμά. Ἐπανδρώσῃ. ἀνδρῶν πληρώσῃ, εἰρωνικῶς.

33 Λείρια. καθόλου τὰ ἄνθη λείρια λέγεται. ἔστι δὲ κυρίως ἄνθος λεγόμενον λείριον, ὅ φησιν ὁ Θεόφραστος ἐν τῷ περὶ φυτῶν τὸν νάρκισσον εἶναι. οἱ δὲ τὸ κρίνον. Συμβληΐδες. σύμβλους καλοῦσι τὰ ἀγγεῖα,

ἀγγεῖα, ἐν οἷς κηροπλοῦσιν αἱ μέλισσαι. συμβλη ἴδος τῶν πέτρας ἐν ᾗ μελιτουργοῦσιν ἐν τοῖς ὄρεσιν. οἱονεὶ σύμβλων τάξιν ἐχούσης. Ἄλλοτε τ' ἄλλ). παρὰ τὸ ἰσοκράτης. ὥσπερ γὰρ τὴν μέλισσαν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα συλλέγουσαν. οὕτω δὴ καὶ τῆς παιδείας. Ὡς ἄρα ταίγε. αἱ λημνιάδες γυναῖκες. ἡ δὲ παραβολὴ οὐχ ὑγιὴς, οὐδὲ εἰς πάντα ἁρμόζεται. ἔστω γὰρ μελίσσαις εἰκάσθη τὰς γυναῖκας. ἄνθεσι δὲ τοὺς ἥρωας. σύμβλῳ δὲ κοίλῳ τὴν πόλιν. τὰ δὲ ἐπίλοιπα πῶς ἂν οὐκ εἴη ἀνάρμοστα. δι' ὧν φησὶ χαίρει καὶ ἀγάλλεται ὁ λειμών. καίτοι λυπεῖται ἡ πόλις. δι' ὧν φησι κινυρόμεναι. καὶ πάλιν ἀνάρμοστον. τὸ γλυκὺν ἄλλοτε τ' ἄλλον καρπὸν ἀμέργουσιν. οὐ γὰρ δὴ τὸν ἀρίστερον τῶν ἡρώων ἑκάστη ἐπεσδύσιν ἀπολαμβάνειν. ταῦτα δὲ παρὰ τὴν πρώτην μίξιν καὶ σύνοδον ἡρμόζετο ἄλλως. πρὸς τοὺς ὑπολαμβανομένους τῆς παραβολῆς, ὅτι οὐ πάντα τὰ λεγόμενα ἁρμόττει τοῖς προκειμένοις. ῥητέον ὅτι τὰ μὲν διὰ παραβολῆς πρὸς σαφήνειαν τοῦ γινομένου λαμβάνεται. τὰ δὲ πρὸς κάλλος μόνον καὶ ἔκφρασιν συντελεῖ. Ἐνδυκέως. ὑπομελῶς. σπουδαίως. τὸ δὲ κινυρόμεναι οὐκ εὖ. σημαίνει γὰρ τὸ θρηνοδοῦσαι. κλαίουσαι. καὶ ἔδει δακρυόεσσαι. εὐχόμεναι. ὅτι δεῖ τὸ ἀσθενὲς ἡ γυναικεία φύσις πάντοτε ὑπὸ τοῦ εὔχεσθαι τρέπεται, δῆλον ἐκ τῶν πρώτων, δι' ὧν φησιν. αἱ δὲ γυναῖκες πολλὰ μάλ' ἀθανάτοις. Νεῖσο. ἄγαν ἐρωτικὴ προσφώνησις

ἀλλ᾽ ἡ εὐχή. πρῶτον μὲν αὐτοῦ κατεύχεται. ἔπειτα ἐπεὶ οἶδε καὶ τὴν πᾶσαν βουλὴν καὶ τὸ φίλτρον τοῦ ἰάσονι, οὐδ᾽ ἐν ἕτερον, ἢ τὴν τῶν ἑταίρων σωτηρίαν. καὶ ταύτην αὐτοῦ κατεύχεται. οὐ τοσοῦτον ἐκείνοις χαριζομένη, ὅσον ἰάσονι. Ῥηϊδίως δ᾽ ἂν ἑοῖ. βούλεται λέγειν ῥαδίως δ᾽ ἂν ἑαυτοῦ καὶ πολὺν ἀθροίσαις λαόν. οὐκ εὖ δὲ ἔθηκεν τὸ ἑοῖ. ἔστι γὰρ τρίτου προσώπου δηλωτικόν. ὡς παρ᾽ ὁμήρῳ, ὀτρηροὺς θεράποντας ἐπιπροέηκεν ἑοῖ αὐτοῦ. Μενοινήν. ἀντὶ τοῦ γνώμην καὶ διάνοιαν ἢ μέριμναν. Προτιόσσομαι. προορῶμαι. ἐξανύσαιμι. τελέσαιμι. Λίπε δ᾽ ἡμῖν ἔτος. ὁ νοῦς ἐστι τοιοῦτος. εἰ τε δή μοι συμβουλήν τινα ἐὰν γένηται με τεκεῖν ὥστε τοῦ γεννωμένῳ ὑποθέσθαι τινά. ἐλλείπει γὰρ εἰς τὸν πλήρη λόγον. Ἀχαιόμενος. θαυμάζων τῆς διαθέσεως καὶ τοῦ ἔρωτος. Ἔμεθεν περὶ θυμὸν ἀρείω. ὁ νοῦς. σὺ δὲ κρείττονα περὶ ἐμοῦ ψυχὴν καὶ ὑπόνοιαν ἔχεις τὰ περὶ τῆς πατρίδος ἡμῶν σκεπτομένω. οὐ γὰρ εὐτελῶς ἐστὶ μὲν ὡς τὴν ἰδίαν καταλείψαντες, εἰς ἑτέραν μετοικεῖν. Πελίαο ἕκητι. τοῦτ᾽ ἔστιν ἕνεκα πελίου ἐστί μοι οἰκεῖν. Ἑλλάδα γαῖαν. νῦν τὴν θεσσαλίαν. ὅμηρος δὲ μίαν θεσσαλίας πόλιν οἶδε τὴν ἑλλάδα. πελασγίδος δὲ τῆς θετταλικῆς ἀπὸ τῶν ἐνοικησάντων πελασγῶν. Σὺ δ᾽ ἄρσενα. τοῦτο ὡς ἐν θαυμασμῷ. εἰ ἄρα ἐν γυναικῶν πόλει κἂν ἐξ ὠδῖνος γυνῆς ἔσται ποτε ἄρρην τις. Δύης ἄκος. περὶ ταλαιπωρίας. οἷον παραμύθιον καὶ ἴαμα. ὅθεν καὶ ἐνδυ-

κές

κεῖσ περιτρέχοντος τοῦ κ. ὥσ φησι ζύφων. ἔστι γὰρ ἐνδυὲς μετὰ πολλῆς κακοπαθείας γενόμενον προσηνὲσ καὶ ἡδύ. καὶ ἐνδυκέωσ ἐξ αὐτοῦ. Ἐφέστιοι. ἔποικοι. Λακεδαιμόνιοι γὰρ τὴν οἰκίαν ἑστίαν φασίν.

34 Πρώτιστος αὐτὶ τοῦ πρότερος. ἐσχημάτισται δὲ ἀπὸ τοῦ πάρος. καὶ ὅμηρος, ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι. Ὡς δὲ καὶ ἄλλοι. διὰ τοῦτο τῶν ἡρώων ὑπεραπολογεῖται, ὅτι καὶ τὸ πρὸς τὰς Λημνιάδας συνόδου προκατερξαμένου τοῦ ἀρχηγοῦ, καὶ οὗτοι συνετίθεντο. καὶ νῦν δὲ πάλιν ἐκείνου τοῦ πλοῦ ἀρχομένου καὶ οὗτοι εἵποντο. Ἁλιμυρέος. τῆς ὑπὸ θαλάσσης περιρρεομένης. ἁλιμυρήεντες δὲ ποταμοί, οἱ εἰς τὴν θάλασσαν βάλλοντες. Ἐς ἠλέκτρης. τὴν σαμοθράκην λέγει. ἐκεῖ γὰρ ᾤκει ἠλέκτρα ἡ ἄτλαντος, καὶ ὠνομάζετο ὑπὸ τῶν ἐγχωρίων στρατηγίς. ἣν φησιν ἑλλάνικος ἠλεκτρυώνην καλεῖσθαι. ἐγέννησε δὲ τρεῖς παῖδας. δάρδανον τὸν ἐς τροίαν κατοικήσαντα. ὃν καὶ πολύαρχόν φασι λέγεσθαι ὑπὸ τῶν ἐγχωρίων, καὶ ἠετίωνα, ὃν ἰασίωνα ὀνομάζουσι. καὶ φασὶ κεραυνωθῆναι αὐτὸν ὑβρίζοντα ἄγαλμα τῆς δήμητρος. τρίτην δὲ ἔσχεν ἁρμονίαν, ἣν ἠγάγετο κάδμος. καὶ ἀπὸ τῆς μητρὸς αὐτῆς ἠλεκτρίδας πύλας ἐν θήβαις ὀνομάζεσθαι ἱστορεῖ ἑλλάνικος ἐν πρώτῳ τρωϊκῶν, καὶ ἰδομενεὺς ἐν πρώτῳ τρωϊκῶν. Ἀρρήκτοις ἀγανῆσι. τάς τε λετὰς λέγει, τὰς ἐν σαμοθράκῃ ἀγομένας, ἃς εἴ τις μυηθείη ἐν τοῖς κατὰ θάλασσαν χειμῶσι δὲ

σώζεσθαι. καὶ ὀδυσσέα δέ φασι μεμυημένον ἐν σαμοθράκῃ χρήσασθαι τῷ κρηδέμνῳ ἀντὶ ταινίας. περὶ γὰρ τὴν κοιλίαν οἱ μεμυημένοι ταινίας ἅπτουσι πορφυράς. καὶ ἀγαμέμνονα δέ φασι μεμυημένον ἐν ταραχῇ ὄντα πολλῇ καὶ κατὰ τροίαν διὰ ἀκαταστασίαν τῶν ἑλλήνων, παῦσαι τὴν στάσιν πορφυρίδα ἔχοντα. μυοῦνται δὲ ἐν τῇ σαμοθράκῃ τοῖς καβείροις, ὧν μνασέας φησὶ καὶ τὰ ὀνόματα. τέσσαρες δ' εἰσὶ τὸν ἀριθμόν. ἀξίερος. ἀξιόκερσα. ἀξιόκερσος. ἀξίερος μὲν οὖν ἐστὶν ἡ δημήτηρ. ἀξιόκερσα δὲ ἡ περσεφόνη. ἀξιόκερσος δὲ ὁ ἅδης. ὁ δὲ προστιθέμενος τέταρτος κάσμιλος, ὁ ἑρμῆς ἐστιν, ὡς ἱστορεῖ διονυσόδωρος. ἀθηνίων δέ φησιν ὅτι διὸς καὶ ἠλέκτρας ἐγένετο ἰασίων καὶ δάρδανος. καβείροι δὲ δοκοῦσι προσαγορευέσθαι ἀπὸ καβείρων τῶν κατὰ φρυγίαν ὀρῶν. ἐπεὶ ἐντεῦθεν μετηνέχθησαν. οἱ δὲ δύο εἶναι τοὺς καβείρους φασὶ πρότερον. πρεσβύτερον μὲν δία, νεώτερον δὲ διόνυσον. ἡ δὲ σαμοθράκη ἐκαλεῖτο πρότερον λευκοσία, ὡς ἱστορεῖ ἀριστοτέλης ἐν σαμοθρᾴκης πολιτείᾳ. ὕστερον δὲ ἀπὸ σάου τοῦ ἑρμοῦ καὶ ῥήνης παιδὸς, σάμος προσωνομάσθη κατὰ πρόσθεσιν τοῦ μ. θρακῶν δὲ οἰκησάντων αὐτὴν ἐκλήθη σαμοθράκη. Σαώτεροι. ἀκινδυνότεροι. λέγονται γὰρ οἱ αὐτόθι μυηθέντες ἐπακούεσθαι εἰς ὃ ἂν εὔξωνται, ὡς ἀριστοφάνης φησίν. ἀλλ' εἴ τις ὑμῶν ἐν σαμοθρᾴκῃ τυγχάνει μεμυημένος νῦν ἐστὶν εὔξασθαι καλόν. δοκοῦσι γὰρ μᾶλλον σώζεσθαι, οἱ τὰ μυστήρια εἰδότες. Τῶν μὲν ἔτ' οὐ προτέρω. τὸ μὲν προτέρω

τέρῳ ἐστὶ σημαντικὸν τοῦ εἰς τοὔμπροσθεν. ὡς καὶ παρ᾽ ὁμήρῳ. οὐδ᾽ ἄρα μοι προτέρω νῆες κίον. κεῖται δὲ νῦν καταχρηστικῶς ἀντὶ τοῦ λόγου. ὁ δὲ νοῦς. τοιούτων δὲ οὐκ ἂν ἔτι πλέον τι εἴποιμι. ἀλλὰ χαίροι μὲν ἡ νῆσος. χαίροιεν δὲ καὶ οἱ δαίμονες, ὧν ἐστὶ τὰ μυστήρια. οὐ γὰρ καθῆκον ἡμῖν ἐστιν αὐτὰ λέγειν. Ὄργια. τὰ μυστήρια. παρὰ τὸ εἴργειν τοὺς ἀμυήτους αὐτῶν. ἢ τὰ ἐν ὀργάσι γινόμενα. ὀργάδες δὲ οἱ σύμφυτοι τόποι καὶ ὑγροί. Μέλανος. μέλας πόντος οὕτω λεγόμενος ὡς ἱστορεῖ εὔδοξος ἐν δ. τῆς περιόδου. ὄπισθεν δὲ αὐτοῦ ἐστὶ τὴν σαρπηδονίαν πέτραν φασίν. ὅτι δὲ οὕτω λέγεται καὶ ὅμηρος. ἔνθορε μείλανι πόντῳ. ὠνομάσθη δὲ ἀπὸ μέλανος τοῦ φρίξου υἱοῦ ἐμπεσόντος. ἢ ἀπὸ ποταμοῦ μέλανος καλουμένου κἀκεῖ ῥέοντος. Τῆς μὲν θρηκῶν. ταύτῃ μὲν τῇ χειρὶ τῇ δεξιᾷ. περαίην δὲ τὴν κατὰ τὸ ἐναντίον κειμένην. ἡ δὲ ἴμβρος ἀντικρύ ἐστι τῆς θράκης ὅμηρος. ἔς τ᾽ ἴμβρον καὶ ἐς σάμον καὶ λῆμνον. σάμον γὰρ εἶπεν ἐνταῦθα τὴν σαμοθράκην. Χέρνησον. τὴν μετὰ θράκην κειμένην χερσόνησον. ἦν δὲ πρότερον νῆσος. κεῖται δὲ ἀντικρὺ τῆς τροίας. ἔστι καὶ ἑτέρα χερσόνησος καρίας, ἔνθεν ἦν ἀλέξανδρος ὁ περὶ καρίας γράψας. Ἀθαμαντίδος. τὴν ἔσιν εἰς τὸν ἑλλήσποντον ἀπὸ ἕλλης τῆς ἀθάμαντος θυγατρὸς κληθέντα. Ῥοιτειάδος ἀπὸ ῥοιτείας τῆς πρωτέως θυγατρός. ῥοίτειον δὲ ἐν σιγείῳ ἀκρωτήριον τῆς ἰλίου. Ἀβυδνίδος. ἡ ἀβυδνὶς πόλις τῆς λαμψάκου. ὠνομάσθη δὲ ἀπὸ αἰτίας τοιαύτης. διονύσου ἐρασθεῖσα ἀφροδίτη ἐμίγη αὐτῷ.

καὶ ἀναχωρήσαντος αὐτοῦ εἰς τὴν ἰνδικὴν, ἐμίγη τῷ ἀδώνιδι. ὡς δὲ ἦλθεν ὁ διόνυσος, στέφανον πλέξασα ὑπήντησεν αὐτῷ. ἣ στέψασα αὐτὸν, ἀκολουθῆσαι μὲν ᾐδεῖτο διὰ τὸ ἤδη πεγαμῆσθαι. εἰς δὲ λάμψακον ἀναχωρήσασα, τὸν ἐξ αὐτοῦ κυοφορούμενον ἐβούλετο τεκεῖν. ἥρα δὲ ζηλοτυποῦσα μεμαγευμένῃ τῇ χειρὶ ἐφήψατο τῆς γαστρὸς αὐτῆς, καὶ ἐποίησε τεκεῖν παῖδα τά τε ἄλλα δύσμορφον, καὶ αἰδοῖον ἔχοντα ὑπέρμεγα, ὃν πρίαπον προσαγορευθῆναι. ἰδοῦσα δὲ ἡ ἀφοδίτη οὐκ ἠξίωσεν ἀναλαβέσθαι, τά τε ἄλλα μισήσασα τὸν παῖδα, καὶ διὰ τὸ ἀπρεπὲς τοῦ αἰδοίου. διὰ τοῦτο τὴν ἀφοδίτην ἀπαρνηθῆναι τὸν παῖδα ἐκεῖ ἀπαρνὶς ἡ πόλις ἐκλήθη. ὕστερον δὲ κατὰ μετάθεσιν τοῦ στοιχείου ἐκλήθη ἀβαρνίς. περκώτη δὲ πόλις τροίας, ἧς καὶ ὅμηρος μέμνηται.

Πιτύεια. ἡ λάμψακος πρότερον πιτύεια προσηγορεύετο. ἣν τινὲς πιτύαν ὀνομάζουσιν. τινὲς δέ φασιν ὅτι φρίξος γενόμενος ἐνταῦθα θησαυρὸν ἔθηκεν. ἀπὸ τούτου ἡ πόλις ὠνομάσθη. θρᾷκες γὰρ τὸν θησαυρὸν πίτυν λέγουσιν. μνημονεύει δὲ αὐτοῦ καὶ ὅμηρος. καὶ πιτύειαν.. Πορφύροντα. τὸν τοῖς ῥοθίοις μελαινόμενον, καὶ σφοδρὰ κύματα ἔχοντα.

35 Ἔστι δέ τις αἰπεῖα. προποντίς ἐστι τὸ μετὰ τὸν ἑλλήσποντον πέλαγος. οὗ ἑξῆς ὁ θρακικὸς βόσπορος. ἐν δὲ ταύτῃ τῇ προποντίδι ἔστι νῆσος ἣ ὕστερον χερρόνησος γεγένηται, ἣ ἰσθμόν τινα ἔσχεν. πᾶσα γὰρ στενὴ διέξοδος εἰς θάλασσαν, ἰσθμὸς καλεῖται.

ταύτῃ

ταύτῃ δὲ τῇ χερρονήσῳ παράκειται ἄρκτων ὄρος, κυρίως οὕτω λεγόμενον. ἐπειδή φασι τὰς τροφοὺς τοῦ Διὸς ἐκεῖ διατριβούσας εἰς ἄρκτους μεταβληθῆναι. ἢ ὅτι ὁ τόπος ἔνθηρος καὶ ἀπὸ τοῦ θηρείου τῶν ἄρκτων ὠνομάσθη. ἢ διὰ τὸ ὑψηλὸν τοῦ ὄρους ἀπὸ τοῦ δοκεῖν ταῖς ἄρκτοις προσπελάζειν ταῖς ἀστρῴοις. τοῦτο δὲ ἄγριοί τινες γηγενεῖς ᾤκουν. αὐτὴν δὲ τὴν χερρόνησον καὶ τὸν ἰσθμὸν ᾤκουν Δολίονες, ὧν ἐβασίλευε κύζικος. τὸ δὲ ἑξῆς οὕτως. ἔστι δέ τις ἐν τῇ προποντίδι νῆσος ὑψηλὴ, ἀπέχουσα βραχὺ τῆς φρυγίας κατὰ τὸ ῥεῦμα τοῦ ἰσθμοῦ, ἐπικειμένη τῇ γῇ ὑπὲρ τὸν αἴσηπον ποταμὸν, ἔχουσα ἑκατέρωθεν ἀκτάς. καλοῦσιν ἄρκτων τὸ ὄρος. ἔστι δὲ χερρόνησος ἐφ' ἧς κεῖται ἡ κυζικηνῶν πόλις. νῆσον δὲ αὐτὴν ἔφη, διὰ τὸ πρότερον αὐτὴν οὖσαν νῆσον ὕστερον συνῆφθαι τῇ ἠπείρῳ. ἀμφίδυμοι δὲ ὅτι ὁ τοῦ κυζίκου λιμὴν δισσὰς εἰσόδους ἐξ ἑκατέρου μέρους ἔχει. ἀπὸ φρυγίης. ἡ φρυγία παράκειται τῇ τροίᾳ. ἔστι δὲ τὰ ἔθνη τῆς ἀσίας. τοῖς δὲ εἰς κόλχους πλεομένοις, ἐκ μὲν δεξιῶν ἐστιν ἡ ἀσία, ἐκ δὲ ἀριστερῶν ἡ εὐρώπη. πολυλήϊον δὲ τὴν φρυγίαν εἶπε τὴν πολύπυρον, ἢ πολυθρέμμονα. Ὅσον τ' ἰσθμὸς ὑπέρ. ὅσον φησὶ διάστημα ἰσθμοῦ ἐστι. οἱ δὲ τὸ ὅσον θαυμαστικῶς ἤκουσαν, ὃ κρεῖττον. ἵνα ᾖ, ἡ χερρόνησος, καὶ εἰς θάλασσαν κειμένη καὶ ἰσθμὸν ἔχουσα. εἶτα θαυμαστικῶς. ὅσον τι ἐκεῖνος ὁ ἰσθμὸς βοᾷ τοῖς κύμασι ῥησσόμενος. ἰσθμὸς δὲ καλεῖται ὁ ἐξ ἀμφοτέρων τῶν με-

ρῶν θάλασσαν ἔχων τόπος, οἷον ἰσθμός τις ὤν. εἴ
ρηται δὲ ἰσθμὸς παρὰ τὸ ἐν στενῷ εἶναι, ὅθεν καὶ τράχηλος
τὰ περιίσθμια. πορθμὸς δὲ ἡ ἐξ ἀμφοτέρων τῶν μερῶν
γῆν ἔχουσα στενὴ θάλασσα. Καταείμενος. κατα
ρεόμενος, ἢ καταπνεόμενος, ἢ κεκαλυμμένος φυ
τοῖς. Γηγενέες. τούτων καὶ ἡρόδωρος μνημονεύει ἐν
τοῖς ἀργοναυτικοῖς. ὅτι ἐπολέμησαν ἡρακλεῖ.
οἱ μὲν οὖν γηγενεῖς περὶ κύζικον ᾤκουν. οἱ δὲ δολίο
νες περὶ τὸν ἰσθμόν. Ἐν δ' ἥρως αἰνήιος. ὅτι αἰ
νεὺς θετταλὸς τὸ γένος, ᾤκησεν ἐν ἑλλησπόντῳ.
γήμας δὲ εὐσώρου βασιλέως τῶν θρακῶν αἰνήτην
γεννᾷ κύζικον, ἀφ' οὗ ἡ πόλις. εὐσώρου δὲ υἱὸς
ἀκάμας ὃν ὅμηρος ἐν τῇ βοιωτίᾳ ἡγεῖσθαι θρακῶν
ἅμα τῷ πείρῳ φησίν. Ἄλλως. κυζίκου πατὴρ αἰ
νεὺς ἀπόλλωνος παῖς καὶ στίλβης. ὅθεν καὶ πόλις
ὠνόμασται θυγατρὸς δὲ εὐαιθείας. μετέστη δὲ ἐκ
θετταλίας καὶ ᾤκησε περὶ τὸν ἑλλήσποντον. Δίου
εὐσώροιο. τοῦ ἐνδόξου εὐσώρου ἡ θυγάτηρ. εὔσωρος
δὲ θρᾴκης βασιλεύς. ὅμηρος. υἱὸν εὐσώρου ἀκά
μαντ' ἠΰν τε μέγαν τε. Λιμὴν ὑπέδεκτο. πά
νορμος λιμὴν τῆς κυζίκου, οὗ ὁμώνυμος πόλις ἐν
σικελίᾳ. Κεῖσε δ' εὐναίης. λείπει ἡ ἀντί, πρόθε
σις, ἵν' ᾖ τὴν, ἀντὶ εὐναίας καὶ ἀγκύρας λίθον δὲ τὸ
βεβρῶσθαι ἐκ τῆς θαλάσσης ἀπολύσαντες ἕτερον ἔ
λαβον. ἐκεῖνον δὲ κατέλιπον ἐν τῇ ἀρτακίῃ κρήνῃ.
μιλήσιοι δὲ ἐνοικήσαντες κατὰ χρησμὸν ἀπόλλω
νος ἄραντες τὴν ἄγκυραν αὐιέρωσαν ἐν τῷ ναῷ τῆς
ἰασονίας ἀθηνᾶς. Κρήνη ὑπ' ἀρτακίῃ. ἀρτακία

κρήνη περὶ Κύζικον, ἧς καὶ Ἀλκαῖος μέμνηται καὶ Καλλίμαχος, ὅτι τῆς Δολιονίας ἐστίν. Νηλεΐδαι. οἱ μὲν Νηλέως τοῦ Κόδρου ἀποικήσαντες ἐκ τῆς Ἀττικῆς Ἴωνες καὶ τὴν Καρίαν καὶ Φρυγίαν κατασχόντες χρησμοῖς τοῦ Ἀπόλλωνος ἐκεῖνον τὸν λίθον τῇ Ἀθηνᾷ ἀφιέρωσαν. ὀλίγον λίθον τὸν μικρὸν ἔφη ὡς καὶ Ὅμηρος ὀλίγην σφαλπίζαν. καὶ Θεόκριτος ὀλίγον κοῦρον.

36 Τούς δ' ἄμυδις. Δηΐλοχος τοὺς μὲν Δολίονας οὐκ ὀνομάζει. τὸν δὲ Κύζικον φησὶ πυθόμενον τὴν τῶν ἀριστέων γενεὰν ξενίσαι. στόλον δὲ τὸν πλοῦν φησιν ὃν ἔστελλον. τὸ δὲ ἑξῆς. τούτους δὲ οἱ Δολίονες καὶ ὁ Κύζικος ἐπειδὴ ἔμαθον τίνες εἰσί, φιλοφρόνως ἐξένισαν, καὶ ὅτι καὶ οἱ Δολίονες ἄποικοι Θετταλῶν εἰσι. διὸ καὶ αὐτοὺς ὡς ὁμοφύλους ἐδέξαντο. Πέπιθον. ἔπεισαν αὐτοὺς ἐνδότερον ὁρμίσαι τὴν ναῦν. τὸ γὰρ πλοῖον ἔξωθεν τῆς πόλεως ἦσαν ὁρμίσαντες. Ενθ' οἵγ' ἐκβασίῳ. ἀπὸ τῆς ἐκβάσεως τῆς νεὼς περὶ τὴν Δολιονίαν. Δηΐλοχος δὲ τὸ ἱερὸν οὐκ ἐκβασίου Ἀπόλλωνος φησὶν εἶναι, ἀλλ' Ἰασονίου Ἀπόλλωνος. Σωκράτης δὲ ἐν ταῖς ἐπικλήσεσι Κυζικηνοῦ Ἀπόλλωνος φησὶ καλεῖσθαι. ὁ δὲ στόλος ὡς περιληπτικὸν ὄνομα συντάσσεται ἐνταῦθα πρὸς πληθυντικὸν ῥῆμα τὸ ἵκοντο. Ἰσόν που κἀκείνῳ. ἀντὶ τοῦ νεωστί. τὸ δέ φησιν ὡς καὶ τοῦ Κυζίκου τὴν αὐτὴν ἡλικίαν ἄγοντος τῷ Ἰάσονι. γράφεται δὲ ἁρμοῖ που κἀκείνῳ ὑποσταχύεσκε. ἀντὶ τοῦ ἀρτίως νεωστὶ ὑπηνύξανον ὑπήνθουν. ἴουλος δὲ καλεῖται

Ἴουλος δὲ καλεῖται ἡ πρώτη ἐξάνθησις καὶ ἔκφυσις τῶν ἐν τῷ γενείῳ τριχῶν. ὁ μέν τοι ἐρατοσθένης ὄνομα, ὡς τῆς ἐρίθου ἀπέδωκεν ἐν τῷ ἑρμῇ λέγων οὕτω. Ἡ χερνῆτις ἔριθος, ἐφ' ὑψηλοῦ πυλεῶνος δινδαλίδας τεύχουσα, καλὰς ᾔδεν ἰούλους. οὐκ ἔστι δέ φησι δίδυμος. ἀλλ' ὕμνος εἰς δήμητρα ὡς ὁ οὔπιγγος παρὰ τροιζηνίοις εἰς ἄρτεμιν. ἔστι δὲ οὖλος καὶ ἴουλος ἡ ἐκ τῶν δραγμάτων συναγομένη δέσμη. καὶ οὐλὼ ἡ δημήτηρ. λέγεται δὲ ἴουλος καὶ ζῶόν τι, θηρίδιον πολύπουν. ἑκατέρωθεν γὰρ ἔχει πολλοὺς πόδας ὥσπερ ἡ σκολόπενδρα. θεόφραστος δὲ ἐν τῇ πρὸς φανίαν ἐπιστολῇ καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι, ὡς παρὰ σοφοκλεῖ ἐν κωφοῖς σατύροις. κυλισθεὶς ὥς τις ὄνος ἰσόπριος. Μεμόρητο. ἐκεκλήρωτο. ἀπὸ τῆς τύχης μεμοιραμένως εἶχεν. τὸ δὲ κατάλληλον. οὐδέ νύ πω παίδεσσιν ἀγάλλεσθαι. μετοχὴ ἀντὶ ἀπαρεμφάτου μεμόρητο. Ἀκήρατος. ἀντὶ τοῦ ἄπαις καὶ καθαρὰ ὠδίνων, κλείτη δὲ θυγάτηρ μέροπος περκωσίου τὸ γένος μάντεως, ἣν κύζικος ἔγημεν, ὡς ἱστορεῖ δηΐλοχος καὶ ἔφορος. Ἀντιπέρηθεν. ἢ τὸ ἐκ τῆς εὐρώπης δηλοῖ. ἀντίκειται γὰρ ἡ εὐρώπη τῇ ἀσίᾳ. ἢ τὸ ἐκ τοῦ ἀντικειμένου τῆς προποντίδος πρὸς τὴν κύζικον. τῆς γὰρ πιτυείας βασιλεὺς ἦν μέροψ ὁ περκώσιος, ὡς δηλοῖ ὅμηρος ἐν καταλόγῳ. Βάλλεν ἄτερ δείματα θυμοῦ. τοῦτο ἐμφαίνει, ὅτι χειμόν τινα ἔοικε φοβεῖσθαι, ὡς μέλλων τεθνήξεσθαι ὑπὸ τῶν ἀργοναυτῶν. Ἀνιῶν. ἰόντε πλοῦν καὶ ἐφ' ἣν πρᾶ

ξιν ἔπλεον. ἀστείως δὲ ταύτην αὐτοῖς τὴν ἐρώτησιν δίδωσι τὴν κατεπείγουσαν καὶ χρησίμην. περικτιόνων δὲ περιοίκων. οὐ μὲν ἐπὶ προ. εἰς τοὔμπροσθεν τῆς δολιονίας. ἡ αὐτὶ τοῦ δόλου. διὰ δὲ τούτου οὐδὲν ἕτερον ἢ τὴν ἀπραγμοσύνην τοῦ κυζίκου ἐμφαίνει.

37 Ἧι δ' εἰσαγινέεσαν. ἡ εἰς, πρόθεσις περιττή. δίνδυμον δὲ ὄρος κυζίκου ἱερὸν τῆς ῥέας, διὰ τὸ διδύμους μαστοὺς ἐν αὐτῷ ἀνήκειν, ὥς φησι φιλοστέφανος οὕτω προσαγορευθέν. σύμπασα δὲ ἡ φρυγία ἱερὰ τῇ θεῷ. ἢ διὰ τὸ δύο ἔχειν οὕτω καλεῖται. χυτοῦ λιμένος. χυτὸς λιμὴν ἐν κυζίκῳ οὕτω καλούμενος. ἐπεχείρησαν γὰρ οἱ πελασγοὶ χῶσαι αὐτόν, ὥς φησι δηΐλοχος. κατὰ ἔχθος τὸ πρὸς τοὺς θεσσαλούς, ὑφ' ὧν ἐξεβέβληντο, οὗτος δὲ ὑπὲρ τῶν γηγενῶν φησι κεχῶσθαι αὐτὸν ποιητικῶς. Γηγενέες δηΐλοχος θετταλοὺς εἶναι φησὶν ἐγχειρογάστορας. τοὺς δὲ γηγενεῖς φησι τοῖς ἀργοναύταις ἐπιβουλεῦσαι δοκοῦντας λῃστὰς εἶναι. Ἀμφιβρῶτας ἤτοι διερρωγυίας καὶ διεσχισμένας, ἢ διαβεβρωμένας ὑπὸ τῆς θαλάσσης. Θεὰ τρέφεν. μυθικῶς φησιν ὑπὸ ἥρας ἐφ' ἡρακλεῖ τετράφθαι τοὺς γηγενεῖς. ὁ δὲ μῦθος ἀπὸ τοῦ νεμαίου λέοντος αὐτοὺς γεννᾷ. πολύγνωστος δὲ ἐν τοῖς περὶ κυζίκου λῃστὰς αὐτοὺς λέγει. μέμνηται δὲ καὶ καλλίμαχος ἐν οἷς φησι. τὴν δὲ μίαν κελάδοντος ὑπὲρ ποταμοῖο φυτοῦσαν ἥρης ἐννεσίῃσιν ἀέθλιον ἡρακλῆϊ ὕδρον ὄφα γένοιτο πάγος κραύνιος ἐδίκ

ρω. Ὦ ἄλλοι τῆς νεωτέρας ἰάδος τὸ ὢ ἄλλοι. τὸ δὲ ἔνδοθεν, ποτὲ μὲν παραπληρωματικόν, ποτὲ δὲ ἀντὶ τοῦ δηλαδή. ἢ ὡς δή. ὑπερβίβασται δὲ ἡ φράσις. ἔστι γὰρ τὸ ἑξῆς. ὡς δὲ καὶ ὢ ἄλλοι δῆθεν ἀπόφοιτοι αὐλιόωντες ἦλθον τὸ φόνοιο. Εἰσόκε πάντας. ἀδιαλείπτως. ἢ ἀνεκπλήκτως πειρασομένους ἐδάϊξαν. ἢ οὕτως ἐναντιούμενοι ταῖς δυνάμεσιν ἀκαταπαύστως αὐτοὺς ἀνεῖλον.

58 Ὡς δ' ὅτε δούρατα μακρά. ἡ παραβολὴ εἰς πάντα ἁρμόδιος καὶ ὑγιής. ξύλοις γὰρ εἰκάζει αὐτοὺς πρὸς τὸ εὐτράπελον τῶν σωμάτων, καὶ πρὸς τὴν ἐν τοῖς ὄρεσιν αὐτῶν διατριβήν. καὶ ξυλοτόμοις δὲ τοὺς ἥρωας. τὸ δὲ ὄφρα νοτισθέντα κρατεροὺς ἀνέχοιατο γόμφους, πρός τε τὴν τῶν αἰγιαλῶν ἐγγύτητα καὶ πρὸς ἕτερον. ὅτι οἱ τέκτονες τοῦτο ποιοῦσιν, ἵνα πλείονος καμάτου ἀπαλλαγῶσιν, ἐργαζόμενοι καὶ τοὺς σφῆνας ἐμβάλλοντες. ὁμοίως δὲ καὶ οἱ ἥρωες αὐτοὺς ἀνεῖλον. ὅπως λοιπὸν αὐτοῖς ἀκίνδυνος γένηται ἡ εἰς τὸ ὄρος ἀνάβασις. Ὄφρα νοτισθέντα. ὅπως βραχέντα εὐεπίδεκτα γένηται τῶν σφηνῶν.

Ἐνὶ ξυνοχῇ. ἐν τῇ περιφερείᾳ, καὶ τῷ πρώτῳ τοῦ λιμένος. δύπτοντες κεφαλάς. ἀντὶ τοῦ δύνοντες τὰς κεφαλάς. παρατατικὸν δὲ εἴρηκεν ἀντὶ συντελικοῦ δύψαντες, οἱ τῷ τύπτειν τὴν κεφαλὴν κατενεχθέντες. δύπτειν δέ ἐστι τὸ δύειν ὡς παρὰ Καλλιμάχῳ. δύπται δ' ἐξ ἁλὸς ἐρχόμενοι. πρότερος δὲ Ἀντίμαχος. ἠΰτε τις καύηξ δύπτῃ ἐς ἁλμυρὸν πέλαγος. Ἀταρβής. ἀκίνδυνος καὶ ἄφοβος

ὡς

ὡς τῶν ἐχθρῶν ἀπολωλότων. Ῥιπὴ μένεν. οὐκ ἔτι ἀσφαλὴς ἡ ὁμοία ἔμμενεν ἡ τῶν ἀνέμων πνοή. ἀλλ' ἐναντία ἐγένετο. προσληπτέον γὰρ τὸ ἡ, ἄρθρον. ἐξ ἧς ὁ λόγος. ἰούσης δὲ νυκτὸς, οὐκ ἔτι ἔμενεν ὁμοίως ἡ πνοὴ τῶν ἀνέμων. Ἀλλὰ θύελλαι. αἱ χειμεριναὶ καταιγίδες καὶ πνοαί. ὅθεν ὅμηρος ἐν συνωνυμίᾳ τίθησι θυέλλας τε καὶ ἁρπυίας, ἀντὶ τοῦ καταιγιδώδεις πνοάς. ἀπὸ τοῦ ὅλον ἁρπάζειν παραγωγος. ὡς δ' ὅτε πανδαρέου κούρας ἀνέλοντο θύελλαι. εἶτα τόφρα δὲ τὰς κούρας ἅρπυιαι ἀνηρείψαντο. ὡς τῶν αὐτῶν οὐσῶν. τὸ μὲν, ἀπὸ τοῦ ἁρπάζειν. τὸ δὲ ἀπὸ τοῦ θύειν. ὅ ἐστι μετὰ βίας ἄγειν. ἁρπάγδην δὲ εἴπεν ἀπὸ τοῦ ἁρπάζειν. ὡς φοράδην ἀπὸ τοῦ φέρειν. καὶ ἀΐσδην ἀπὸ τοῦ ἀΐσσειν. Ἐκ δ' ἄρ' ἔβησαν. ἐξέβησαν καὶ προσεπελάσθησαν πάλιν τοῖς δολίοισι. τὸ δὲ εὐξείνοισιν ὥσπερ καὶ αὐτοὺς ξεινοπαθῶν ὑπὸ τοῖς συμβεβηκόσι τούτου φησίν. Ἱερὴ δὲ φατίζεται. κατ' εὐφημισμόν. τὰ γὰρ μεγάλα τῶν παθῶν εὐφήμως ἱερὰ καὶ καλὰ φασίν. ὡς καὶ τὰς ἐριννύας εὐμενίδας καὶ τὴν λοιμικὴν λέπραν. οἱ δὲ καὶ νόσον ἱερὰν ἐκάλεσαν, ὡς καὶ Καλλίμαχος. ψευδόμενοι δ' ἱερὰν φημίζομεν. Ἐπήισαν, οὐκ ἐπήρχοντο φησὶν ἀληθῶς ὡς ὑπὸ τοὺς ἥρωας. ἠγνόησαν γὰρ διότι νὺξ ἦν. Μακριέων τῶν καλουμένων μακρώνων, οἵ εἰσιν ἀττικοὶ εὐβοέων. ἀφ' οὗ καὶ μακρῶνες ἐκλήθησαν. καὶ μάκρις γὰρ ἡ εὔβοια ἐκαλεῖτο. πελασγικὸν δὲ εἶπεν διὰ τὸ πλησιόχωρον εἶναι τὴν εὔβοιαν τῇ πελοποννήσῳ. ἢ πρότερον ἐκαλεῖτο πελασγία. ἦσαν δὲ ἀστυγείτονες τῶν δολιόνων οἱ μακρῶνες.

οἱ δὲ, ἔθνος βαρβάρων φασὶ τοὺς μάκρωνας, οἵτινες ἀεὶ πολεμοῦσι τοῖς κυζικηνοῖς. ἦσαν δὲ τὰ πολεμικὰ ἔργα ἠσκηκότες, ὡς ἱστοροῦσι φιλοστέφανός τε καὶ ἡρόδωρος, οἱ τὰ περὶ τῶν βίων αὐτῶν γεγραφότες. Διονύσιος δὲ ὁ χαλκιδεὺς εἰρῆσθαί φησιν αὐτοὺς μάκρωνας, ἐπειδὴ ἡ εὐβοέων εἰσὶ μάκρωνες ἄποικοι. ἄλλοι δὲ μάκρωνας αὐτοὺς φασὶ λέγεσθαι διὰ τὸ πλείστους εἶναι παρ' αὐτοῖς μακροκεφάλους, ὥσπερ παρὰ τοῖς πέρσαις γρυπούς. μέμνηται δὲ τούτων ἡρόδοτος ἐν δευτέρᾳ. πελασγικὸν δὲ ἄρεα εἶπεν τὸν τῶν μακρώνων, ἐπεὶ εὐβοέων εἰσὶν ἄποικοι. ἡ δὲ εὔβοια πλησίον πελοποννήσου κεῖται. ἥτις τὸ παλαιὸν πελασγὶς ἐκαλεῖτο.

Σὺν δ' ἔλασεν. τὸ ὁμηρικὸν παραγράφει σὺν δ' ἔβαλον ῥινοὺς σὺν δ' ἔγχεα καὶ μένη ἀνδρῶν.

Ητ' ἐνὶ θάμνοις. τοῖς στελέχεσι τῶν δένδρων ἀπὸ τοῦ θέσεως, θάμνος ἔφυ τανύφυλλος ἐλαίης. καὶ ταῦτα δὲ ἐξ ὁμήρου παρῆκται. μαίνετο δ' ὡς ὅτ' ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ οὔρεσι μαίνηται βαθέης ἐνὶ τάρφεσιν ὕλης. ζαμενής. ἄγαν ἰσχυρός. τὸ ζα κατ' ἐπίτασιν ὄντος, ὡς ζάπλουτος, ζάκοτος, ζάθεος..

39 Υπὲρ μόρον ἐνυπακούεται τὸ χῶν, ἢ ἄλλο τι παραπλήσιον. ἵν' ἡ οὐδ' ὅγε ὁ κύζικος ὑπὲρ χῶρον τὸν μέρον τῆς δηϊοτῆτος. Εἰδραίωθη. ἀντὶ τοῦ ἐθραυσθη. τὸ δὲ μοῖραν ἀνέπλησεν, τὸ πρόσταγμα τῆς εἱμαρμένης ἐτέλεσε. Τὴν γὰρ θέμις. τοῦτ' ὥσπερ ἀπολεκτικόν ἐστιν τοῦ ἄφυκτον εἶναι τὴν μοῖραν. ὡς

ὡς ὅμηρος ἐν τοῖς ἄλλοις δείκνυσιν. Λευκέος ἐκ-
τοσθεν ἄτης. οὐ προσηνοῦ ἀποικίας πικρᾶς. δεῦ-
κος γὰρ τὸ γλυκύ. ὅθεν πολυδεύκης. καὶ τῶν ζῴων εὐ-
φρητικώτατος. ὡς ἀπεριωθεὶς ἅμα τῷ ἀδελ-
φῷ διασώζει τὰς ναῦς. ἢ ἀφανοῦς καὶ ἀπροορά-
του περὶ τὸ δίκῳ. τὸ δὲ ἔκτοθεν, ταυτόν ἐστι τὸ
ἐκτός. περὶ δὲ μάχης καὶ δηϊλόχοις ἱστορεῖ. πε-
ρὶ δὲ τῆς κυζίκου αἱρέσεως, καὶ τῆς ὅλης μά-
χης, οὐ συμφωνεῖται. ἔφορος μὲν γὰρ τοὺς δολίο-
νας πελασγοὺς ὄντας, καὶ ἐχθρωδῶς διακειμέ-
νους πρὸς τοὺς τὴν θεσσαλίαν καὶ μαγνησίαν κατοι-
κοῦντας, διὰ τὸ ἀπελαθῆναι ὑπ᾽ αὐτῶν, ἐπιθέσθαι
αὐτοῖς νύκτωρ γράφει ἐν τῇ ἐννάτῃ. ἠκολούθη-
κε δὲ ἀπολλώνιος δηϊλόχῳ. καλλισθένης δὲ ἐν
τῷ πρώτῳ τοῦ περίπλου κατ᾽ ἔχθραν φησὶ τοὺς οἰ-
κοῦντας τὴν κύζικον ἐπιθέσθαι νυκτὶ τοῖς ἀργο-
ναύταις. Τηλεκλῆα ἠδὲ μεγαβρόντην. πέ-
πλακε τὰ ὀνόματα ταῦτα ἀπολλώνιος, οὐκ ἀ-
πὸ ἱστορίας ἔλαβεν. οὕτω ταρραῖος. τὴν δὲ κύ-
ζικον οἱ μὲν ὑπὸ διοσκούρων φασὶν ἀναιρεθῆναι,
ἄλλοι δὲ ὑπὸ ἰάσονος. τὸ δὲ ἑξῆς ὡς νῦν κακῶς
κεῖται. ἔστι γὰρ προσληπτικόν, ἰσοδυναμοῦν τὸ ἑ-
αυτοῦ. Ἀρτακέα. ἡρωδιανὸς βαρυτονεῖ τὸ ὄνομα
ἐν τῷ τρίτῳ τῆς καθόλου. ἀρτάκης γάρ. Ἠύτε
κίρκοις. εἶδος ἱέρακος. ἔστι δὲ ἱεράκων γένη ἕξ,
ὡς καλλίμαχος ἐν τοῖς περὶ ὀρνέων. ὡς ὅμηρος
δὲ ἔοικε τοῦτο γινώσκειν. οὐδέ κεν ἴρηξ κίρκος
ὁμαρτήσειεν ἐλαφρότατος πετεηνῶν. καὶ κίρκοι

ἀπόλλωνος ταχὺς ἄγγελος. ὁ δὲ ἱέραξ, ἱερός ἐστιν ἀπόλλωνος. πέλεια δὲ πολυσπορᾶς εἶδος, ὅμοιον φάττῃ, ὥς φησιν ἀριστοτέλης. Ὑποτροπίῃ. ὑποστροφῇ, τουτέστι φυγῇ. Ἠῶθεν δ' ὀλοήν. ἅμα ἠοῖ κακὴν ἀμπλακίην τὸ ἀπροσμήχανον εἶδον, οἷον ἀβοήθητον. Τρὶς περὶ χαλκείοισι δίχα. χαλκείοις σὺν ἔντεσιν. ὑπερβατὸν δέ ἐστι τὸ δ' ἐξῆς. χαλκείοις σὺν ἔντεσι πολὺ δινηθέντες, ὅ ἐστι περιδραμόντες. Τύμβῳ ἐνεκτερεΐξαι. τύμβον ἔστησαν τὸ ταρχῦσαι τὸ θάψαι. Κτερεΐξαι τὸ τύμβον ποιῆσαι, καὶ τὰ ἀπὸ τοῦ τύμβου τελέσαι. ἔθαψαν τὸν τάφον αὐτοῦ ποιήσαντες. τὸ δὲ ἐσκέχυται ὁμηρικῶς κατὰ τὴν ἀρχαίαν ἀγωγήν. χυτὴν ἐπὶ γαῖαν ἔχευαν. τοῦ δὲ λειμωνίου πεδίου μέμνηται δηίλοχος, περί τε τοῦ τάφου κυζίκου ὁ αὐτός.

40 Οὐδ' ἄλοχος κλείτη. ὁ μὲν ἀπολλώνιος νεόγαμον τὸν κύζικον τὸ ἄπαιδα ἱστορεῖ. εὐφορίων δὲ ἐν ἀπολλοδώρῳ μελλόγαμον. τὴν δὲ κλείτην οὐ μέροπος λέγει θυγατέρα. θρῇσσαν δὲ τὴν πιάσου. οὐδὲ παθεῖν τι ἐπὶ τῷ τοῦ ἀνδρὸς θανάτῳ, ἀπαχθῆναι δὲ οἴκαδε ὑπὸ τοῦ πατρός. νεάνθης δὲ ἐν τοῖς μυθικοῖς συμφωνεῖ τῷ ἀπολλωνίῳ. περὶ δὲ τῆς κλείτης φησὶ δηίλοχος ὑπὸ λύπης τελευτῆσαι. ἱστορεῖ δὲ ἀπολλώνιος ἄτεκνον τὸν κύζικον ἀναιρεθῆναι. νεάνθης δὲ ἐσχηκέναι φησὶ παῖδα ὁμώνυμον ἑαυτοῦ. Τὴν δὲ τὸ αὐτήν. ἔστιν ἤτοι ὅτι πρὸς θαυμασμὸν τοῦ πάθους. τοσοῦτον γὰρ ἦν, ὡς καὶ τὴν θείαν φύσιν ἀνεγεῖραι. ἢ ὅτι ὑπόκειται αἰγιαλ

κου

κες θρηνοῦσι. ἵνα ᾖ, μετὰ τῶν ὀλλιόνων καὶ αὐταὶ αἱ νύμφαι ὠδύραντο τὴν κλείτην. εὐάνθης δὲ ἐν δηϊλόχοις ἱστοροῦσιν ὅτι ἀπήγξατο ἡ κλείτη, καὶ ὅτι ἡ ταύτης κρήνη ἐν κυζίκῳ. Ην καλέουσι κλείτην. ἀντὶ τοῦ ὁμωνύμου τῇ παιδί. πρὸς πλείονα χρόνον τοῦ πάθους τὴν μνήμην σώζεσθαι βουλόμενοι. περικλεὲς δὲ ἢ τὸ ἐπίδοξον καὶ διαβόητον ἐκ τοῦ πάθους ὑπερβολῆς, καὶ τὸ πρὸς τὸν ἄνδρα διαθέσεως γενόμενον. Μυληφάτου. τοῦ πυροῦ, ὅ ἐστι τοῦ σίτου, τοῦ ἀλεύρου τοῦ ὑπὸ μύλης τεθραμμένου ἐν τῷ ἀλήθεσθαι, φησὶ δὲ τοὺς ἄρτους. Χύτλα. κυρίως τὰ μεθ᾽ ὕδατος ἔλαια. καταχρηστικῶς δὲ ὡς ἐνταῦθα τὰ ἐναγίσματα καὶ αἱ χοαί. πέλανοι δὲ πέμματα πριῶ. ἀττικοὶ δὲ πᾶν τὸ πεπηγὸς οὕτω λέγουσι. τὸ δὲ κύζικον ἐνναίοντες, ἀντὶ τοῦ οἱ κυζικηνοί. ἰάονες δὲ τοὺς ἀττικοὺς τῶν μιλησίων. καὶ γὰρ εἰς μίλητον ὁ νηλεὺς ἀττικίαν ἔστειλαν. καὶ ἐκεῖθεν τὴν κύζικον μετὰ πολὺν χρόνον. ὅθεν καὶ τοὺς μιλησίους ἴωνας ἐκάλεσεν.

Πελάνους ἐπαλευρεύουσι. πᾶς δῆμος ὑπὸ τοῦ μύλης ἐπαλευρεύουσι καὶ ἀλήθουσι πλάνους. πέλανος δὲ ὁ δὲ πεπηγμένος καὶ ῥυπαρὸς κατὰ ἀττικούς, ὡς καὶ εὐριπίδης. στόμαρος ἀφώδη πέλανον. φησὶ δὲ τοὺς ἀκαθάρτους καὶ εὐτελεῖς ἄρτους, οὓς ὁ θεόκριτος δωρικούς φησιν. Ημαρ ὁμοῦ. τὸ ὁμοῦ παρ᾽ ὁμήρῳ μὲν, τὸ ἐν αὐτῷ τῷ τόπῳ σημαίνει. ὁμοῦ δ᾽ ἔχον ὠκέας ἵππους. παρὰ δὲ τοῖς μεθ᾽ ὅμηρον καὶ ἄλλα σημαίνει, ὡς καὶ σοφοκλῆς ἐπὶ χρόνου τέθεικεν αὐτό. πόλις δ᾽ ὁμοῦ μὲν θυμιαμάτων γέμει. ὁμοῦ δὲ παιάνων

τε καὶ στεναγμάτων. νῦν δὲ ἀντὶ τοῦ ὁμοίως κεῖται, ὡς καὶ παρ' Εὐριπίδῃ· ὁμοῦ γέροντες καὶ νέοι καὶ μητέρες. ἐπιπλομένην, τὴν ἐπερχομένην φησίν. Ὧ' ἄλλοι μὲν ῥα. ἡ τοιαύτη συναλοιφὴ τῆς νεωτέρας ἰάδος ἐστί. διὸ μέμφονται Ζηνοδότῳ εἰπόντι. ὧ' ἄλλοι μὲν ῥα θεοί τε καὶ ἀνέρες. οὐ κέχρηται δὲ ταύτῃ ὅμηρος. Πύματον λέχος. ὕστερον κλῖσον καὶ μερίδα τοῦ ἐν τῇ δολονίᾳ ὕπνου λαμβάνοντες, καὶ ἐκεῖσε ὑπνοῦντες. τῇ γὰρ ἑξῆς ἀναπλεῖν ἔμελλον. Ἀδινὰ κνώσσοντας. ἐφύλαττον μεγάλως καὶ βαθέως ὑπνοῦντας. ὁ δὲ ταῤῥαῖος λεπτὰ κοιμωμένους, καὶ οὐ κατὰ βάθος. Λῆξιν ὀρινομένων. τὴν κατάπαυσιν καὶ λώφησιν τῆς τῶν ἀνέμων βίας. τὸ δὲ ὄρνεον θαλάσσιον, καὶ ἐν τοῖς αἰγιαλοῖς βιοῦν. λέγεται δὲ καὶ ὁ Ζεὺς ἐφεξῆς πέντε καὶ δέκα ἡμέρας, ἢ ὥς τινες δεκατέσσαρας εὐδίας ποιεῖν, ἵνα ἀποκυήσῃ παρὰ τοῖς αἰγιαλοῖς. καὶ ἀλκυονίδες ἡμέραι καλοῦνται ἑπτὰ πρὸ τοῦ τόκου, καὶ ἑπτὰ μετὰ τὸν τόκον. εἴληφε δὲ τὰ περὶ τῶν ἀλκυόνων παρὰ πινδάρου ἐκ παιάνων. εὐλόγως δὲ ὄσσαν εἶπε τὴν ἀλκυόνος φωνήν. ὑπὸ γὰρ ἥρας ἦν ἀπεσταλμένη, ὥς φησι πίνδαρος. Ἀκταίης ὄρνιθος. τῆς παρὰ ταῖς ἀκταῖς καὶ τοῖς αἰγιαλοῖς διαβιβούσης καθήκουσαν φωνὴν ἀκούσας. Ἀφλάστοιο. ἀπολλώνιος ἐν ταῖς λέξεσιν ἀποδέδωκεν ἄφλαστον τὸ ἀκροστόλιον οὐκ εὖ, ἐπειδὴ τὸ ἀκροστόλιόν ἐστι τοῦ στόλου. στόλος δὲ λέγεται τὸ διέχον ἀπὸ τῆς πτύχης, καὶ διῆκον ἄχρι τῆς πρώρας ξύλον. πτύχη δὲ

λέγεται

λέγεται, ὅπου τὸ τῆς νεὼς ἐπιγράφεται ὄνομα. ἔστιν δὲ ἀκροστόλιον τὸ ἄφλαστον κατὰ τὴν πρῶραν. ἀλλ' ὁ ποιητὴς αὐτὸ παραδίδωσιν ἐπὶ τῆς πρύμνης λέγων. ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν οὔτι μεθίει ἄφλαστον μετὰ χερσὶν ἔχων. καὶ εἴρηται ἄφλαστον κατὰ συγγένειαν τοῦ, φ, πρὸς τὸ, θ, ἄθλαστον κατὰ ἀντίφασιν, ἐπεὶ εὔθλαστόν ἐστιν. ἔστιν δὲ ἄφλαστον σανίδιον κατὰ τὴν πρύμναν.

41 Ἐκ δὲ τοῦ, ἄνεμοί τε. ἐκ ταύτης φησὶ ῥέας, καὶ γῆ καὶ θάλασσα καὶ οὐρανὸς συνέχεται. οἱ δὲ φυσικοὶ αὐτὴν γῆν φυσιολογοῦσι τὴν πάντων ἁρμονίαν καὶ δεσμόν. καὶ τὸ ὄνομα αὐτῆς ἐτυμολογοῦσι παρὰ τὸ ῥεῖν ἀεὶ καὶ ποιεῖν πέρατα. καὶ φυσικῶς ταύτης ἄνδρα τὸν κρόνον φασὶ, οἱονεὶ τὸν χρόνον μεταβολῇ τοῦ αὐτοστοίχου. σύνεστι δὲ τῇ τῶν στοιχείων τάξει ἐξ ἀνάγκης ὁ χρόνος. καὶ εἶτα λοιπὸν ἀλληγορικῶς τούτους τῶν θαλασσίων καὶ οὐρανίων, καὶ χθονίων θεῶν, πατέρας εἶναι φασί. μετὰ γὰρ τὴν τῶν στοιχείων θέσιν καὶ σύνδεσμον συνέβη, καὶ θεοὺς, καὶ θεῶν δυνάμεις, καὶ διαφορὰς μαθεῖν τοὺς ἄνδρας, καὶ τιμῆσαι. τὸ πεπείρηται ἀντὶ τοῦ συνέχεται, καὶ συνέζευκται. Ἱδρῆς ἐκ πείσματα. ἧς καὶ ἐν τοῖς πρώροις μέμνηται εἰπών. ἱδρὴ δὲ φατίζεται ἤδ' ἔτι πέτρη. Ἤρεσαν. ἐκωπηλάτησαν, τῷ δὲ συντελικῷ ἐχρήσατο ἀντὶ παρατατικοῦ τοῦ ἤρεσσον. λιμένα δὲ θρηΐκιον λέγει, ἐπειδὴ κεῖται μὲν ἡ κύζικος ἐπ' ἐσχάτοις τῆς φρυγίας. συνάπτει δὲ ἡ βιθυνία τῇ φρυγίᾳ. βιθυνοὶ δὲ θρᾶκες κατὰ τὸ δεξιὸν μέρος. ἢ ἐπειδὴ θρᾶκες κύζικον ᾤκησαν. Καὶ

πᾶσα περαίη θρηϊκίης. καὶ πᾶσα ἡ ἐναντία χώρα τῆς θράκης. ποντικὸν δὲ ἔθνος οἱ μάκρωνες. τὸ δὲ χερσὶν ἑαῖς, οὐκ εὖ εἴρηκεν. ὤφειλε γὰρ σφετέραις. Στόμα βοσπόρου ἠερόεν, οἷον ἀερῶδες ἤτοι ὁμιχλῶδες. βόσπορος δὲ τὸ τῆς προποντίδος στενὸν, οὕτω κληθὲν, ἀπὸ τῆς διανηξαμένης βοὸς τῆς ἰοῦς. Ἐκ δ' ἑτέρης. οὐ λέγει ἠπείρου τῆς εὐρώπης. ἡ γὰρ μυσία καὶ ὁ αἴσηπος τῆς ἀσίας. ἐπὶ ἑτέρας δὲ χώρας λέγει τῆς τρῳάδος, κατ' ἣν ὁ αἴσηπος ῥεῖ, χωρίζων αὐτὴν ἀπὸ μυσίας. καὶ ὅμηρος γρήνικός τε καὶ αἴσηπος. ἡ δὲ τρῳὰς ἀπὸ μυσίας ἀρχομένη ἀπὸ μεγάλης ἐπὶ αἰσήπου λήγει. ἡ δὲ δολιονία καὶ φρυγία, ἄρχεται μὲν ἀπὸ αἰσήπου, λήγει δὲ ἐπὶ ῥύνδακον. μυσίαι δὲ δύο, ἥ τε εὐρωπαία, καὶ ἡ ἀσιανή. τῶν οὖν ἐν ἀσίᾳ μυσίας αἱ κολῶναι τοῖς ἀργοναύταις ἐφαίνοντο. Καὶ πεδίον νηπήιον. πεδίον νηπείας ἐστὶ περὶ κύζικον. μνημονεύει δὲ αὐτοῦ καὶ καλλίμαχος ἐν ἑκάλῃ. νηπείης ἥ τ' ἄργος ἀοίδιμος ἀδρήστεια. τὴν δὲ νήπειαν διονύσιος ὁ μιλήσιος, πεδίον τῆς μυσίας φησὶν εἶναι. ὁ γὰρ βασιλεὺς τῶν μυσῶν, θυγατέρα ἰάσου ἔγημεν ὄλυμπος νήπειαν ὄνομα. καὶ κατῴκησεν ἐν τῷδε πεδίῳ τούτῳ, ὃ νῦν καλεῖται νηπείας πεδίον. ἀπολλόδωρος δέ φησι νηπείας πεδίον ἐν φρυγίᾳ. ὁ δὲ καλλίμαχος φησὶν ἐν ὑπομνήμασι νέμεσιν εἶναι τὴν τὸ πεδίον κατέχουσαν. ἔστι δὲ καὶ πόλις καλουμένη ἀδρήστεια ἀπὸ τοῦ ἱδρυσαμένου. ὁ δὲ ἀπολλώνιος ἑκατέρων μέμνηται, περί τε πόλεως, καὶ τοῦ πεδίου. φησὶ γὰρ ἄστυ τε καὶ πεδίον νηπήιον ἀδρηστείης. περὶ δὲ πόλεως καὶ ὅμηρος μνημονεύει. οἵ δ' ἀρ

ἀδρήστειαν

ἀδρῆς ἕδραν εἶχον. Ἔσκε δέ τι στιβαρόν. στύπος
τὸ πρέμνον ἢ στέλεχος, ὅθεν ἀπεστύπαζον.
βρέτας δὲ τὸ βροτῷ ἐοικός. ἢ εὐφυείων ἐκ τού-
του κινηθεὶς τὸ ξόανον περὶ μητρὸς τῶν θεῶν φησιν
ἀμπέλινον εἶναι, διὰ τὸ τὴν ἄμπελον ἴσως ἱερὰν
εἶναι περὶ ῥέας. πρόχνυ δὲ παντελῶς. γεράνδριον τὸ
παλαιὸν ξύλον. Κολωνῷ. τῇ ἐξεχούσῃ
ἀκρωρείᾳ.

42 Χέραδος. χέρας ἡ τῶν βραχέων λίθων συλλο-
γή, τῶν καθ' ἕνα χειρὶ ληφθῆναι δυναμένων, οὓς ὅ-
μηρος χερμάδια φησί. τὸ δὲ βωμόν, ἀντὶ τοῦ εἰς βω-
μοῦ κατασκευήν. ἢ χέραδες λέγονται οἱ μικροὶ σω-
ροὶ τῶν λίθων. φησὶ δημήτριος ὁ σκήψιος τὴν διάλεκ-
τον ἀπὸ ἰωνίας τῶν ἐν τῷ πόντῳ. μνημονεύει καὶ
σαπφώ, μὴ κίνη χέραδος. ἢ ὅμηρος. ἄλις χέρα-
δος περιχεύας. χέραδος δὲ ὁ τῶν λίθων σωρός. εἰς δὲ
τὴν τοῦ βωμοῦ κατασκευήν, λίθοις ἐσώρευον. Δρυΐ-
νοισιν. εἰκότως, ἡ γὰρ δρῦς, ἱερὰ τῆς ῥέας, ὡς φησιν ἀπολ-
λόδωρος ἐν τρίτῳ περὶ θεῶν. δρυΐνοις δὲ αὐτοὺς
φησι στέφεσθαι, διὰ τὸ μεμερίσθαι τῇ θεῷ τὸ δένδρον
τοῦτο, διὰ τὸ καὶ πρὸς στέγας, ἢ πρὸς τροφὴν πρῶτον
χρησιμεῦσαι. Δινδυμίην. τὴν ἐν τῷ Δινδύμῳ
ὄρει τιμωμένην ἐπικαλούμενοι καὶ ἱκετεύοντες.
Ἐνναέτιν φυγίης Τιτίην θ' ἅμα. περὶ τῶν ἰδαίων
δακτύλων καλουμένων πρώτους φασὶν εἶναι καὶ
παρέδρους τῇ μητρὶ τῶν θεῶν, ἀκολούθως Με-
νάνδρῳ, λέγοντι, μιλησίους ὅταν θύωσι τῇ
ῥέᾳ, προθύειν Τιτίᾳ καὶ Κυλλήνῳ. εἰσὶ δὲ

ὄυρι τῶν ἰδαίων δακτύλων μοιρηγέται καὶ μητρὸς θε
ῶν πάρεδροι. καλλίστρατος δὲ ἐν τῷ δευτέρῳ τῶν
καθ' ἡρακλείαν περὶ τιτίου φησί. τιτίας ἥρως ἐγχώ
ριος, ὃν οἱ μὲν θεύονται παῖδα διός, οἱ δὲ, πρε-
σβύτερον τῶν μαριανδυνοῦ τοῦ κιμμερίου παίδων.
δι' ὃν μάλιστα τὸ ἔθνος ηὔξηται καὶ προσάπτεται πρὸς
εὐδαιμονίαν. καὶ προμαχίδας δὲ ἐν τοῖς περὶ ἡρακλεί
ας λέγει περὶ τιτίου ὅστις ἦν. καὶ θεοφάνης, ἀπε-
θεώθη δὲ ἀπὸ μαριανδυνῶν. ὅτι δὲ νύμφη τις οἰαξί
δος γῆς δραξαμένη τοὺς καλουμένους ἰδαίους δακτύ
λους ἔτεκε, παρὰ στησιμβρότου εἴληφε. καὶ ὅτι διὰ τὸ
ῥυῆναι αὐτοὺς διὰ τῶν χειρῶν, δάκτυλοι κληθῆναι. σο-
φοκλῆς δὲ αὐτοὺς φρύγας καλεῖ ἐν κωφοῖς σατύ-
ροις. Δάκτυλοι ἰδαῖοι. ἓξ καὶ πέντε φασὶ τούτους
εἶναι. δεξιοὺς μὲν τοὺς ἄρσενας, ἀριστεροὺς δὲ τὰς θη
λείας. φερεκύδης δὲ τοὺς μὲν δεξιοὺς εἴκοσι λέγει,
τοὺς δὲ εὐωνύμους τριακονταδύο. γόητες δὲ ἦσαν
καὶ φαρμακεῖς, καὶ δημιουργοὶ σιδήρου λέγονται εἶναι
πρῶτοι καὶ μεταλλεῖς γενέσθαι. ὠνομάσθησαν δὲ ἀπὸ
τῆς μητρὸς ἴδης. ἀριστεροὶ μὲν, ὥς φησι φερεκύδης,
οἱ γόητες αὐτῶν. οἱ δὲ ἀναλύοντες δεξιοί, ὡς ἑλλά
νικος. οἱ δὲ φασὶν ὅτι ἰδαῖοι δάκτυλοι ἐκλήθησαν,
ὅτι ἐν τῆς ἴδης ἐντυχόντες τῇ ῥέᾳ, ἐδεξιώσαντο τὴν
θεὸν, καὶ τῶν δακτύλων αὐτῆς ἥψαντο. ὡς δὲ μνασέας
ἐν πρώτῳ περὶ ἀσίας, ἰδαῖοι δάκτυλοι λέγονται ἀπὸ
τοῦ πατρὸς δακτύλου, καὶ τῆς μητρὸς ἴδης. ὁ δὲ τὴν φο
ρωνίδα συνθεὶς γράφων οὕτως. Ενθα γόητες Ἰδαῖ
οι φρύγες ἄνδρες ὀρέστεροι οἰκί' ἔναιον. κέλμις δαμ

ναμε

ταμήιεύς τε μέγας καὶ ὑπέρβιος ἄκμων, εὐπάλαμοι θεράποντες ὀρείης ἀδρηστείης. Οἳ πρῶτοι τέχνην πολυμήτιος ἡφαίστοιο εὗρον ἐν οὐρείῃσι νάπαις ἰόεντα σίδηρον ἔς πῦρ τ᾽ ἤνεγκαν, καὶ ἀριπρεπὲς ἔργον ἔδειξαν. Δικταῖον. τὸ κρητικὸν σπήλαιον. δίκτη δ᾽ ὄρος κρήτης. Ἐβλάστησεν. ἀντὶ τοῦ ἐγέννησεν. Δραξαμένη. ἔθος ἐστὶ ταῖς κυούσαις τῶν παρακειμένων λαμβάνεσθαι, καὶ ἀποκουφίζειν ἑαυτὰς τῶν ἀλγηδόνων ὡς καὶ λητὼ ἐλάβετο τοῦ φοίνικος. ἔδει δὲ εἰπεῖν ὀαξίδος, προσετέθη δὲ τὸ, ι. Ἐργώλας, διὰ τοῦ φόρως ἀνεγνώσθη. ἐπικρατεῖ δὲ ἡ βαρεῖα τάσις. Ὀρφῆος αἰωγῇ. τῇ τοῦ ὀρφέως παρακελεύσει, ὡς αὐτοῦ τῆς ὀρχήσεως προκατερχομένου. βηταρμὸν δὲ τὴν ὄρχησιν παρὰ τὴν ἁρμόδιον βάσιν αὐτοῦ. λέγει δὲ νῦν τὴν πυρρίχην ὄρχησιν. τὸ δὲ ἑξῆς ὠρχοῦντο τοῖς ξίφεσι τὰς ἀσπίδας κομποῦντες, διὰ τὸ τὴν κύζικον θρηνεῖσθαι ὑπὸ τῶν δολιόνων, ἵνα μὴ τῆς θυσίας οὔσης, δύσφημος φωνὴ ἀναφέρηται. ὅθεν καὶ φρύγες κυμβάλοις καὶ τυμπάνοις τὴν ῥέαν ἱλάσκονται. Ῥόμβοις. τροχίσκος, ὃν στρέφοντες ἱμᾶσι τύπτουσι, καὶ οὕτως τύπτοντες ἀποτελοῦσι. τινὲς δὲ ῥόμβον αὐτὸ καλοῦσιν, ὧν καὶ εὔπολις ἐν βάπταις καὶ δίδυμος.

45 Αὐταίη. ἡ ῥέα οὕτω λέγεται, διότι ἐναντία τοῖς τελχῖσιν ἐγένετο. ὡς δέ τινες αὐταίη ἡ εὐλιτάνευτος καὶ εὐάντητος. Σήματ᾽ ἔγεντο. διὰ τούτου οὐδὲν ἕτερον ὁ ποιητὴς φησὶν, ἢ τὴν τοῦ θεοῦ φύσιν. καὶ τοῖς φυσικοῖς φασὶ δοκεῖ τὴν αὐτὴν εἶναι τῇ γῇ. τὴν δὲ εὐμενείας σημεῖον, τὸ ἔγκαρπα εἶναι τὰ

δένδρα ἢ πόας αὐτομάτως φύειν. Ἀτρείνης. τῆς ἁπαλῆς ἢ χλωρᾶς. εἰλυοὺς δὲ τὰς καταδύσεις τῶν θηρῶν. ξυλόχους δὲ τοὺς ἐν τοῖς ὄρεσιν ὑλώδεις τόπους. ἔστι δὲ ὑπερβατόν. εἰλυούς τε ξυλόχους τε καταλιπόντες. δι᾽ ἀλλῶν δὲ τὸ θαυμαστὸν παρέστησε, διά τε τοῦ διψάδος, καὶ ὅτι οὐκ ὀλίγον τὸ ἀναδοθὲν ὕδωρ, ἀλλὰ καὶ ἄληκτον. τὸ δὲ ναῖεν οὐκ εὖ. ἔδει γὰρ χωρὶς τοῦ, ι, ἰάεν, ἵν᾽ ᾖ, ἔῤῥει, ὡς παρ᾽ Ὁμήρῳ. ἰᾶεν δ᾽ ὀρῷ ἄγγεα πάντα. ἡ δὲ σύνταξις κατὰ μετάθεσιν. ὡς τὸ, ῥέε δ᾽ αἵματι γαῖα, ἀντὶ τοῦ αἷμα ἔῤῥεεν ἐν τῇ γῇ. ἢ μεταληπτέον τὸ ναῖεν εἰς τὸ κατάῤῥυτον, ἵν᾽ ᾖ, κατάῤῥυτον τὸ Δίνδυμον ὕδασι. Ἀνεβράχθη, ἀντὶ τοῦ ἀνεδόθη. διψὰς τὴν ξηρὰν γῆν σημαίνει. νῆσον δὲ ἔοικε τὴν Κύζικον λέγειν ἐνταῦθα. ἀελλόποδας δὲ τοὺς ταχεῖς. τὸ δὲ κίχον, ἀντὶ τοῦ κατέλαβον. Ζαχρηέσιν αὔραις. μεγάλως ἐπιβαρούσαις καὶ πνεούσαις. κυρίως δὲ ζαχρηὲς τὸ βιαίως ταῖς χερσὶ πραττόμενον. παρὰ γὰρ τὰς χεῖρας πεποίηται ἡ λέξις, ἢ τὸ ζα, ἐπιτατικόν. τὸ μὲ τελώφεον, ἀντὶ τοῦ ἐπαύσαντο. Ἐφέλκετο. πρὸς τὴν πάντων αὐτοῦ ἀργίαν, καὶ τὴν τοῦ κύματος ὑπερβολήν, τὸ ἐφέλκετο πρὸς πλείονα εἶπεν ἔμφασιν, ὅπερ καὶ Καλλίμαχος ἐπὶ τοῦ ἡττηθέντος ταύρου φησίν. ὁ δ᾽ εἵπετο νωθρὸς ὁδίτης.

44 Ῥυνδακίδας. Ῥύνδακος τόπος ἐστὶ Φρυγίας, οὗ μνημονεύει Βακχυλίδης. ταῖς δὲ ἀληθείαις τάφος ἐστὶ τοῦ Βριάρεω κατὰ τὴν εἴσοδον. Καλλίμαχος δὲ ἱστορεῖ περὶ τοῦ ποταμοῦ ἐν τῷ περὶ τῶν κατὰ τὴν Ἀσίαν ποταμ.

καὶ δι

καὶ Δημήτριος ὁ Σκήψιος ἐν τῷ αὐτῷ διακόσμῳ. ἄλλως. Ῥυνδακὸς ποταμὸς Φρυγίας ὁ νῦν μέγιστος, πρὸς τῷ κατὰ τὴν ἔξοδον, καὶ Αἰγαίωνος τινὸς ἥρωος Μυσοῦ τάφος. Ῥυνδακὸς δὲ ὡς αἰακός. Μετὰ τὸ ἠρίον. γράφεται καὶ μετὰ τὸ ἱερόν. καὶ τὸ μὲν ἱερόν ἐστιν ὄρος ἤτοι ἀκρωτήριον. τὸ δὲ ἠρίον μνημεῖον. οἴομαι δέ τινα ἀγνοοῦντα τὸν μῦθον, τὸ ἠρίον μεταπεποιηκέναι. ἢ γραφέως ἁμάρτημά τι περιλελεῖφθαι τὸ η. ὁ δὲ περὶ τὸν Αἰγαίωνα μῦθος, ὑπὸ Δημητρίου φέρεται τοῦ Κνιδίου. Κόνων δὲ ἐν τῇ Ἡρακλείᾳ φησὶν, ὅτι Αἰγαίων καταγωνισθεὶς ὑπὸ Ποσειδῶνος, κατεποντίσθη εἰς τὸν νῦν λεγόμενον ὑπὸ τοῦ Ἀπολλωνίου ἱερὸν Αἰγαίωνος, τὸν αὐτὸν καὶ Βριάρεων καλῶν. περὶ δὲ τῆς κλήσεως τοῦ Αἰγαίου πελάγους ἐν μὲν τῷ τρίτῳ τῷ περὶ τῆς νησιάδος φησὶν ἐν Κύπροις τὸ Αἰγαῖον πέλαγος. οἱ μὲν, ἀπὸ τῆς παρακανίας αἰγὸς ἐπώνυμον γεγονέναι φασίν. οἱ δὲ, ἀπὸ τῆς Καρυστίας τῆς Αἰγαίης ὀνομαζομένης. αἱ μὲν γὰρ Αἰγαὶ ἔνθεν τὸν Ποσειδῶνα παραγίνεσθαι φασὶ, κατὰ Πελοπόννησον εἰσὶν ἐν χώροις παρακείμεναι τόποις. εἰσὶ δέ τινες, οἳ διὰ τὸ θεωρεῖσθαι δι' ὅλου τοῦ πελάγους τὴν παρακειμένην γῆν. τὸν δὲ Αἰγαίωνα Ἡσίοδός φησιν Οὐρανοῦ καὶ Γῆς. Βριάρεως δὲ καὶ Αἰγαίων, ὁ Γύγης ὁ αὐτὸς λέγεται συνωνύμως. Εὔμηλος δὲ ἐν τῇ Τιτανομαχίᾳ τὸν Αἰγαίωνα γῆς καὶ πόντου φησὶ παῖδα, κατοικοῦντα δὲ ἐν τῇ θαλάσσῃ τοῖς Τιτᾶσι συμμαχεῖν. ὁ δὲ Ἴων φησὶν ἐν διθυράμβῳ ἐκ μὲν τοῦ πελάγους αὐτὸν παρακληθέντα ὑπὸ Θέτιδος ἀναχθῆναι φυλάξοντα τὸν Δία. θαλάσσης δὲ παῖδα. ἄλλοι δὲ θαλάσσιον θηρίον

φασὶ τοῦτον. ταῤῥαῖος δέ φησιν, ὅτι γίγας ὢν καὶ φυγὼν ἐκ τῆς εὐβοίας ἀφίκετο εἰς φρυγίαν, κἀκεῖ ἐτελεύτησε. Τυτθὸν ὑπ᾽ ἐκ φρυγίης. τὴν οὖσαν ὀλίγον ἄνω τῆς φρυγίας. οὕτω δὲ καὶ ὅμηρος κεῖσθαι φησὶ τὴν φρυγίαν ἐγγὺς πάνυ τῆς μυσίας, διὸ καί τινες μίαν εἶναι φασὶν ἀμφοτέρας, διὰ τὸ πάνυ πλησιάζειν. Περιμέτρεον, περιέπλεον. Ἀνοχλίζων. ἀνακινῶν ἐν τῷ κωπηλατεῖν καὶ ἀνακόπτων τὰ κύματα κατὰ τὰς δίνας. τετρηχότος δὲ ταραχωμένου καὶ σφοδροῦ ὄντος. ὁλκοὺς δὲ τὰς φυσήσεις ἤτοι ἐπάρσεις ἤτοι μετεωρισμοὺς τῶν κυμάτων. τὸ δὲ μεσσόθεν, ἔμφασιν καὶ τῆς τοῦ πελάγους δεινότητος, ἤτοι τῆς τοῦ ἥρωος ῥώμης ἔχει. τρύφος δὲ τὸ κλάσμα τῆς κώπης. Μεσσόθεν ἆξεν. διὰ ταύτην τὴν αἰτίαν φασὶ καταλελεῖφθαι τὸν ἡρακλέα ἐν Κίῳ. οἱ δὲ ἐν ἀφέταις, ἐπειδὴ ἑτεροκλινῆ τὴν ἀργὼ ἐποίει. ἔφορος δὲ ἐν πρώτῳ παραδέδωκεν αὐτὸν δι᾽ ὀμφάλην καταλελεῖφθαι. Ἀήθεσσον. ἀήθεις ἦσαν τοῦ ἠρεμεῖν διὰ τὴν ἔμφυτον τοῦ ἥρωος δύναμιν. Ἐν προμολῇ. τῇ προσόδῳ ἤτοι τοῖς προθύροις. λέγονται δὲ προμολαὶ καὶ τὰ ἐξώπυλα μέρη, ὡς αὐτὸς ἐν τοῖς πρώτοις φησί. στῆ δ᾽ ἄρ᾽ ἐπὶ προμολῇσιν, οἱ δ᾽ ἀντίοι ἠγρέθοντο. τετρυμμένα δὲ ἀντὶ τοῦ καταπεπονημένα ὑπὸ τοῦ καμάτου. αὐσταλέος, ὁ κατάξηρος ἤτοι ἀνεπιμέλητος. περιφλιβέας τὰς πολὺ πονησάσας χεῖρας ὑπὸ τοῦ κόπου. τὸ δὲ ἠρήσατο, ἀντὶ τοῦ κατηράσατο, ἢ προσεῖπεν.

45 Κιανίδος. περιφραστικῶς τὴν κίον. ἔστι δὲ πό-

λις Μυσίας, ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῶν Μιλησίων ἀποικίας, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Κιανῶν πολιτείᾳ. κατῴκησαν δὲ αὐτὴν πρῶτον Μυσοί, ἔπειτα Κᾶρες, τρίτον Μιλήσιοι. ὁ ποταμὸς δέ ἐστιν οὕτως ὀνομαζόμενος τὴν Μυσίαν περιρρέων, οὗ μνημονεύει Σκύλαξ ὁ Καρυανδεύς. περιρρέει δὲ καὶ τὴν πόλιν ὁ ποταμὸς οὗτος. Ἀμφ' Ἀργανθώνειον. ὄρος τῆς Κίου. Ἤιά τέ σφι. ἐφόδια, βρώματα. σημαίνει δὲ καὶ τὰ ἄχυρα. Ὅμηρος. ἠίων θημῶνα τινάξῃ. Κάγκανα. κατάξηρα ξύλα. Λεχαίην φυλλάδα. τὴν πρὸς λέχη καὶ στιβάδας ἐπιτηδείαν ἀπὸ τοῦ λέχους. Στόρνυσθαι. λείπει τὸ, ὡς, ἵν' ᾖ, ὥστε στόρνυσθαι. τὸ δὲ δινεύεσκον, ἀντὶ τοῦ ἔστρεφον, περιέτριβον. τὰ γὰρ ξύλα περιέτριβον, καὶ ἐπ' αὐτῶν πῦρ ἔβαλλον. πυρήια δὲ ταῦτά φησι τὰ προστριβόμενα ἀλλήλοις πρὸς τὸ πῦρ ἐγγεννᾶν, ὧν τὸ μέν ἐστιν ὕπτιον, ὃ καλεῖται στορεύς. θάτερον δὲ παραπλήσιον τρυπάνῳ, ὅπερ ἐπιτρίβοντες τῷ στορεῖ στρέφουσιν. Διὸς δὲ υἱόν, τὸν Ἡρακλέα φησί. τὸ δὲ φθαίη, ἀντὶ τοῦ προλάβοι τοῦ πλοῦ. καταχείριον, τὸ τῇ χειρὶ ἁρμόδιον. Ἀλαλήμενος. ἢ διὰ τὸ ἄπειρος εἶναι τῶν τόπων. ἢ ἀντὶ τοῦ περιερχόμενος, ἕως ἂν αὐτὸ ἁρμόδιον εὕρῃ. Αἴγειρος δὲ παρὰ τὸ ἐκ γῆς ἔρας ἀΐσσειν καὶ κινεῖσθαι. ἢ παρὰ τὸ κατάγνυσθαι ὑπὸ τῶν ἀνέμων. Ἔδυ δ' ἀπὸ δέρμα. τὸ ἑξῆς, ἀπέδυ δέρμα λέοντος. χαλκοβαρεῖ δὲ τῷ ἰσχυρῷ. ἢ τῷ πρὸς τῷ τέλει χαλκῷ βεβαρημένῳ. Πείσανδρος δέ φησιν, ὁλόχαλκον εἶναι τὸ ῥόπαλον Ἡρακλέους. ἐτυμολογοῦσι δὲ αὐτὸ παρὰ τὴν ῥο

πὴν καὶ τὸ ἀλοιφῶν. διαπέδιον δὲ ἐκ τῆς γῆς ἢ τῆς ῥίζης σύπος, στέλεχος, ἔχμα, κώλυμα. Ἀπροφάτως, ἀθρόως. Καταΐξ. ἡ σφοδρὰ ὁρμή. Αὔτοις σφήνεσι. τοῖς περὶ τὴν ἰσοδόκην σφησὶ τοῖς περιέχουσι καὶ κρατοῦσι τὸν ἱστόν. ὅλου δὲ ἡ παραβολὴ ὑπὸ καὶ ἐρωμένη. ἱστῷ γὰρ τὴν ἐλάτην εἰκάζει, διὰ τὸ ἰθυτενὲς καὶ εὐαυξές. καὶ ὅτι κἀκείνη ἱστοῦ δίκην ἵσταται. χειμερινῷ δὲ καιρῷ τὴν ἀθρόαν τοῦ ἥρωος ἐπιφάνειαν. σφοδρῷ δὲ ἀνέμῳ, τὴν ῥώμην. τὸ δὲ αὐτοῖσι σφήνεσι, διὰ τὰ περιέχοντα τῆς ἐλάτης ῥίζαν χώματα. καὶ γὰρ ἐκεῖνα σφηνῶν δίκην τὴν ῥίζαν περιεῖχεν. τοὺς δὲ προτόνους εἰς τὸν τένοντα τὴν τάσιν τῶν ῥιζῶν. Τόφρα αὐτὶ τοῦ ἐν ὅσῳ.

46 Ὕλας. τὸν ὕλαν ὁ μὲν ἀπολλώνιος θειοδάμαντος φησὶν υἱὸν εἶναι, ἑλλάνικος δὲ θειομένους. αὐτικλείδης δὲ ἐν δηλιακοῖς ἱστόρησεν οὐ τὸν ὕλαν εἰς τὴν ὑδρείαν ἐξεληλυθέναι, ἀλλὰ τὸν ὕλον καὶ ἀνεύρετον γενέσθαι. ἐγένοντο δὲ πολλοὶ ἐρώμενοι ἡρακλέους, ὕλας, φιλοκτήτης, καὶ δίομος, καὶ περιθύας, καὶ φρίξ. ἀφ' οὗ πόλις λιβύης. σωκράτης δὲ ἐν τῷ πρὸς εἰδόθεον φησὶ τὸν ὕλαν ἐρώμενον πολυφήμου, καὶ οὐχ ἡρακλέους γενέσθαι. ὄνασος δὲ ἐν πρώτῳ ἀμαζονίδων ἀληθέστερον τὴν ἱστορίαν ἐκτίθεται, οὐχ ἡρπάσθαι αὐτὸν ὑπὸ νυμφῶν, ἀλλὰ κατενεχθῆναι εἰς κρήνην, καὶ οὕτως ἀποθανεῖν. ἀπρεπὲς δὲ νεανίαν ὑδρείαν βαστάζειν. ὅμηρος δὲ πρεπόντως παρθένον. πιθανώτερον δὲ ἦν ἀμφότερα εἰπεῖν, ὡς καλλίμαχος. Νηπίαχον τα. ἡρακλῆς γήμας δηιάνειραν τὴν

οἰνέως

οἰνέως θυγατέρα, καὶ λαβὼν ἐν καλυδῶνι ἐν συμποσίῳ, κύαθον ἤρι τὸν οἰνέως οἰνοχόον, ἀρχιτέλους δὲ παῖδα πλήξας κονδύλῳ ἀνεῖλεν, ὅτι αὐτοῦ τὰ ποδόνιπτρα ὕδατα ἀγνοῶν ἀπὸ τῶν χειρῶν ἐπέχεεν. φεύγων δὲ τὸν φόνον, καὶ σὺν τῇ γαμετῇ στελλόμενος, ἀνεῖλεν ἐν εὐήνῳ τῷ ποταμῷ νέσσον κένταυρον, ὡς καὶ ἀρχίλοχος ἱστορεῖ. ἔπειτα προϊών, ἔφερεν καὶ ὕλλον τὸν υἱόν. καὶ ἐλθὼν εἰς τὴν δρυοπίαν, λῃστρικὸν δὲ τὸ ἔθνος ὁμοροῦν τοῖς μηλιεῦσιν, ὡς φερεκύδης ἐν τῇ τρίτῃ φησίν. τοῦ παιδὸς πεινῶντος, καὶ τοῦ παιδαγωγοῦ λίχα ἀπολιμπανομένου, ἐντυχὼν τῷ θειοδάμαντι, ᾔτει ὀλίγην τροφήν. ὁ δὲ οὐκ ἐδίδου. ὀργισθεὶς δὲ ὁ ἡρακλῆς, καὶ ἀποσπάσας αὐτοῦ ἕνα τῶν βοῶν, θύσας εὐωχεῖτο. ὁ δὲ θειοδάμας ἐλθὼν εἰς τὴν τῶν δρυόπων πόλιν, ἐξῆγεν αὐτοὺς καθ᾽ ἡρακλέους, καὶ εἰς τοσαύτην ἀνάγκην κατέστη ὁ ἡρακλῆς, ὡς καὶ τὴν γυναῖκα δηϊάνειραν καθοπλίσαι. ὅτε δὴ καὶ τρωθῆναι φασὶν αὐτὴν κατὰ τὸν μαζόν. περιγενόμενος δὲ αὐτῶν καὶ ἀνελὼν τὸν θειοδάμαντα ἀνεδέξατο τὸν τούτου υἱὸν ὕλαν. καὶ τὸ πᾶν δὲ ἔθνος διὰ τὴν λῃστείαν μετῴκησεν περὶ τραχῖνα τὴν θεσσαλικὴν πόλιν, καὶ τὴν οἴτην τὸ ὄρος πρὸς τοῖς ὅροις τῆς φωκίδος, ἵνα τῇ πολλῇ τῶν ἀνθρώπων ἐπιμιξίᾳ τοῦ λῃστρικοῦ ἤθους ἀπόσχωνται. τούτων δὲ καὶ ὁ καλλίμαχος μέμνηται. φερεκύδης δὲ ἐν τῷ δευτέρῳ φησὶν ὅτι πολυδώρας τῆς δαναοῦ μίσγεται πηνειὸς ὁ ποταμός. τοῦ δὲ γίνεται δρύοψ, ἀφ᾽ οὗ δρύοπες καλοῦνται. οἰκοῦσι δὲ ἐπὶ τῷ σπερχειῷ ποταμῷ.

ἔχοι τὴν πρόφασιν. οὐκ ἄδικος ὢν ὁ Ἡρακλῆς τοῦτ' ἤθελεν, ἀλλ' ἵνα τὸ ἐκείνων λῃστρικὸν ὅλως παύσῃ. ἀλεξίκακος γὰρ ὁ θεός. ταύτῃ γοῦν τὸν θειοδάμαντα ἠρέθισεν, ἵν' ἀφορμῆς λαβόμενος τιμωρήσηται τὸ ἔθνος. Δρυόπεσσι βαλέσθαι. δρύοπες ἔθνος περὶ τὸν παρνασσὸν ἄδικον, ὃ καταπολεμήσας Ἡρακλῆς καὶ μετέστησεν εἰς πελοπόννησον. ὠνομάσθησαν δὲ ἀπὸ δρύοπος τοῦ λυκάονος ἢ δίας τῆς λυκαονίας. ἀντιόωντα, ἐναντιούμενον.

47 Ἀλλὰ τὰ μὲν τηλοῦ κεν φησίν, ὅτι τὴν ἡμῶν ποίησιν, καὶ τὴν τῶν ἀργοναυτῶν πλοῦν, καὶ τὰ συνδιαζόμενα ἀποπλανήσειεν, εἰ βουλοίμην εἰπεῖν τὰ συμβάντα τοῖς δρύοψιν. Ἄλλως. λείπει τὸ λεγόμενα, ἵν' ᾖ, ἀλλὰ ταῦτα λεγόμενα, ἀποστήσει με περὶ ἐν χερσὶν οὔσης ᾠδῆς. Ἠυκαλέοιο ὑπὸ πηγάς. ὄνομα κρήνης πηγαί. οὕτω κυρίως. ἀγχίγυοι δὲ οἱ πλησιόχωροι οἱ γείτονες. Ἐναύλοις. τὰ σπήλαια νῦν. ὑλήωροι, αἳ ἐν τοῖς ὄρεσι διατρίβουσαι. Καλλινάοιο, καλλιρρόου. Ἐφυδατίη. ὄνομα νύμφης. Ἐρευθόμενον τὸν λάμποντα. διχόμηνις, πανσέληνος. κύπρις, τὸ ἐρωτικὸν πάθος. Λέχρις ἐπιχριμφθείς. πλαγίως πρὸς τὴν κρήνην ἐπικλιθείς. ὁ δὲ νοῦς, ὡς καθῆκε τὴν ὑδρίαν εἰς τὴν κρήνην ἐμφορουμένου τοῦ ὕδατος εἰς τὸ ἀγγεῖον μετὰ σφοδροῦ ἤχου ἡ νύμφη τῇ μὲν εὐωνύμῳ χειρὶ τοῦ αὐχένος αὐτοῦ ἐπιλαβομένη, ἐφίλει φησίν. τῇ δεξιᾷ δὲ καθείλκυσεν αὐτὸν εἰς τὸ ὕδωρ. Αὐτίκα δ' ἤγ. θε ὅμοιος ἐν τοῖς βουκολικοῖς ἐν τῷ ὕλᾳ ἐπιγραφομένῳ.

υφ, ὑπὸ πασῶν φησὶν αὐτὸν τῶν νυμφῶν ἡρπάσθη. ὁ νασσος δὲ ἐν τῷ α. τῶν ἀμαζονικῶν, πεσόντα τὸν ὕλαν φησὶν ὑποβρύχιον γενέσθαι. καὶ νίκανδρος ἐν τῷ δευτέρῳ τῶν ἑτεροιουμένων ὑπὸ πασῶν φησιν αὐτὸν ἁρπαγῆναι τῶν νυμφῶν. ὁ δὲ ἀπολλώνιος ὑπὸ μιᾶς. Τέρεν. τὸ ἁπαλόν. ἐκ δὲ τούτου τὸ νέον. Εἰλατίδης. γράφεται καὶ εἰλασίδης. κατὰ γάρ τινας ἐλάσου υἱός ἐστιν ὁ πολύφημος, κατὰ δέ τινας ποσειδῶνος. γυναῖκα δὲ ἔχεν ὁ πολύφημος λαονόμην ἡρακλέους ἀδελφήν, ἀμφιτρύωνος καὶ ἀλκμήνης θυγατέρα. Προτέρωσε. ἀντὶ τοῦ εἰς τοὔμπροσθεν τῆς κελεύθου. Ἠΰτε τις θήρ. κυρίως οἱ ποιηταὶ τὸν λέοντα φασὶ θῆρα, ὡς καὶ καλλίμαχος. θηρὸς ἀδρτάζων δέρμα κατωμάδιον. Αἰθόμενος. καιόμενος τῷ λιμῷ. τὸ δὲ τοιοῦτον οὐχ ὡς ὁ λιμὸς θερμασίας ἐστὶ ποιητικός. ἀλλὰ τὸ αἰθόμενος καὶ ἰθὺ τοῦ σπεύδειν ἐστίν. Ἐνὶ σταθμοῖσιν. ἐνήλλακται ἡ ἐν. πρόθεσις ἀντὶ τῆς, εἰς. ὁ γὰρ νοῦς. οἱ γὰρ νομῆες εἰς τοὺς σταθμοὺς προήλασαν.

48 Ὡς ἴοτ' ἄρ εἰλατίδης. διόλου ὑγιὴς καὶ ἐρρωμένη ἡ εἰκών. προβάτοις καὶ βοσκήμασιν εἰκάζει τὸν ὕλαν, διὰ τὸ τῆς ἡλικίας νέον, καὶ τὸ τοῦ σώματος ἁπαλόν. θηρὶ δὲ κατακούσαντι καὶ σπεύδοντι, τὸν πολύφημον, διὰ τὴν ἔμφυτον τοῦ ἥρωος δύναμιν. τὸ δὲ λιμῷ αἰθόμενος, ὅτι καὶ αὐτὸς τῇ διαθέσει πρὸς τὸν παῖδα ὥρμα. τὸ δὲ οὐκ ἀπέκυρσε ποίμνῃσι. πρὸς τὸ συμβεβηκός. καὶ γὰρ ἡ νύμφη συνεῖρξεν τὸν παῖδα πρὸ τοῦ τῆς πολυφήμου παρουσίας καὶ βοηθείας. Λήϊδ' ἐρήμην

κτῆμα καὶ λάφυρον ἔρημον. καὶ διὰ τὸ ἀκμητὶ καὶ χωρὶς μάχης λαβεῖν. Εὖ δέ μιν ἔγνω. διὰ τὸ λάμπειν τὴν σελήνην. εἶπεν γὰρ ὅτι διχόμηνος ἔλαμπεν.

Ἀσθματι. τῷ ἐκ τοῦ δρόμου γινομένῳ φυσήματι.

49 Ὡς δ' ὅτε τίς τε μύωπι. μύωψ εἶδος μυίας κατὰ τὸ ἔαρ γινόμενον, ἥτις ταῖς λαγόσι τῶν βοῶν ἐπικαθεζομένη δάκνει αὐτάς, καὶ εἰς μανίαν ἄγει. ἀφ' οὗ καὶ οἶστρος λέγεται. Σώστρατος δὲ ἐν τῇ τετάρτῃ περὶ ζώων, διαστέλλει τὸν μύωπα τοῦ οἴστρου. ὁ μὲν γὰρ μύωψ ἐκ τῶν ξύλων ἀπογεννᾶται, ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζωαβίων. Πίσεα. τοὺς συμφύτους, ἢ ἑλώδεις καὶ πηλώδεις τόπους.

Ελεπίδας τινὲς τοὺς ἑλώδεις καὶ πηλώδεις τόπους. ἄμεινον δὲ τοὺς πετρώδεις, παρὰ τὸ λέπεσθαι ὑπό τε τοῦ ἡλίου ἢ ἀνέμου ἢ ὑετοῦ. ὅθεν καὶ λέπη τὰ ἀκρωτήρια τῶν ὀρέων. Εὐριπίδης· καὶ κιθαιρῶνος λέπας.

Ὡς ὅγε μαιμώων. δόλου ὑγιὴς ἡ παραβολή. ταύρῳ γὰρ βεβλημένῳ εἰκάζει τὸν ἡρακλέα, διὰ τὸ τοῦ ἥρωος καρτερόν. ὑποκείμενον δὲ μύωπα φησὶ τὴν τοῦ ὕλα ζήτησιν. καὶ γὰρ αὕτη δίκην μύωπος αὐτὸν ἤλαυνεν. τὸ δὲ πίσεά τε προλιπών, πρὸς τὴν ναῦν ἢ τὴν τῶν ἑταίρων σύνοδον. τὸ δὲ οὐδὲ νομήων, ὅτι οὐδὲ τοῦ ἐξάρχου τοῦ πλοῦ ἰάσονος ἐπεστράφη. οὐδὲ τῶν ἄλλων ἑταίρων. τὸ δὲ ἄλλοτ' ἄπαυστος. ὅτι ποτὲ μὲν ἔτρεχεν, ἕως κάμῃ. ποτὲ δὲ ἕστηκεν. τὸ δὲ ἵησι μύκημα ὅτι ἢ οὕτως ποτὲ ἐβόα καλῶν τὸν ὕλαν. Αὐτίκα δ' ἀκροτάτας. ἠῷον ἀστέρα τὸν ἑωσφόρον. ὁ δὲ ἑξῆς λόγος. ὡς δὲ πρὸς ταῖς ἀκρωρείαις ὁ ἑωσφόρος

ἐφάνη

ἐφάνη, παραχρῆμα πνοαὶ παρῆλθον. ταχέως δὲ ὁ Τῖφυς παρεκελεύσατο ἐμβάντας ἀπολύεσθαι. ἀνεκρούσαντο διὰ τοῦ προηγουμένου τὸ ἐπακολουθοῦν ἐδήλωσεν. ἀντὶ τοῦ τὸ ἱστίον ἐχάλασαν. Ὕψι δὲ νηός. ἀνασπάσαντες τὰς ἀγκύρας καὶ τοῦ ὅρμου ἀνακινήσαντες τὴν ναῦν. γελοῖος δὲ Ἔφορος, νομίζων πρῶτον Ἀνάχαρσιν τὴν διβολὴν ἄγκυραν εὑρηκέναι. πρεσβύτεροι γὰρ Ἀναχάρσιδος οἱ Ἀργοναῦται.

50 Ἦμος δ' οὐρανόθεν χαροπή. χαροπὴν τὴν ἠῶ, διὰ τὸ λαμπρύνειν τὸν ἀέρα καὶ φωτίζειν. τὸ δὲ γλαυκὸν καὶ χαροπὸν συνωνύμως λέγεται. ἀμφότερα γὰρ ἐστὶ τοῦ λαμπροῦ. διὸ καὶ ἐπήνεγκεν διαγλαύσσουσαν, ἀντὶ τοῦ φωτίζουσαν, ἢ διαλάμπουσαν. ὅθεν καὶ ἡ Ἀθηνᾶ γλαυκῶπις. καὶ γλήνη ἡ κόρη τοῦ ὀφθαλμοῦ, παρὰ τὸ γλαύσσειν, ὅ ἐστι λάμπειν. καὶ Εὐριπίδης ἐπὶ τῆς σελήνης ἐχρήσατο. γλαυκῶπίς τε στρέφεται μήνη. Περάτη. σημαίνει μὲν κατά τινας καὶ τὸ ὑπὸ γῆν ἡμισφαίριον. λέγεται δὲ κυρίως ἡ ἀνατολή. πέρας γὰρ αὕτη ἐστὶ τοῦ οὐρανοῦ κινήσεως. ἐκεῖθεν γὰρ ἄρχεται καὶ εἰς αὐτὴν τελευτᾷ. Τελαμῶνα δ' εἷλεν χόλος. οὗτος γὰρ πάνυ Ἡρακλέους γέγονεν ἑταῖρος, ὃς καὶ εἰς πολλοὺς ἄθλους αὐτῷ συνεμάχησεν, καὶ εἰς Ἴλιον συνέπλευσεν καὶ συνεπολέμησεν Ἀμαζόνας, καὶ τὸν Ἀλκυονέα ἀνεῖλεν, ὡς καὶ ὁ Πίνδαρος ἱστορεῖ. Θεόκριτος ἐνέδειξε τὴν φιλίαν αὐτῶν εἰπών. Οἳ μίαν ἄμφω ἑταῖροι αἰεὶ δαίνυντο τράπεζαν. ὁ δὲ λόγος. καθέζη ὡς ἔτυχεν ἥσυχος. Ἀπολλώνιος μὲν τὸν

ἀπολελεῖφθαι φησὶ τὸν ἡρακλέα περὶ κίον ἐκβάντα ἐπὶ τὴν ὕλα ζήτησιν. διονύσιος δὲ ὁ μιτυληναῖος συμπεπλευκέναι φησὶ τὸν ἥρωα τοῖς ἀριστεῦσιν ἕως κόλχων, καὶ τοῖς περὶ μήδειαν συμπεπραχέναι τῷ ἰάσονι. ὁμοίως καὶ δημάρατος. ἡρόδωρος δέ φησι μὴ συμπεπλευκέναι αὐτόν τε καί τινας ἄλλους. ἡσίοδος ἐν τῷ κήϋκος γάμῳ ἐκβάντα φησὶν αὐτὸν ἐφ' ὕδατος ζήτησιν τῆς μαγνησίας περὶ τὰς ἀπὸ τῆς ἀφέσεως αὐτοῦ ἀφέτας καλουμένας ἀπολειφθῆναι. ἀντίμαχος δὲ ἐν τῇ λύδῃ φησὶν ἐκβιβασθέντα τὸν ἡρακλέα διὰ τὸ καταβαρεῖσθαι τὴν ἀργὼ ὑπὸ τοῦ ἥρωος. τούτῳ καὶ ποσειδιππος ὁ ἐπιγραμματογράφος ἠκολούθησε καὶ φερεκύδης. Ἔφορος δὲ ἐν τῇ ε. φησὶ αὐτὸν ἑκουσίως ἀπολελεῖφθαι πρὸς ὀμφάλην τὴν λυδῶν βασιλεύουσαν. ἰδίως δὲ αὐτὸν κλείδημος ἐν τῇ β΄. τῶν δηλιακῶν, ὕλλον φησὶ τὸν ἡρακλέους υἱὸν ἀποβάντα ἐφ' ὕδωρ μὴ ὑποστρέψαι. Ὄφρα τὸ κείνου κῦδος. ἀστείως καὶ τεχνικῶς οὐ τοῦ κατεπείγοντος καιροῦ μέμνηται, ἀλλ' ἐπὶ τὸν νόστον ἀνάγει τὸν λόγον, ἵνα πλέον κακίσῃ τὴν πρᾶξιν. οὐδὲ γάρ σοι διεφέρετο ἐν σκυθίᾳ ὑπὸ ἡρακλέους ἡττῆσθαι. ἀλλ' ὅμως τοῦτό σοι αἰσχύνην ἔφερεν ὕστερον ἡμῶν εἰς ἑλλάδα ἐπανελθόντων. διὸ καὶ τὴν κοινὴν πάντων σωτηρίαν ὑπὲρ τῆς σῆς εὐδοξίας περιῆκας. Ἀλλὰ τί μύθων ἦδος. ἡρωδιανὸς ἐν τῷ εἰκοστῷ φησιν, ὅτι τὰ εἰς ος, λήγοντα οὐδέτερα δισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς ψιλοῦται· αἶχος, ἦθος, εὖρος, εἶδος. οὕτως οὖν καὶ ἦδος. τὸ δὲ ἥμος δασύνεται. καί τοι τὸ η,

ἔχον πρὸ τοῦ θ. τῇ ἐννοίᾳ τοῦ ἴσω μέλλοντος δασυνομένου. ἐλλείπει δὲ τὸ σοι. ὁ δὲ νοῦς. ἀλλὰ τί τοσοῦτον ἦδ' ὅς μοι λόγον. χρεύομαι δὲ χωρὶς τῶν συντιθεμένων σοι τοῦτον τὸν δόλον. Ὀστλίγγων. αἱ λαμπηδόνων. ἐν ἄλλοις δὲ σημαίνει ἡ λέξις τοὺς βοστρύχους. ἀπ' ὀστλίγγων δ' αἰεὶ ἀλειφαρέει. τοῦτο δέ φησιν ἡρωδιανὸς ἐν τῷ δευτέρῳ τῆς καθόλου. παρὰ μὲν ἀπολλωνίου ἐστὶ φιλῆται διὰ τοῦ α, τὸ ἂψ ἐστὶ ὀπίσω. ἐκ παραλλήλου. Λαῖτμα βιησάμενοι. ἀντὶ τοῦ μαχεσάμενοι τῷ κατεπείγοντι ἀνέμῳ καὶ βιασάμενοι. λαῖτμα δὲ τὸ κῦρος τῆς θαλάσσης καὶ διάστημα, οἱονεὶ λάτμημα. ἢ παρὰ τὸ λατύπεσθαι ὑπὸ τῶν κυμάτων, ὅ ἐστι τύπτεσθαι. σπλωὸς δὲ ἐν γλώσσαις πέλαγος ἔστιν. καὶ εἴρηται αὐτὸς ἐν πρώτῳ ἀπολλωνίου ἀποδεδώκασιν. Εἰ μὴ θρηϊκίοιο. τούτους ἡρακλῆς ἀνεῖλεν ὕστερον εὑρὼν περὶ τῆνον τὴν νῆσον, ἣ παράκειται δήλῳ, ἐπειδὴ ἡρακλῆς ἐμνησικάκει τοῖς βορέαις. ὅμηρος. τὸν σὺ ξὺν βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας. αἰνησίδαμος δὲ ἐν τηνιακοῖς ἐπειδὴ τὸν ἡρακλέα ξενίσαντες ἐνήδρευσαν αὐτὸν φονεῦσαι βουλόμενοι.

Ἄθλων γὰρ πελίαο. ἕως τοῦ ἀμφ' αὐτοῖς. ὅτι ἡρακλῆς ἀνεῖλε τοὺς βορεάδας, διὰ τὸ κωλῦσαι τὴν ναῦν ὑποστρέψαι πάλιν εἰς τὴν μυσίαν φησὶν ἀπολλώνιος. σῆμος δέ φησι διὰ τὸ ληφθῆναι δρόμῳ τὸν ἡρακλέα τῶν βορεαδῶν. στησίμβροτος δέ φησιν, ὅτι διαφορὰν ἔχον πρὸς τὸν ἡρακλέα περὶ τῶν δεδομένων δώρων ὑπὸ ἰάσονος τοῖς ἀριστεῦσι. νίκανδρος δὲ ὁ κολοφώνιος ἐν τῇ πρώτῃ τῶν οἰταϊκῶν φησι βορέαν αἴτι

ον γεγενῆσθαι τὸν θάνατον τῶν προειρημένων, διὰ τὸ χειμάσαι τὸν ἡρακλέα ἐν κῷ ὑποστρέφοντα. Δεδουπότος. μετὰ γὰρ τὸν θάνατον πελίου, ἀνιόντας ὡς ἐπὶ τὴν πατρίδα τοὺς βορεάδας ἐκ τοῦ ἐπιταφίου αὐτοῦ ἀγῶνος ἐντυχὼν ἡρακλῆς καὶ ὑπομνησθεὶς αὐτοὺς τούτου, ὅτι αὐτὸν ἀναζητηθῆναι ἐκώλυσαν, ἀνεῖλεν αὐτοὺς ἐν τήνῳ τῇ νήσῳ. Στήλας τε δύω. τοῦ δ' αὐτοῦ τάφος ἐστὶν ἐν τήνῳ τῇ νήσῳ καὶ στῆλαι, ὧν τὴν ἑτέραν πάντως συμβαίνει ὑπὸ ἀνέμου κινεῖσθαι τοῦ βορέου τοῦ πατρὸς αὐτῶν.

51 Καὶ τὰ μὲν ὡς ἤμελλε. καλλιμάχου ὁ στίχος. κοινὸν δὲ ἁμάρτημα πάντων τῶν μετ' ὅμηρον ποιητῶν, τὰ ἀπὸ συμφώνου ἀρχόμενα ῥήματα κατὰ τὸν ἐνεστῶτα χρόνον διὰ τοῦ, η, ἐκφέρειν ἀντὶ τοῦ παρατατικοῦ.

Τοῖσι δὲ γλαῦκος. γλαῦκος πολύβου παῖς. ἀνθηδόνιος τὸ γένος. ἡ δὲ ἀνθηδὼν βοιωτικὴ πόλις, ὡς καὶ ὅμηρος. ἀνθηδόνα τ' ἐσχατόωσαν. ἁλιεὺς τὴν τέχνην. ὃς πολλῶν ποτε ἰχθύων εὐτυχήσας ἄγραν μεταξὺ τῆς ὁδοῦ ἀποκαμὼν ἀπέθετο τὸ φορτίον τῶν ἰχθύων. ὁ δὲ εἷς τούτων ἀθάνατον φαγὼν βοτάνην, ἀνέζησε. λαβὼν δὲ καὶ ὁ γλαῦκος φαγὼν καὶ αὐτὸς ἀπεθεώθη. βρυχίαν τὴν βρυχώδη. εἶτα ὡς εἰς ἄκρον γήρως ἤρχετο μηκέτι φέρων, ἐδίσκευσεν ἑαυτὸν εἰς θάλασσαν. καὶ ἐτιμήθη ὡς θαλάσσιος δαίμων. καὶ τὸν ἰχθὺν τὸν γλαῦκον ἀπ' αὐτοῦ κεκλῆσθαι λέγουσι. Νήϊον μέρος λέγει τῆς νεώς. ὅπερ σύρεται κατὰ τὸ ὕδωρ.

Τίπτε παρὲκ μεγάλοιο. τὸ ἑξῆς τίπτε μενεαίνετε παρὲκ μεγάλοιο διὸς βουλήν. τουτέστι, τί προθυμεῖσθε

παρὰ

παρὰ τὴν τοῦ διὸς βουλήν. Αργῶι οἱ μοῖρ' ἐστίν. ὅτι ἄθλοις τοῖς ὑπὸ εὐρυσθέως ἐπιτελῶν ἡρακλῆς παραλιπὼν τοῦ τοὺς ὥρμισεν ἐπὶ τοῖς ἀριστεῦς, αὐτὸς ἀπολλώνιος ἐν τῷ καταλόγῳ τῶν ἡρώων φησί. Εἰ κέτι παύρους. ἐὰν ἔτι ὀλίγοις πρὸς οὓς ἤνυσεν ἀνύσῃ ἄθλους. Συνέστιον δὲ συνζυγίτην τὴν, ὁμοτράπεζον, ὁμότιμον. ὅτι ἡ κοινὴ τράπεζα, τὴν αὐτὴν τιμὴν τοῖς μεταλαμβάνουσιν αὐτῆς δίδωσιν.

Προχοῇσι κίοιο. ποταμὸς μυσίας, ἀφ' οὗ ἡ κίος ὁμωνύμως τῷ ποταμῷ. ἐτελεύτα γὰρ πολύφημος τοῖς χάλυψι μαχόμενος. ἔστι δὲ ἔθνος σκυθικόν.

Χαλύβων. χάλυβες ἔθνος σκυθίας, ὅπου ὁ σίδηρος γίνεται. καλλίμαχος. χαλύβων ὡς ἀπόλοιτο γένος. Ον πόσιν. κακῶς τέθεικεν τὸ ὃν πόσιν. ἔστι γὰρ προσληπτικὸν ἰσοδυναμοῦν τῷ ἑαυτοῦ. δεῖ δὲ εἰπεῖν, ἧς πόσιν. τὸ γὰρ ὃν ἰσοδυναμεῖ τῷ αὐτοῦ, ἵν' ᾖ ὁ λόγος, ἐποιήσατο νύμφη ἑαυτοῦ πόσιν. Αλίαστον. πολὺ δύψας. καταδύς. Γήθησαν. ἐχάρησαν τῷ μαθεῖν τὴν αἰτίαν τοῦ ἀπολείψεως. Εσσυμένως. ταχέως. προσπτύξαντο. ἐδεξιώσαντο, ἐφιλοφρονήσαντο τοῖς λόγοις.

52 Μή μοί τι χολώσεαι. δέον μετὰ τοῦ μή μοι χολώσῃ τὸ ἀποφατικὸν τέταχεν ἀπὸ τοῦ ἀπαγορεύσεως. ἔδει γὰρ εἰπεῖν, μή μοι χόλου προστακτικῶς. ἀφραδίῃσιν. ἀγνοίαις. κατὰ μεσότητα ἀκουστέον. ἀφραδέως. ἀδιανοήτως. Εἴ τι περ ἀασάμην. κατὰ μεταφορὰν ἀπὸ τῶν ἁρματοδρόμων. ὑπερφίαλον δὲ ἀντὶ τοῦ ἡμαρτημένον. οἷον ὑπερφίαλον κατὰ πλεονασμὸν τοῦ, α, καταστρέφει δὲ εἰς τὸ οὐ καθῆκον, οὐδὲ νόμιμον ὑπὸ ἀφραδέως, διανενοημέ-

νως καὶ συνετῶς. Ἀλλ' ἀνέμοισιν δώομεν. ἡ διάνοια παρὰ τῷ ποιητῇ. ἔχρς δ' εἴ πέρ τι βέβακται ἀφνὸν ἄφαρ τό, φέροιεν αὐτὸ ἀπάξασθαι θύελλαι. Ἐκυδάσαο. ἐλοιδώρησας. κύδος γὰρ ἀρσενικὸν ἡ λοιδορία, παρὰ συρακουσίοις. Σοφοκλῆς αἴαντι μαστιγοφόρῳ. κυδάζεται πᾶσιν ἀργείοις ὁμοῦ. Ἐνηέος ἀνδρὸς ἐνηλλαγμέναι εἰσὶν αἱ πτώσεις. ὁ γὰρ νοῦς εἰς προσηνῆ ἄνδρα ἁμαρτεῖν. Ἀρθμηθέντες. φιλιωθέντες. βαλλέσθαι ἐνταῦθα τὸ πλίνθοις καὶ οἰκίσαι. Ἐπώνυμον. ἀντὶ τοῦ ὁμώνυμον τοῦ ποταμοῦ. καὶ γὰρ κίος ὁ ποταμὸς καὶ πόλις. ὠνόμασται δὲ ὁ ποταμὸς ἀπὸ κίου τοῦ ἡγησαμένου μιλησίων. Ἐπιπείλησε δὲ ναίειν. ἀνάστατον καὶ ἔρημον ποιήσειν παραυτίκα εὐθέως. τὴν μυσίδα ἤτοι μυσῶν χώραν ἠπείλησε. τὸ μυσίδα ἔχει μὲν τόνον ὑποκοριστικοῦ, οὐ μήν ἐστιν ὑποκοριστικὸν ὥσπερ καὶ τὸ ἀσίδα, ἀντὶ τοῦ ἀσία. Ὁππότε. ἀττικόν ἐστι παρῳχημένου χρόνου ἰσοδυναμοῦν τῷ ὅτε, ὁππότε μιν ξυνάγεσθαι ὀλύμπιοι ἤθελον. τίθεται δὲ κατὰ τὸν μέλλοντα χρόνον συνεκφορουμένου αὐτῷ τοῦ ἐπιζευκτικοῦ συνδέσμου τοῦ αν. ὁππότ' ἂν ἡβήσητε. ἔστι δὲ τὸν ἐπιζευκτικῷ αὐτὸν χρῆσθαι τῷ ει. εἰ μή μοι πλαγκτά γε θεά. Ἢ ζωοῦ εὕροιεν ὕλα μόρον. ἀντὶ τοῦ μοῖραν ἀκουστέον, παρεσχημάτισται γὰρ ἀπὸ τοῦ μοῖρα, ὡς τὸ πύλῳ παρὰ ὁμήρῳ, ἐν πύλῳ ἐν νεκύεσσι βαλών. μόρον τὴν μοῖραν ἢ ζῶντος ἢ τεθνηκότος, ὅ ἐστι περὶ μοίρας εἴτε ζῶν εἴτε νεκρός.

53 Τοῖο δὲ ῥύσι' ὄπασσαν. ἀντὶ τοῦ ὕλα ἐνέχυρα οἱ μυσοὶ παρέσχον τῷ ἡρακλεῖ ὑπὲρ τοῦ πάντοτε αὐ

τὸν

τὸν ἐπιζητεῖν. πλεονάζει δὲ ἡ ἀπό. πρόθεσις. Μαστεύοντες. ζητοῦντες. ἐξ οὗ καὶ μαστὺς ἡ ζήτησις. καλλίμαχος. μαστῦος ἄλλοτ᾽ ἔκαμνον ἀλητύϊ. ὅθεν καὶ μαστοὶ καλοῦνται, διὰ τὸ ἀναγκαίως ζητεῖσθαι ὑπὸ τῶν παίδων. Ἐρέουσιν. ἀντὶ τοῦ ἐρευνῶσι, ζητοῦσιν. ὅμηρος. τὰς ἐρέων, ὀδύσηϊ συνήντετο, καὶ κνημοὺς ἐξ ὀρέων. Εὐκτιμένης τε μέλοντι τρηχῖνος. Τραχὶν πόλις θεσσαλίας, ἔνθα τοὺς παῖδας τῶν μυσῶν ἐνεώκησεν ἡρακλῆς, ὅτε αὐτ᾽ ἐνέχυρα τοῦ ὕλα ἔλεξαρ αὐτούς. οὐχ ὑγιῶς δὲ τέθεικεν τὸ αὐτόθι. δηλωτικὸν γάρ ἐστι τοῦ παρόντος τόπου, ἴσον τῷ αὖθι μένειν, μή πως ἀβροτάζομεν ἀλλήλοιϊν. ἔδει δὲ εἰπεῖν, τὸν ἀφεστῶτα τόπον. ὡς τὸ ὅθι περιμένα περιμὴν ἀπύει. Ῥύσια. τὰ ἀντὶ τινὸς ἐνέχυρα διδόμενα ὑπὲρ τοῦ ἄξεως. ὅτι δὲ κιανοὶ ὅμηρα ἔδοσαν ἡρακλεῖ καὶ ὤμοσαν μὴ λήξειν ζητοῦντες ὕλαν. καὶ φροντίδα ἔχουσι τραχινίων, διὰ τὸ ἐκεῖσε κατοικισθῆναι ὑφ᾽ ἡρακλέους τοὺς ὁμηρεύσαντας. κιναίθων ἱστορεῖ ἐν ἡρακλείᾳ. Νῦν δὲ παννυχίην. ὁ νοῦς οὕτως. τὴν δὲ ναῦν δι᾽ ὅλης ἡμέρας καὶ νυκτὸς, ὁ ἄνεμος ἔφερεν σφοδρῶς ἐπιπνέων. τῆς δὲ ἡμέρας ἐπιφανείσης οὐδὲ ὀλίγον ἔπνει, ἀλλ᾽ εὐθέως ἐπαύσατο. Εἰσανέχουσαν. ἐξέχουσαν καὶ ἐπηρμένην, ἢ ἀνέχουσαν. ἀκτὴν ἀνατεταμένην πλαγίαν ἰδόντες, ἐπίκοποι γενόμενοι καθώρμισαν τὴν ναῦν.

Τέλος τῶν, εἰς τὸ πρῶτον τῶν Ἀργοναυτικῶν, σχολίων.

# ΣΧΟΛΙΑ, ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΤΩΝ ΑΠΟΛΛΩΝΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

Ἔνθα δ᾽ ἔσαν σταθμοί τε βοῶν. Τοῦ δευτέρου τῶν ἀργοναυτικῶν τὰ κεφάλαια ἐστὶ τάδε. Ἄμυκος ὁ τῶν Βεβρύκων ἡγούμενος, διαπυκτεύει Πολυδεύκει καὶ ἀναιρεῖται. δι᾽ ὃν μάχη γίνεται τῶν ἀργοναυτῶν καὶ τῶν βεβρύκων. καὶ πολλοὺς ἀναιροῦσιν οἱ ἀργοναῦται. οἱ δὲ λοιποὶ φεύγουσιν. ἔπειτα παραγίνονται οἱ ἀργοναῦται πρὸς Φινέα πεπηρωμένον τὰς ὄψεις ὄντα. ὃς δὲ ἱκετεύει βοηθῆσαι αὐτῷ. ἅρπυιαι γὰρ ἐξ ἀφανοῦς τινος παραγινόμεναι τούτου τὴν τροφὴν ἁρπάζουσι ἄγευστον αὐτὸν ἐῶσιν. ἐγίνωσκε δὲ ἅτε δὴ μάντις ὑπό τινων ἦν μεμοιραμένον αὐτὰς διωχθῆναι. ἱκετεύσαντος δὲ βορεάδαι οὐκ ἠπείθησαν, ἀλλ᾽ ἐδίωξαν αὐτάς. ἐν τοσούτῳ δὲ Φινεὺς αὐτοῖς ἐξηγεῖται τὸν εἰς κόλχους πλοῦν. ἐπανελθόντες δὲ οἱ βορεάδαι διηγοῦνται ὡς κατηγωνίσαντο τὰς ἁρπυίας. ἑξῆς δέ ἐστι τὰ περὶ κυρήνην τὴν ὑψέως, καὶ ἀρισταῖον τὸν ἀπόλλωνος, καὶ αὐτὸν τὸν κυρήνης υἱόν, καὶ ὅσα μεμύθευται περὶ τῶν ἐτησίων ἀνέμων, καὶ ὡς τὰς συμπληγάδας διέπλευσαν. καὶ ἐν τῇ παρακειμένῃ νήσῳ ἐγένοντο τῇ θυνιάδι χώρᾳ, ἐν ᾗ ἐπεφάνη αὐτοῖς ὁ ἀπόλλων. ἔνθα τέμενος κατασκευάσαντες, ἑῷον τὸν θεὸν ἐπω-

ἐπωνόμασαν. τά τε περὶ τὴν μαριανδυνίαν ἢ ἐνταῦθα ἀχερουσίαν ἄκραν. ἢ ὡς Λύκος ὁ βασιλεὺς τῆς χώρας ταύτης φιλοφρονέστατα αὐτοὺς ὑπεδέξατο, ὅτι ἐχθρὸν αὐτοῦ ἄμυκον ὄντα ἐκόλασαν. ἢ ὡς Ἴδμων ὁ μάντις, καὶ Τῖφυς ὁ κυβερνήτης τελευτῶσιν ἐν τῇ μαριανδυνίᾳ. τὰ δὲ ἑξῆς περὶ τῶν παρὰ χάλυψι ἢ τιβαρηνοῖς, καὶ μοσυνοίκοις νομίμων λέγεται. ἢ τῶν ἐν τῇ νήσῳ τοῦ ἄρεως μυθευομένων ὀρνέων. καὶ ὡς ἐξηλάθησαν ὑπὸ τῶν ἀργοναυτῶν. καὶ ὡς οἱ χαλκιόπης τῆς μηδείας ἀδελφῆς ἢ φρίξου υἱοὶ στελλόμενοι εἰς ὀρχομενὸν, ἐναυάγησαν. καταχθέντες δὲ εἰς τὴν ἄρεως νῆσον, συνέβαλον τοῖς ἀργοναύταις. καὶ ἀλλήλους γνωρίσαντες κοινῇ ἔπλευσαν εἰς τὸν ἐν κόλχοις ποταμὸν φᾶσιν.

Ἔνθα δ᾽ ἔσαν. ἐν τῷ αἰγιαλῷ, ᾧ προσωρμίσθησαν. αὖλις δὲ ἡ διατριβὴ καὶ ἡ διαγωγή. Βεβρύκων βασιλῆος. τῶν βεβρύκων ἐβασίλευεν ἄμυκος τῆς βιθυνίας. τά τε ἄλλα κατ᾽ ἐκείνους τοὺς χρόνους καὶ τὰ παραθαλάσσια κατέχων. κατῴκησαν δέ τινες τῶν βεβρύκων ἢ περὶ τὴν λυδίαν ἐν τοῖς πλησίον ἐφέσου τε καὶ μαγνησίας τόποις. Χάρων δέ φησι ἢ τὴν λαμψακηνῶν χώραν πρότερον βεβρυκίαν καλεῖσθαι, ἀπὸ τῶν κατοικησάντων αὐτὴν βεβρύκων. τὸ δὲ γένος αὐτῶν ἠφάνισται διὰ τοὺς γενομένους πολέμους, καθάπερ καὶ ἄλλων ἐθνῶν. Ἀγήνωρ. ὁ ὑπερήφανος. Βιθυνὶς μελίη. ἄδηλον πότερόν ἐστι τὸ κύριον. μελίαν δέ φησιν αὐτὴν

γὰρ τὸ τινὰς τῶν νυμφῶν μελίας καλεῖσθαι, ἀπὸ μελίας τῆς ὠκεανοῦ, ὥς φησι καλλίμαχος. ἢ διὰ τὸ περὶ μηλέας δένδρα διατρίβειν, καθάπερ ἁμαδρυάδες.

Βιθυνίδα δὲ διὰ τὸ βιθυνὴν τὸ γένος τυγχάνειν. γενέθλιον δὲ εἶπεν αὐτὸν, διὰ τὸ διασώζειν τοῦ ὑγροῦ καὶ πάσης τροφῆς, ἢ γενέσεως αἴτιον εἶναι. καθὸ τὸ ὕδωρ πάντων γεννητικόν. Καὶ δὲ τότε. ὁ νοῦς. ἢ τότε δὲ πρὸς τὴν ναῦν ἐλθὼν τοῦ μὲν τὰ πρὸς τὴν χρείαν πυθέσθαι τοῦ πλοῦ. τουτέστι τίνος χρείαν ἔχουσι, καὶ τίνες εἰσὶν ἠφροντίκασιν. τοιαῦτα δὲ πρὸς αὐτοὺς εἶπεν. Χρειώ μιν ἐρέσθαι. τὸ μιν ἑνικὸν ἀντὶ πληθυντικοῦ αὐτοὺς τοὺς ἥρωας. δύναται δὲ καὶ ἑνικὸν εἶναι, ἵνα περὶ τοῦ ἀμύκου λάβωμεν. ἔστι γὰρ αὐτὸν τὸν ἄμυκον ἐρωτῆσαι τοὺς ἥρωας. ὁ δὲ θεόκριτος ἄλλως ἱστόρησεν. Θέσμιον. νόμιμον. ὁ δὲ λόγος. νόμος ἐστὶ τὸν προσπλεύσαντα τῇ βεβρυκίᾳ τῶν ξένων, μὴ ἀπαλλάττεσθαι πρὶν, ἢ ἐμοὶ πυκτεῦσαι.

Τῷ καί μοι. δύο μοι τὸν ἄριστον ὑμῶν κεκριμένως στήσατε πυγμῇ μοι διαγωνίσασθαι. παρασχεδὸν, ἀντὶ τοῦ ἐγγύς. τὸ δὲ δηρινθῆναι μαχέσασθαι, ἀπὸ τοῦ δηρίνομαι, τὸ δὲ ἀπὸ τοῦ δηρίομαι. Εἰ δ' ἂν ἀπηλεγέοντες. ἀφροντιστοῦντες. παρ' οὐδὲν ἡγησάμενοι. ὁ δὲ ἡρωδιανὸς, ἀνηλεγέοντες, διὰ τοῦ ν, ἐν τῷ τρίτῳ τῶν καθόλου. καὶ τὸ ἐπίρρημα ἀνηλεγέως. ὁ δὲ νοῦς. εἰ δὲ ἀφροντιστήσαντες τοὺς νόμους μου παρ' οὐδὲν ἡγήσησθε, πείσεσθε ἂν οἶμαι οὐχὶ τὴν τυχοῦσαν ἀνάγκην.

2 Αἶψα δ' ἑῶν ἑτάρων. διὰ σύνεσιν τὸ ἑῶν, ὥσπερ ἢ τὸ ὧν. τὸ γὰρ προστιθέμενον τοῖς διασωζομένοις .ε.

καὶ

καὶ αὐτὸ διασύνεται. οἷον ἕρση ἐέρση, ἔδνα ἐέδνα.

Ἴσχεο. ἐπίσχου ὅστις ποτὲ ὑπάρχεις. πειθαρχήσομεν γὰρ οἷς λέγεις νόμοις. δὴ δὲ μὴ δὲ τὸ ὄνομα εἰπεῖν, σφόδρα αὐτῷ τὴν ἀξενίαν ὠνείδισεν. τὸ δὲ ὅτις εὔχεαι, ἰῶθι καταφονήσει εἴρηται. Ἑλίξας. περιστρέψας τὰ ὄμματα ἐς τὸν πολυδεύκην. Ἰλλόμενος. ἀντὶ τοῦ συνειλούμενος, συστρεφόμενος.

Ἐπὶ δ᾽ ὄσσεται οἰόθεν οἶος. φασὶ τὸν λέοντα ζωσθέντα, μόνον τηρεῖν τὸν ζώσαντα. μόνος γὰρ ὑπάρχων, μόνον ἐκεῖνον προσβλέπει τὸν ζώσαντα. οἰόθεν. μόνον. καὶ ἀριστοτέλης δέ φησι τοῦτο ποιεῖν τὸν λέοντα. Εὔστιπτον. εὔστρεπτον. εὐπίλητον. παρὰ τὸ στείβω, ὅθεν καὶ στιβάς, καὶ στιβεῖς οἱ κναφεῖς. Λώπην. χλαμύδα. ὁ δὲ λόγος. ὁ δὲ τὴν μέλαιναν καὶ διπλῆν χλαμύδα σὺν αὐταῖς ταῖς περόναις ἀπέβαλλεν ἢ τὴν διφθέραν. Καλαύροπα δέ, ποιμενικὴν ῥάβδον. σὺν τοῦτο δὲ δὴ τὸ σκληρὸν σὺν ἄγριον τοῦ ἀνδρός. Τὴν φορέεσκεν. ἥν τινα ἐβάσταζεν ἐκ κοτίνου οὖσαν. τουτέστιν ἀγριελαίου. ὀριτρέφεος δέ, τοῦ ἐν ὄρει τεθραμμένου κοτίνου. Ὀλοοῖο τυφωέος. διὰ τὸ τερατῶδες σὺν ἐκφάπελον τοῦ σώματος τοῦτο φησίν. ἐνομίζετο φησὶν ἢ τυφῶνος ἢ γῆς υἱός, ἀντὶ τοῦ μέγας. ἔστι δὲ ἀπὸ ὀρθῆς τοῦ τυφωεύς. Χωομένη διί. ἐπεὶ λέγεται ἡ γῆ κατὰ ὀργήν, ὅτε τοὺς τιτᾶνας κατεταρτάρωσεν ὁ Ζεύς, γεννῆσαι τοὺς γίγαντας.

Ἑσπερίην δὴ νύκτα. ἀντὶ τοῦ κατὰ νύκτα. τουτέστι περὶ τὸν ἕσπερον. ὅμηρος. ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ. ἀμαρυγαὶ δὲ αἱ ἀκτῖνες αἱ λαμπηδό-

των. Ἐπὶ χνοάοντας ἰούλους. τοὺς ἰούλους ὡς χνοοῦν ἀναφύοντας ἔχοντ. τὰς ἐξανθήσεις τῶν γενείων. λέγεται δὲ καὶ θηρίον ἴουλος πολύπουν. καὶ εἶδος ᾠδῆς ὥς φησιν ἐρατοσθένης. Ἀνατέλλειν τὸ φύειν ἐνταῦθα, ἐνδεικτικῶς σημαίνει. Πῆλε δὲ χεῖρας οἷον προσεπάλλετο διάπειραν τῶν χειρῶν ἑαυτοῦ ποιούμενος. εἰ ὡς πρὶν εὐκίνητοί εἰσι. μὴ δ' ἀπὸ τῆς περὶ εἰρεσίας καμάτου δυσκινήτω ἔχοιεν. Οὐ μὰν αὐτ' ἄμυκος. οὐ μὴν ὁ ἄμυκος διεπείρασεν ἑαυτοῦ, τὸ δὲ τούτων δὲ δηλοῖ τὸ ὑπερήφανον αὐτοῦ. Καὶ οἱ ὀρέχθει. ἐν ὀρέξει ἦν. νῦν δὲ, ἀντὶ τοῦ ἐφώρμα καὶ ἐπεθύμει. σημαίνει δὲ ἡ λέξις καὶ τὸ ἔστενεν, ὀρέχθεον, ἀμφὶ σιδήρῳ.

3 Λυκωρεύς. οὗρος ἀπὸ τοῦ πρικοῦ πεποίηται, οὐκ ἐξ ἱστορίας παρείληπται. Ἱμάντας. τοὺς καλουμένους μύρμηκας. ἀζαλέοις δὲ ἀντὶ τοῦ ξηρούς. ὅθεν τινὲς οὐκ ἀπὸ ἀζᾶνος βασιλέως, ἀλλὰ δὴ τὸ τραχεῖαν εἶναι. ἀζανίαν φασὶ κληθῆναι τὴν ἀρκαδίαν. τραχεῖα γὰρ ἐστὶ καὶ ξηρά. Περὶ δ' οἱ γ' ἔσαν. τοιοῦτοι κατεσκληκότες ἦσαν. ὅθεν καὶ σκέλος τὸ ἄσαρκον μέρος τοῦ σώματος. Ὑπερφιάλοισιν. ὑπερηφάνοις. ἡ δὲ μεταφορὰ ἀπὸ τῆς φιάλης. τὸ γὰρ πληθῦον αὐτῆς ὑπερφίαλον, ἀντὶ τοῦ ὑπέρμετρον. φιάλη δὲ εἶδος λεβητώδους ἀγγείου. Πάλου ἄτερ. χωρὶς κλήρου. καὶ διὰ τούτου δὲ πάλιν ὑπερήφανον δείκνυσι. τὸ δὲ ἵνα μή μοι ἀτέμβηαι μετόπισθεν, ὥσπερ ἤδη σταυρωθὲν πεπιστευκὼς τὴν νίκην. καὶ τοῦτο βάρβαρον. εἰ γὰρ ὁ κλῆρος τὴν στάσιν λύειν ἐπίσταται, καὶ ἑκάστῳ τὰ ἴσα διδόναι, πῶς ἂν ὕστερον ἔμελλεν αὐτὸν αἰτιᾶσθαι.

χέσθαι. μᾶλλον γὰρ νῦν ἐστασίαστεν ἂν μὴ κληρωθείς. Ἀτέμβηαι. ἵνα μή μοι μέμφῃ ὕστερον, ὡς χείρονας εἴληφας. τὸ γὰρ ἀτέμβειν οἱ νεώτεροι, οὐκ ἐπὶ τοῦ στερίσκεσθαι ἤκουσαν, ἀλλ' ἐπὶ τοῦ μέμφεσθαι. Ἀπροφάτως. ἀδιστάκτως. ἀδιακρίτως. μηδὲν πρὸς τὴν ἀναίρεσιν προφασισάμενος. τὸ ἦεν ἀντὶ τοῦ πληθυντικοῦ κεῖται τὸ ἦσαν. ὡς καὶ τὸ τῶν δ' ἦν τρεῖς κεφαλαί.

4 Οἱ δ' ἐπεὶ οὖν ἱμᾶσι. διαστάδον μὲν φησιν. ἀντὶ τοῦ ἐν τῇ πρὸς ἀλλήλων διαστάσει παρεσκευάζοντο. ῥέθος δὲ ἅπαν μέλος. ἐνταῦθα δὲ τὰ πρόσωπα. Ἀτε κῦμα θαλάσσης. καθάπερ φησὶ μετεωριζόμενον νηὶ προσπίπτει. τῇ δὲ ἐμπειρίᾳ τοῦ κυβερνήτου παρακλίναντος ἡ ναῦς διαφεύγει, οὕτω καὶ ὁ ἄμυκος ἐπέκειτο μὲν ἐκφοβῶν αὐτὸν, διεκκλινόμενος δὲ ἐκεῖνος, ἄτρωτος ἦν. Ἀλύσκει. ἐκφεύγει. διὰ δὲ τὴν τραχύτητα καὶ τὴν σφοδρὰν αὐτοῦ ὁρμὴν, κύματι εἰκάζει τὸν ἄμυκον. κυβερνήτῃ δὲ τεχνίτῃ τὸν πολυδεύκην. Φοβέων. ταράσσων τῇ ἀθρόᾳ κατ' αὐτοῦ ὁρμῇ ἐμβραδύνειν οὐ συνεχώρει αὐτόν. Ἀΐσσων. λείπει ἡ ὑπό. ἵνα ᾖ ὑπαΐσσων καὶ ὑποφεύγων τὸν ἄμυκον τῇ ἑαυτοῦ τέχνῃ ἄπληκτος καὶ ἀβλαβὴς διέμεινεν.

Ἀπλωέα δ' αἶψα. συνιδὼν φησὶν ὁ πολυδεύκης ὅπου ἄπρακτος καὶ εὐεπιχείρητος ἦν, συνέμιξεν αὐτῷ τὰς χεῖρας ὑποστάς. Ἠ κάρτος. ὁ πολυδεύκης φησὶν ἐτήρει τὸν ἄμυκον ὅπου ἄτρωτος τυγχάνει καὶ οὐκ ἀνεπιχείρητός ἐστιν ἢ οὔ. συνι-

λὼν ἐν ᾧ ὑπεδεῖχεν αὐτῷ, καὶ ἐν ᾧ κατεδέσατο οὖν, ὑποστὰς συνέμιξεν αὐτῷ τὰς χεῖρας. θάρσος δὲ θράσους διαφέρει. θάρσος γὰρ τὸ εὔλογον, θράσος δὲ τὸ μετὰ ἰταμότητος. οὕτω καὶ ἀρίστιππος ὁ φιλόσοφος.

5 Ὡς δ' ὅτε νήϊα. οὕτως ἀντεξεσμένα ἀλλήλοις, ὥστε ἡνίκα συμβάλλονται ἐναντία συναρμόζειν ἀλλήλοις. ἢ τὰ ἀντικείμενα τοῖς σφησίν. εἰς γὰρ τὰ πλάγια τῶν σανίδων τιθέασι τοὺς σφῆνας πρὸς ἀσφάλειαν. ὑλουργοὶ δὲ ὑλοτόμοι καὶ τὰς ναῦς ἐργαζόμενοι. ὥσπερ δὲ ναυπηγήσιμα ξύλα συναρμόζοντα ξυλουργοὶ γόμφοις συνεχῶς ταῖς σφύραις τύπτουσιν. ἐγείρεται δὲ ἄλλος ἐξ ἄλλου ψόφος. οὕτως ὁ ἄμυκος καὶ ὁ πολυδεύκης ἀλλήλων ἔτυπτον τὰς σιαγόνας. Θοοῖς. ὀξέσιν. Αὔται. ἐξηχεῖται καὶ ἐξακούεται. Ἐπισταδόν. ἀντὶ ἑστατικῶς καὶ ἀμετακινήτως. Ἄδην. συνεχῶς, ἢ ἀκορέστως. Φορβάδος ἀμφὶ βοός. ὑπὲρ νομάδος καὶ εὐτραφοῦς βοός, ἵνα τὸ ἐπὶ κατανομῆς ὄνομα πλέον καὶ μεῖζον τῇ βοῒ δοίη τὸ σῶμα καὶ τὸ κάλλος. αὐτίπατρος ἐν τῷ περὶ ζώων φησὶ τὸν ἀλκιμώτερον ἐν τῇ ἀγέλῃ ταῦρον μίγνυσθαι πάσαις ταῖς βουσίν. μὴ ἐπιτρέπειν δὲ ἑτέρῳ. ἐὰν δέ τις πεποιθὼς τῇ ἰδίᾳ δυνάμει ἀνθίσταται αὐτῷ καταγωνισάμενος τοῦ λοιποῦ πλησιάζει ἐκεῖνος. Ἀερθεὶς βουτύπος οἷα. ἐπαρθεὶς ἐπ' ἄκρων τῶν ποδῶν φησὶ σταθεὶς καὶ ἐκτείνας ἑαυτόν, ὡς βουτύπος τὴν χεῖρα ἑαυτοῦ κατέφερεν. ἐπιόντος δὲ αὐτοῦ ὁ πολυδεύκης ὑπέστη, καὶ παρακλίνας

τὴν

τὴν κεφαλὴν περὶ ὦμον αὐτοῦ ἐδέξατο τὸν πῆχυν.
Βουτύπος δέ ἐστιν ὁ τοὺς θυομένους βοῦς περὶ πελέκει τύ-
πτων κατὰ τοῦ αὐχένος. οὕτως δὲ ἐπ' ἄκροις τοῖς ὄνυ-
ξιν ἵσταται μέλλων κρούειν. Οδ' ἄγχ' αὐτοῖο. ἐγγὺ
δὲ αὐτοῦ προβαίνων καὶ μεταφέρων τὰ σκέλη ἐτύ-
ψεν αὐτὸν πρὸς τὸ οὖς. Οδ' ἄμ' ὀδύνῃ. ὁ δὲ ἄμυκος
ὑπὸ τῆς ἀλγηδόνος ἐπὶ γόνυ κατενεχθεὶς εἰς τὴν
γῆν ἀπώλετο. Μεταΐγδην, ὁρμητικῶς.

6 Οὐδ' ἄρα βέβρυκες. ἀπολλώνιος μὲν ἐμφαίνει
ὡς ἀνῃρημένον τὸν ἄμυκον. ἐπίχαρμος δὲ καὶ πεί-
σανδρος φασὶν ὅτι ἔδησεν αὐτὸν ὁ πολυδεύκης. δηΐ-
λοχος δὲ ἐν πρώτῳ περὶ κυζίκου καταπυκτευθῆ-
ναι φησὶν αὐτὸν ὑπὸ πολυδεύκους. οὐκ ἠμέλησαν
δέ φησιν, οὐδὲ κατεφρόνησαν τοῦ ἀμύκου πεπτωκότος.
ἀλλὰ δὲ τὸ βάρβαρον αὐτῶν πόλεμον ἤγειραν. ἀζηχέας
δὲ τὰς ξηράς. τὰς ἢ χρυσὰς ξηρὸν ἦχον. σιγύννους δὲ κα-
λοῦσιν οἱ κύπριοι τὰ ἀκόντια. ἄλλοι δὲ τὰ ὅλοσι-
δηρα ἀκόντια. Αὐτὸς δ' ἰτυμονῆα. ὁ δὲ πολυδεύ-
κης λὰξ ἐπορούσας ἔπληξεν. λέγεται δὲ λὰξ ὁ ὑπὸ
τοὺς δακτύλους τοῦ ποδὸς ψόφος. ἢ οὕτω κυρίως τὸ
ὑποκάτω τῶν τοῦ ποδὸς δακτύλων λὰξ καλεῖ-
ται. οὕτως ἀποδέδωκεν καὶ παρὰ τῷ ποιητῇ ποσει-
δώνιος λὰξ ποδὶ κινήσας. Τοῦ δ' ἄσσον ἰόντος. ἐ-
ναλλαγὴ γέγονε τῶν πτώσεων. ἔδει γὰρ εἰπεῖν, τὸν
δ' ἄσσον ἰόντα. οὕτω γὰρ καταλλήλως ἂν ἀπέδωκε
πρὸς τὰ ἑξῆς ἐλάτορα, εἰπὼν ἰτυμονῆα καὶ μίμαντα.
πρὸς μὲν τὸν πρῶτον αἰτιατικὴν ἀπέδωκεν ἐπενεγ-
κὼν, τὸν μὲν ὑπὸ στέρνοιο. πρὸς δὲ τὸν δεύτερον οὐκ

ἐφύλαξε τὸ κατάλληλον. συγχωρεῖται δ' ὅμως διὰ τὸ συγγενὲς τῶν πλαγίων, τοῦ μίμαντος τῇ δεξιᾷ ὁρμήσαντος ἐγγὺς τοῦ πολυδεύκους, αὐτὸς τὸ εὐώνυμον ἀπέδρυψε βλέφαρον τοῦ μίμαντος, ἀποκόψας αὐτοῦ τὸν ὀφθαλμόν. ἄλλο τι νοεῖται δὲ τοῦ ἐπιφερομένου τὸ γυμνὴ δ' ὑπελείπετ' ὀπωπή. ἡ τοῦ ὀφθαλμοῦ χώρα δηλονότι. Ωρείδης δ' ἀμύκοιο. δύο διὰ εἰ. διφθόγγου ἢ παραλήγου. οὕτως ἡρωδιανὸς ἐν τῷ τρίτῳ διὰ καθόλου. Οσον δ' ἐπὶ δέρματι. μέχρις. ὅσον αὐτὶ τοῦ ὀλίγου. δι' αὐτοῦ διὰ ἐπιφανείας ἦλθεν ὁ σίδηρος ὑπ' αὐτὸν τὸν κατὰ τὴν ζώνην τόπον. ὥστε τῶν ἐντοσθιδίων μὴ ψαῦσαι. ἀλλ' ἐπὶ τῷ δέρματι μόνον. Μενεδήιον ἔφη τὸν ἴφιτον, ὡς ἐμμενετικὸν ἐν τῷ πολέμῳ. δηῒς γὰρ ὁ πόλεμος ἢ ἡ μάχη. Αζαλέη. τῇ ξηρᾷ, ἐπεὶ ἐστὶ ξυλίνη. ὅμηρος δὲ καὶ σιδηρᾶν οἶδεν. ἀλλὰ σιδηρείη κορύνη. τινὲς δὲ ἀποδεδώκασι σιδηρείη τῇ εὐτόνῳ. ὥσπερ ἢ σιδήρεος δ' ὀρυμαγδὸς ὀρώρει. Οὔπω κηρὶ κακῇ. οὔπω πεπρωμένον ἀποθανεῖν. ὁ δὲ κλυτίος υἱὸς ἦν εὐρύτου, ἀδελφὸς ἰφίτου. δηώσασθαι δὲ φονευθήσεσθαι. ὁ δὲ ἀγκαῖος ἀρκὰς τὸ γένος ἐστί. φησὶ δὲ αὐτὸν ὡπλίσθαι πελέκει καὶ ἄρκτου δορᾷ. ὁ δὲ θρασὺς ἐνταῦθα ἀντὶ τοῦ ἀνδρείου. ἀλλ' οὐκ ἐπὶ τοῦ ὑπερβάλλοντος κεῖται. τὸ μέλαν ἐπὶ τοῦ δέρους, ἀναφέρειν δεῖ ὥσπερ καὶ τὸ κελαινὸν, ἀλλ' οὐκ ἐπὶ τοῦ πέλεκυν. οὐ γὰρ καταλλήλως τὸ οὐδέτερον ἐπιτεθήσεται τῷ ἀρσενικῷ. ἢ ἤτοι ἐκ παραλλήλου λεκτέον τὸ μέλαν καὶ τὸ κελαινόν. ἢ τὸ μὲν μέλαν ἐπὶ τὸ χρῶμα ἀναφέρειν δεῖ. τὸ δὲ κελαι-

γόνυ τὸ ἐκπληκτικόν. Τεταγών. ἀντὶ τοῦ ἐκτείνας. ἀκοντίσας. ὁ δὲ προσχόμενος, προβαλλόμενος ἀντὶ ἀσπίδος. Ὁμοῦ δέ οἱ ἐσσεύοντο. τὸ ὁμοῦ καὶ ἐπὶ τοῦ ἀθροίσματος τίθεται, καὶ ἐπὶ τοῦ ἐγγύς, ὡς ἀθηναῖοι εἰώθασι χρῆσθαι. μένανδρος. ὁμοῦ δὲ τοῦ τίκτειν περιγενέθη κόρη. ἀντὶ τοῦ ἐγγύς.

7 Ὡς δ᾽ ὅτ᾽ ἐνὶ σταθμοῖσιν. ὥσπερ δὲ ἀφυλάκτῳ ποιμνίῳ ἐπελθόντες λύκοι ἀθροοῦσι ποῖον πρῶτον ἁρπάξωσιν. οὕτως οἱ ἀριστεῖς τοὺς βέβρυκας ἐφέψαντο. ὁμοία δὲ ταύτῃ καὶ παρ᾽ ὁμήρῳ παραβολή. ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον. ἢ ἐρίφοισι σίνται. πολιοὶ δέ, ἤτοι γηραιότεροι ἢ ἔντιμοι. τίμιον γὰρ τὸ ζῶον παρ᾽ ἀθηναίοις. ὁ γὰρ ἀποκτείνας λύκον, ἀγείρει αὐτῷ τὰ πρὸς τὴν ταφήν. καὶ ἴσως ἐπεὶ ἡ λητὼ ἔγκυος οὖσα διὰ δώδεκα ἡμερῶν εἰς δῆλον ἦλθε μεταβαλοῦσα εἰς λύκον. διόπερ κατά τινα ὡρισμένον χρόνον τοῦ ἐνιαυτοῦ τίκτει πᾶσα λύκαινα ἐν δώδεκα ἡμέραις, ὡς φιλοστέφανος φησὶν ἐν τοῖς ὑπομνήμασιν. Λάθρῃ εὐρρίνων. τοῦτο φησὶν ὅτι διὰ τὸ ψῦχος καταδυόμενοι εἰς τὰς ἐπαύλεις οἵ τε ποιμένες καὶ οἱ κύνες. εἶτα οὕτως ἀφύλακτα γίνονται τὰ πρόβατα. εὐρρίνων δὲ ἤτοι εὐδερμάτων. ἢ κυρίως διὰ τὸ ταῖς ῥισὶν ἰχνεύειν τὰ θηρία. διὸ καὶ παραινοῦσιν οἱ κυνηγοὶ πρὸ ἡμέρας ἐξάγειν τοὺς κύνας ἐπὶ θήραν. ἵνα πρὶν ἥλιον ἐπιτεῖλαι, δικαίως ἰχνηλατῶσι ταῖς ῥισί. Μαίονται. ἐπιζητοῦσι. Πόλλ᾽ ἐπιπαμφαλόωντες. πολλὰ ἐπιβλέποντες καὶ μετ᾽ ἐνθουσιασμοῦ. παμφαλᾶν γὰρ τὸ μετ

ποιήσεως ἢ ἐνθουσιασμοῦ ἐπιβλέπειν. κέχρηται δὲ τῇ λέξει καὶ ἱππῶναξ καὶ ἀνακρέων. λέγει δὲ ὁ ἐρύκιος. παλυρσὶ παμφαλόωντες ἀνήκουν πόδεσσι. περιακτέον δὲ εἰρηναῖον ἀμφανόωντες γράφοντα καὶ ἐξηγούμενον κτείνοντες. οὔτε γὰρ κέχρηταί τις οὕτως τῇ λέξει, οὔτε ἐστὶν ἅπαξ ἁπλῶς ἡ γραφὴ τοῦ ποιητοῦ.

Περὶ σφίσιν. ἔδει εἰπεῖν περὶ ἀλλήλοις περὶ τὸ ποτε. οὐ γὰρ περὶ ἑαυτά. τὸ δὲ ἁμάρτημα τοῦ μεθ' ὁμήρου. Ὡς δὲ μελισσάων. ὅτι τὸν καπνὸν φεύγουσιν αἱ μέλισσαι, διὰ τὸ στενόπωρον εἶναι αὐτῶν τὴν ὄσφρησιν, ὅπερ καὶ ἐπὶ τῶν ὄφεων συμβαίνει θυμιωμένου τοῦ ἐλαφείου κέρως, ὡς φησι νίκανδρος. σμῆνος δέ ἐστι τὸ τῶν μελισσῶν πλῆθος. Βομβηδὸν, ἀντὶ τοῦ μετ' ἤχου ἢ βόμβου. βόμβος δέ ἐστιν, ὁ τῶν μελισσῶν ἦχος. ἔνιοι δὲ ἀπὸ βοξύνου μελίττης λεγομένης. Λιγνυόεντι. περὶ αἰθαλώδει. ὁ δὲ λόγος. ἐπιπλέον δὲ περὶ λιγνυώδει καὶ σποδώδει καπνῷ καπνιζόμεναι ἀποχωροῦσι τῶν σίμβλων. σίμβλος δέ ἐστιν, εἰς ὃ τὰ κηρία συνάπτεται ἀγγεῖον, ἢ κοφίνη. Καπνῷ τυφόμεναι. ἀντὶ τοῦ καπνιζόμεναι. σημαίνει δὲ καὶ τὸ καιόμεναι. εἰώθασι δὲ καπνίζειν κόρυζαν. δριμὺς γὰρ μάλιστα ὁ ταύτης καπνός. Η μὲν ἀλωαί. αἱ ἀμπελόφυροι χῶραι. οἷαι δὲ αἱ κῶμαι. διὰ τὸ ἐν αὐταῖς τὰ πρόβατα ἢ τὰ ἄλλα βοτὰ νέμεσθαι. Καὶ μαριανδυνῶν. φινέως παῖδες ἐκ μὲν κλεοπάτρας, παρθένιος καὶ κράμβις, ἐκ δὲ ἰδαίας τῆς δαρδάνου ἢ σκυθικῆς τινος παλλακίδος, θυνὸς καὶ μαριανδυνός. ἐξ ὧν τὰ ἔθνη κέκληνται, οἱ δέ φασι κεκλῆσθαι τοὺς μαριανδυνούς, ἀ-

ἢ μαριανδυνοῦ ἢ τοῦ κιμμερίου. Ἀπεόντος ἄνακτος ἤγουν τεθνηκότος. ὥσπερ καὶ τὸ περιεόντος τοῦ ζῶντος. οἱ δὲ μαριανδυνοὶ, ἔθνος ὅμορον αὐτοῖς. Σιδηροφόρου περὶ γαίης τῆς τῶν χαλύβων. Οἱ δ' ἤδη. οἱ δὲ ἀργοναῦται, τῶν βεβρύκων φυγόντων τὰς παρὰ θάλασσαν ἐπαύλεις ἐπόρθουν. ἤδη δὲ καὶ τῶν θρεμμάτων πολλὰ περιεληλακότων ἀπετέμοντο. Περιτροπάδην. περιτρέποντων. ἤγουν τὴν ναῦν ἐλαυνόντων. σημαίνει δὲ καὶ τὸ νικᾶν. Διακριθήμεναι. χωρισθῆναι.

8 Φράζεσθ' ὅττι κεν ἦσιν. ὁ νοῦς. καὶ τί ἂν ἐποίησαν οἱ βέβρυκες εἰ καὶ ὁ ἡρακλῆς μεθ' ἡμῶν ἐληλύθει. διόπερ ἔφυγον καὶ ἡττήθησαν. οἶμαι γὰρ ὅτι οὐδὲ ἀγὼν ἂν περὶ πυγμαχίας ἐγένετο. ἀλλὰ προκαλούμενον τὸν ἄμυκον τότε οἷς συνετίθει νόμοις ἡμῖν παρὰ τὸ ῥοπάλῳ πλήξας ἀνῄρηκεν. Νῶι μὲν ἀκήδεστον. ὁ νοῦς. ἐκεῖνον μὲν ἀφροντίστως καταλιπόντες, τουτέστι τὸν ἡρακλέα ἐπ' ἀλλοτρίας ἐπλεύσαμεν. ἐκείνου δὲ ἀπόντος ἕκαστος ἡμῶν αἰσθήσεται ὅσον βεβλάμμεθα. Ἐρεψάμενοι δάφνῃ. δάφνῃ ἐστέψαντο δι' ἀπόλλωνα. ἐχρῶντο δὲ τῇ στέψει τριχῶς. περὶ τῆς κεφαλῆς. περὶ τοῦ μετώπου. περὶ τοῦ τραχήλου τιθέμενοι τοὺς στεφάνους, διὰ τὸ θυμηδὲς τῆς τριμεροῦς ψυχῆς. Ἐννόμιον. συνῳδόν. οἴμη γὰρ ἡ ᾠδή. Περὶ δέ σφιν ἰάχετο. ἠχέετο ἡ ἀκτή. καθ' ὑπερβολήν. καθ' ὃ μυθεύεται ὁ ὀρφεὺς κηλεῖν καὶ τὰ ἄψυχα. ἦδον δὲ ἐπινίκιον τῷ ἀπόλλωνι. θεραπναῖον δὲ ἀπὸ μέρους τὸν λάκωνα. θεράπναι γὰρ τόπος τῆς σπάρτης.

οἱ δὲ πόλιν. ὁ δὲ ἀπολλώνιος τόπον ἱερὸν ἀπόλλωνος. ἐκ περάτων, ἐκ τῶν ὑποριζόντων ἡμισφαιρίων. Ξανθὰ δ' ἐρεψάμενοι. στεψάμενοι δὲ ὑπὲρ ἄνω τῶν μετώπων δάφνῃ τὰς κεφαλάς. ἐξ ἧς δάφνης ἀνημμένα ἦν τὰ ἀκρωτήρια τοῦ νεώς. οὐ ποιητικῶς δὲ ἀνέπλασε τὴν δάφνην ὁ ἀπολλώνιος. ἀλλ' ἔστιν ὄντως ἐν τῷ τόπῳ δένδρον δάφνης εὐμέγεθες. ὥς φησιν ἀνδροίτας ὁ τενέδιος ἐν τῷ περίπλῳ τῆς προποντίδος ἱστορῶν ὅτι ἄμυκος μὲν καλεῖται τὸ χωρίον. ἔχει δὲ ἐποίκια καὶ νῦν. ἀφέστηκε δὲ τῆς χαλκηδονίου νυμφαίας σταδίους πέντε. ἀπολλόδωρος δὲ ἐν τῷ πρώτῳ τῶν ποντικῶν ἡρῷον αὐτόθι φησὶν εἶναι ἀμύκου ἐκεῖ. καὶ εἴ τις ἐκ τῆς δάφνης κλάδον λάβοι, εἰς λοιδορίαν ἀνίστησι. Ἀνὰ βόσπορον. βόσπορος ὀνομάζεται διὰ τὸ δοκεῖν τὴν ἰὼ βοῦν οὖσαν διαπεραιοῦσθαι τὸ ἀπὸ βυζαντίου καὶ καλχηδόνος διάστημα σταδίων * διὰ τοῦτον τὸν τόπον ἐκ τῆς εὐρώπης εἰς τὴν ἀσίαν διαβαίνουσαν. ἢ διὰ τὸ πάντας τοὺς στενοὺς πορθμοὺς βοσπόρους καλεῖσθαι. ἔνιοι δέ φασι τοὺς ἐπὶ τοῦ στόματος οἰκοῦντας τὸ παλαιὸν εἴποτε ἐθέλοιεν εἰς τὸ πέραν διαβαίνειν, σχεδίας πηγνύντας καὶ βόας ἐπιζεύξαντας ἐπὶ τούτων διαπεραιοῦσθαι, ὅθεν καὶ ὠνομάσθη τὴν θάλασσαν. ἔστι δὲ καὶ ἕτερος βόσπορος τῆς σκυθικῆς κιμμερικὸς προσαγορευόμενος. διὰ τὸ κιμμερίους ἔθνος σκυθικὸν πάλαι ἐκείνους οἰκῆσαι τοὺς τόπους. οἱ δέ φασι στόμα τῆς μαιώτιδος λίμνης στενὸν καὶ ἐπίμηκες, ἐμφερὲς τῷ κατὰ τὸ βυζάντιον βοσπόρῳ.

πόρῳ. ἄλλως. περὶ τοῦ βοσπόρου ἡ ἱστορία παρὰ τοῖς παλαιοῖς διαφόρως λέγεται. νύμφις μὲν γάρ φησιν ἱστορεῖν. Ἀκαθείωνα ὡς ἄρα φύγον δὴ πλεῦσαι βουλόμενοι τὸν πορθμὸν κατεσκεύασαν ναῦν ἔχουσαν ἐγκεχαραγμένην προτομὴν ταύρου. διαπλευσάντων δὲ αὐτῶν, ἀπὸ τοῦ εἴδους τοῦ περὶ τὸ σκάφος προσαγορευθῆναι τὸ πέλαγος βόσπορον. ἔφορος δέ φησιν ἡρπάσθαι τὴν ἰὼ ὑπὸ φοινίκων καὶ διακομισθῆναι εἰς αἴγυπτον. κἀθ' ἧς τὸν βασιλέα τῶν αἰγυπτίων πέμψαι ἰνάχῳ ταῦρον. τετελευτηκότος δὲ ἐκείνου περιιέναι αὐτοὺς παραδεικνύντας καθὸ πρότερον οὐκ ἐγίνωσκον τὸ ζῶον. τὸν δὲ τόπον προσηγορεῦσθαι, δι' οὗ οἱ τὸν ταῦρον ἔχοντες ἔπλευσαν, βόσπορον. οἱ δὲ, καθὸ ὁ φρίξος ἐπὶ κριοπρώρου σκάφους ἔπλευσεν. δύο δέ εἰσι βόσποροι. κιμμέριος, καὶ θράκιος, ὁ πάλαι μύσιος καλούμενος.

9 Ἠλίβατον ὄρος φησίν. ἀφ' οὗ ἀλιτεῖν ἐστι τὴν βάσιν ὡς δὴ τὸ ὕψος. τοῦτ' ἔστιν ὑψηλὸν καὶ ἀπρόσβατον. ἐπακίοντι δὲ αὐτῇ τῷ ἐπενεχθησομένῳ, ἢ ἐφορμήσοντι. Ἀλλά τόγ' ἔμπης. ἀλλὰ καίπερ οὕτω μέγα καὶ λάβρον ὑπάρχον τὸ κῦμα ὁμαλίζεται, εἰ ἀγαθοῦ κυβερνήτου τύχοι. Ἀντιπέρην γαίη βιθυνίδι. διτταί εἰσι βιθυνίαι. ἡ μὲν ἐπὶ τῆς εὐρώπης. ἡ δὲ ἐπὶ τῆς ἀσίας. καὶ ἡ μὲν ἐπὶ τῆς εὐρώπης περὶ σαλμυδησσὸν κεῖται ἐπὶ τῆς θράκης. ἡ δὲ ἑτέρα καθήκει ἐπὶ τὸν βόσπορον, καὶ ἐπὶ τὸ στόμα τοῦ πόντου. ἔστι δὲ καὶ τρίτη βιθυνία νῆσος πε-

ρὶ τὸν πόντον. ἔστι δὲ ἀμφίβολον εἰς ποίαν βιθυνίαν φησὶν ἀμφοτέρων οὐσῶν τῶν τὸ πέραν. ἄμεινον δὲ τὴν περὶ τὴν εὐρώπην βιθυνίαν λέγειν. τῇ γὰρ ἕω οὔσῃ φησὶν ἡμέρᾳ ἐν τῇ βιθυνίᾳ, τὰ ἀπόγεια ἔδησαν ὡς δῆλον, ἐκ τῆς ἀσίας εἰς τὴν εὐρώπην. ὁ γὰρ ὁ φινεὺς ὡς οἱ πλεῖστοι περὶ τοῦ σαλμυδησσοῦ λέγεται ᾠκηκέναι. ὅς ἐστι τῆς θρᾴκης κατὰ τὰ ἀριστερὰ μέρη τὸν πόντον εἰσπλέοντι. ἔστι δὲ ἡ ἑτέρα βιθυνία νῆσος μετὰ τὸν πόντον, ἐν ᾗ ἐστιν ἀπόλλωνος ἱερόν.

Ἄλλως. οὐκ ἐν τῇ πέραν βιθυνίᾳ, ἀλλ' ἐν τῇ τῆς θρᾴκης, ἥτις ἐστὶ τῆς εὐρώπης, ὡς ἀποδέδεικται ἔνθα φινεὺς ᾤκει. Ἀγηνορίδης. ἀγήνορος γὰρ παῖς ἐστιν ὡς ἑλλάνικος. ὡς δὲ ἡσίοδος φησὶν φοίνικος τοῦ ἀγήνορος καὶ κασσιεπείας. ὁμοίως δὲ καὶ ἀσκληπιάδης καὶ ἀντίμαχος καὶ φερεκύδης φασίν. ἐκ γὰρ κασσιεπείας τῆς ἀράβου φοίνικι γίνεται κίλιξ, καὶ φινεὺς, καὶ δόρυκλος. ὁ δὲ ἀτύμνιος κατὰ μὲν ἐπίκλησιν καὶ αὐτὸς τοῦ φοίνικος, ταῖς δὲ ἀληθείαις τοῦ διός. ἔνιοι δὲ αὐτὸν ἐν τῇ παφλαγονίᾳ βασιλεῦσαι ἱστοροῦσιν, ἥτις ἐστὶ τῆς ἀσίας, ὥς φησιν ἑλλάνικος. ἀγηνορίδην δὲ εἶπε τὸν φινέα καθὸ ἀγήνορός ἐστι παῖς. ὁ δὲ ἡσίοδος τοῦ φοίνικος αὐτόν φησι τοῦ ἀγήνορος. πηρωθῆναι δὲ λέγουσι τὸν φινέα ὑπὸ ἡλίου, ὅτι πολυχρόνιος εἵλετο μᾶλλον εἶναι ἢ βλέπειν. ἔνιοι δὲ ἀπίθανον οἴονται τοσαύτας γενεὰς ἐζηκέναι φινέα, ὥστε τοῦ φοίνικος ὄντα υἱὸν, μέχρι τῶν ἀργοναυτῶν διαρκέσαι. καὶ ἕτερον παρυ φασὶ τὸν φινέα ἕβδομον ὄντα ἀπὸ φοίνικος τοῦ ἀγήνορος, πρὸς ὃν ἀπήντησαν οἱ ἥρωες. πηρωθῆναι δὲ

αὐτὸν

αὐτὸν, ὅτι ἐπεβούλευσε πρὸς τοῦ. Σοφοκλῆς δὲ ὅτι τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσεν, ὡς ἴθεον καὶ κράμβιν, πεισθεὶς διαβολαῖς Ἰδαίας τῆς αὐτῶν μητρυιᾶς. ὁ δὲ Ἀπολλώνιός φησι πηρωθῆναι αὐτὸν, καὶ πρὸς τῶν ἁρπυιῶν κακῶς πάσχειν, ὅτι ἀνέδην πᾶσι καὶ διεξερκήδην ἐμαντεύετο. φησὶ γὰρ οὐδ' ὄπιζετο καὶ Διὸς αὐτοῦ.

Οὐδ' ὄπιζετο. οὐδὲ ἐλάχιστον τοῦ Διὸς αὐτοῦ ἐπιστρέφετο τὰ θεῖα ἐνθυμήματα πᾶσιν ἐμφαίνων. λέγων τὰ πάντα τὸν νοῦν τοῖς ἀνθρώποις, οὐδὲ μίαν χρείαν αὐτοῖς τῶν θεῶν καταλέλοιπεν. ὅτι δὲ ἦρχεν ὁ Φινεὺς μέχρι τοῦ Βοσπόρου Θρακῶν πάντων τῶν ἐν τῇ Ἀσίᾳ. εἰσὶ δὲ οὗτοι Βιθυνοί τε καὶ Παφλαγόνες. Φερεκύδης ἐν ς΄. φησί. πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, ὅτι Φρίξῳ τὴν ὁδὸν ἐμήνυσεν. ἐν δὲ τῷ γ΄. καταλόγῳ, ἐπειδὴ τὸν μακρὸν χρόνον τοῦ ὄψεως προέκρινεν. παῖδες δὲ αὐτοῦ φασὶ γενέσθαι μαριανδυνὸν καὶ θυνόν. καὶ ἀπὸ μὲν θύνου θυνηΐδα. ἀπὸ δὲ μαριανδυνοῦ μαριανδυνίαν προσαγορευθῆναι λέγουσιν. ὀνίατα δέ φησι τὰ σιτία καὶ βρώματα. μυδαλέην δὲ τὴν μυσαράν. Μὴ καὶ λευκανίην. οἱ μὲν τὸν ἀπηρτημένον τοῦ γαργαρεῶνος ἀπέδωκαν. ἀμείβας δὲ τὸν λαιμὸν καὶ τὸν βρόγχον.

Ἐπήϊσεν, ἀντὶ τοῦ ἤσθετο. θέσφατον δὲ τὸ εἱμαρμένον. Ὧν οἱ ἰόντων. ὧν ἐλθόντων, εἱμαρμένον αὐτῷ ἐκ Διὸς ὄνασθαι τῶν ἐδεσμάτων ὧν προσφέροιτο. Ἀκήριον. ὡς ἄψυχον ὀνειρώδη πον, διὰ τὸ καταλελεῖφθαι ὑπὸ τοῦ νόσου. Ῥικνοῖς. ἀντὶ τοῦ ῥυσοῖς. Πίνῳ τε οἱ. τῷ δὲ ῥύπῳ ὁ αὐσταλέος καὶ κατεσκληκὼς

αὐτοῦ χρὼς ἐρρυπαίνετο. τὴν δὲ σὺν συναπλέον τοῦ ἔεργεν, ἵν᾽ ἤ, οἱ ῥινοὶ δὲ μόνοι ξυνεῖχον τὰ ὀστᾶ αὐτοῦ. ῥινὸς δέ ἐστι τὸ δέρμα. Κάρος. κάρος ἦν αὐτὸν κατέχειν, τουτέστι σκότωσις, τὴν δὲ γῆν διὰ τὴν σκοτωδινίαν ὤιετο φέρεσθαι, ὥσεὶ εἶπεν ὅτι ὤιετο τὴν γῆν ἐπικεῖσθαι ἑαυτῷ. Ἀβληχρῷ. ἀσθενοποιῷ, ἢ ἀσθενεῖ κατὰ στέρησιν τοῦ βληχροῦ. ὁ δὲ νοῦς ὑπὸ τοῦ λεπτοῦ ἐκείνης διὰ τὴν σκότωσιν καταφορᾶς ἔκειτο ἄφωνος. κώματι δὲ ὕπνῳ ἐκλύσει. καὶ ἔστι κατὰ συγκοπὴν ἀπὸ τοῦ κοίμημα, ὡς οἴμημα, οἶμα, καὶ δώμημα, δῶμα, καὶ τροπῇ τοῦ οι διφθόγγου εἰς ω. κῶμα. Περισταδὸν, ἀντὶ τοῦ περιέστησαν συναθροισθέντες ἐπ᾽ αὐτόν. καὶ ἔταφον, ἀντὶ τοῦ ἐξεπλάγησαν. Ἐξυπάτοιο στήθεος, οἷον ἐξ ἄκρου καὶ ἐκ βάθους διὰ τὴν ἀσθένειαν ἀναπνεῖν τε καὶ λαλεῖν οὐ δυνάμενος. τὸ δὲ μόλις οὐδὲν ἕτερον, ἢ τὸ τῆς νόσου σφοδρὸν καὶ μέγα αἰνίττεται. Διονύσιος δὲ ἐν τοῖς ἀργοναύταις φησὶν ἀναιρεθῆναι τὸν φινέα ὑπὸ ἡρακλέους ἰδόντος τοὺς παῖδας ἐν ἐρημίᾳ, καὶ μαθόντος ὅτι ὑπὸ φινέως ἦσαν ἐκβεβλημένοι κατὰ διαβολὴν σκυθικῆς γυναικὸς, ἣν γεγαμήκει ὁ φινεὺς παραιτησάμενος κλεοπάτραν. γεγονὼς δὲ τοῦ φινέως καὶ πρεσβύτης κατήγορος παρὰ τῷ ἡρακλεῖ. διόπερ ἡρακλῆς ἀναιτίους εὑρὼν τοὺς παῖδας, κατήγαγεν εἰς τὴν πατρῴαν οἰκίαν. φινέα δὲ ἀνιστάμενον καὶ θελήσαντα κατὰ τὴν τίσαι τὸν ἕτερον τῶν παίδων, λακτίσας ὁ ἡρακλῆς ἀπέκτεινεν. ἴστρος δέ φησι τὴν αἰτίαν γενέσθαι ὅτι τοὺς φρίξου υἱοὺς εἴη σεσωκὼς ταῖς μαντείαις, κατηναγκά-

σθη

δη αὐτοῦ. τὸν δὲ ἥλιον ἐπακούοντα τηρεῖσθαι.

Ὑμεῖς ἀτρεκέως. λείπει τὸ ἐστέ. ὁ δὲ λόγος. ἔτι μοι νόος δηλοῖ ἐμῆς μαντείας ἕκαστα οἶδεν. δηλοῖ δὲ τοῦτο οὐδὲν ἕτερον, ἢ τὴν τέχνην ἐπαγγελλόμενος, λέληθεν ὡς αὐτοὺς εἰς συμμαχίαν παρακαλεῖ.

Χαῖρεν νύ τοι ὦ ἄνα. ἀναφέρω σοι χάριν καίπερ ὢν ἐν κακοῖς. ὁ δὲ ἐναντιωματικὸς ἀντὶ τοῦ καίπερ.

Ὁ περίγιστος. ὅστις φοβερός ἐστι τοῖς ἁμαρτάνουσιν εἰς ἱκέτας. κυρίως δὲ πρὸς τὰ ὑποκείμενα οὐ ξενίου Διός, ἀλλ' ἱκεσίου μέμνηται, ἐπεὶ δὲ αὐτὸς ὡς ἱκέτης ἐστὶ τῶν ἡρώων διὰ τὴν κατεπείγουσαν χρείαν. Φοίβου τ' ἀμφί. ἤτοι ἢ ὡς μάντις, ἢ ὡς αἴτιον τοῦ πλοῦ τὸν θεὸν γενόμενον φασίν.

11 Χραίσμετέ μοι. βοηθεῖτέ μοι τὸ δὲ χραισμεῖν κλιτόριοι λέγουσι τὸ ἐπαρκεῖν. ἀπὸ δὲ τούτου τόνου ἐκέκληκε τοῦ χραίσμω, ὡς βαίνω βαίνετε. τὸ δὲ παροξυτόνως χραισμεῖτε. ἄλλως. τὸ ἀντὶ τοῦ χραισμεῖν ἐπαινεῖν, ἢ παραινεῖν λαμβάνουσι κλιτόριοι. κοινῶς δὲ τὸ βοηθεῖν.

Ἀμήρυτον. γράφεται καὶ ἀμήρυον, τουτ' ἔστιν ἀτέλεστον καὶ διηνεκῶς ἐκτεινόμενον ἀπέραντον. ἢ τὸ τέλος μὴ ἔχον. λέγει δὲ τὸ θάνατον μὴ ἔχον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μὴ ῥυομένων ἐρίων. Πρὸς δ' ἔτι πικρότατον. πλέον τὸ πάθος ποιῆσαι βουλόμενος, ἀπ' αὐτοῦ τοῦ πάθους ἤρξατο. ὁ δὲ νοῦς. πρὸς δὲ τοῖς ἄλλοις κακοῖς πικρότατον ἄλλο ἐπ' ἄλλῳ ἐκκρέμαται. ἀφάσιος δὲ ἀνεπιγνώστου ἀπροοράτου, ἀδήλου. Ἀλλά κε ῥεῖα. οὕτω ταχέως ἐκ τοῦ ἀφανοῦς ἔρχονται. κακὸς δὲ τὸ ἐὸν τέθεικεν, ἀντὶ τοῦ ἐμὸν εἰπών. Μεμηλώς. φροντίζων. τὸ δὲ δαιμονίως εἶπεν. οὐ γὰρ

ἔφη σοβαρευόμενος ἢ ἐθίων. ἀλλὰ μόνον φροντίδα φροφῆς ἔχων, ἵνα τὸ πάθος ἐπάρῃ. Ἐληλάμενον. ἀντὶ τοῦ κεχαλκευμένον. ὁ ἀδάμας δέ τι στερεοῦ σιδήρου εἶδος.

12 Ἀλλά με πικρή. ἡ περιβολὴ λαβὴς. ἔχει δὲ πρὸς πλείονα ἔμφασιν. οἱονεὶ οὐ μόνον φέρειν τὴν ὁρμὴν, ἀλλὰ καὶ ἑδραίως μένειν διὰ τὸ τοφλῶττειν, καὶ διὰ τὸ δεῖσθαι πάντων τροφῆς. Τὰς μὲν θέσφατον. τὰς ἁρπυίας. τὸ δὲ θέσφατον, σφόδρα ἀναγκαίως ἐχρήσατο, ὥσπερ εἰ καὶ κατὰ ἀνάγκην ὑπὸ τῶν βορεαδῶν ἀναιρεθῆναι. Οὐδ' ὀθνεῖοι. οὐκ ἀλλότριοι δὲ ὄντες μὴ βοηθήσουσιν. ὅτι δὲ ἡ συγγένεια προθυμοτέρους πάντας πρὸς τὰς εὐεργεσίας ποιεῖ καὶ εὐεπίδησ φησίν. ἑλληνικόν τι τὸν νόμον τιμᾶν ἀεί. Τῶν δὲ κασιγνήτην. κλεοπάτρα βορέου καὶ ὠρειθυίας θυγάτηρ ἀδελφὴ τῶν περὶ ζήτην καὶ κάλαϊν, ἣν ἔγημεν ὁ φινεύς. γεγόνασι δὲ αὐτῶν παῖδες, ὤρυθος καὶ κράμβις. Περὶ δ' αὖτε δύω. ἴσως διὰ τὴν συγγένειαν τοὺς βορεάδας πλέον οἰκτείρειν φησίν. Ἀχαλόωντος. δυσφοροῦντος. στυγερὸν, σημαίνει μὲν καὶ τὸ μισητὸν, καὶ τὸ ἐπίβοβον. ἐνταῦθα δὲ ἴσως τὸ ἐπίπονον.

13 Ἢ ῥὰ θεοὺς ὀλοῇσιν. ἆρα εἰς τοὺς θεοὺς ἠσέβησας καὶ ἥμαρτες ἀφαδίᾳ ἢ κακοξοπίᾳ τινί. γράφεται γὰρ καὶ ἀξοπίῃσι, τουτέστιν ἐκτραπεὶς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ. παρὰ τὴν ἀτραπὸν, ἥ ἐστιν ὁδός. Τὸ δὲ δαῶς, τὸ μαθεῖν μᾶλλον ἢ τὸ διδάσκειν σημαίνει. διὰ νῦν τὸ μαθεῖν σε φησὶ τὴν μαντικὴν καὶ μαντεύεσθαι παρὰ τὴν τῶν θεῶν γνώμην ἥμαρτες εἰς τοὺς θεούς. ἀ-

τύχῃ, αὐτὶ τοῦ φοβεῖται. Εἰ δή ἤ εἴπερ πέλεται ἡμῖν ταύτην τὴν τιμὴν ἀπαραιτήτως τὸ δαιμόνιον ὥστε σοι βοηθῆσαι. ὁ δὲ λόγος καθ' ὑπέρβασιν, ἵν' ᾖ οὕτως. ἄμμιγε μὴν νόος ἔνδον ἀτύζεται ἱεμένοισι χραισμεῖν. ἀείζηλοι γὰρ ἐπιχθονίοισιν ἀθανάτων ἔνι παῖ εἰ δὲ πρόχνυ γέρας τόδε πάρθετο δαίμων. Ἄλλως. ἡμεῖς δὲ εἰ ὄντως ἔχομεν παρὰ τοῦ δαιμονίου τὸ γέρας, δεδοίκαμεν μὴ ἄρα χαλεπήνῃ τὸ θεῖον. Θεοῖς ἀπὸ θυμοῦ ἔσονται. ὅτι τὸ τοῖς ἀσεβέσι βοηθεῖν εἰς τοὺς θεοὺς ἔχει ἀσέβειαν, καὶ Εὐριπίδης φησίν. ὡς τὸν ἂν ἴδῃς μὲν ἐλέεως τοῖσιν θεοῖς μὴ πράσσ' ἐναντία ὠφελεῖν τοῦτον θέλων. ἀσεβὴς γάρ τις εἶναι δοκεῖ παρ' αὐτοῖς ὁ ὀρέστης. Κενὰς γλήνας ἔφη τοὺς κενοὺς καὶ τυφλοὺς ὀφθαλμούς. Ἴστω λητοῦς υἱός. τὸν ὅρκον εἴληφε παρὰ τοῦ ποιητοῦ. οὐ μὰ γὰρ ἀπόλλωνα διῒ φίλον. ἐπέβαλλε γὰρ μάντει εἰς πίστιν ἄγοντι τὸν προστάτην αὐτοῦ τῆς τέχνης ὀμνύειν θεόν. Καὶ τόδ' ἐπ' ὀφθαλμῶν ἀλαόν. γράφεται καὶ ὀλοόν. κατηγοροῦσι τινὲς τοῦ ἀπολλωνίου, ὡς οὐκ εὖ τὸν ὅρκον τοῦτον εἰσενηνοχότος. ὀμνύει γὰρ καθ' ὧν κινδυνεῦσαι οὐ δύναται. ῥητέον δὲ ὅτι ἐμπαθέστερος γίνεται ὁ ὅρκος, ὅταν τις κατὰ τῆς ἰδίας ὀμνύῃ συμφορᾶς, οὐ μὰ ζῆν' ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο. καὶ δημοσθένης. μὰ τοὺς ἐν μαραθῶνι προκινδυνεύσαντας, καὶ τοὺς ἐν πλαταιαῖς παραταξαμένους. ἔθος τὸ ἀρχαῖον πρῶτον θεοὺς ὀμνύναι. εἶτα ἐπάγειν καὶ τὰς ἰδίας συμφοράς. Καὶ τόδ' ἐπ' ὀφθαλμῶν. ἀλαὸν νέφος φησὶ τὸ τυφλὸν νέφος καὶ ἡ ἐπικειμένη μοι ἀχλύς.

ὥστε τὸ ἀλαὸν οὐ παθητικῶς, ἀλλ' ἐνεργητικῶς μόνον κεῖται. οὐ γὰρ τὸ τυφλὸν, ἀλλὰ τὸ τύφλωσιν ἐμποιοῦν σημαίνει. Οἱ μὲν δ' οἶδε. οἱ μὲν δὲ ἐν ὅρκι ὡς τὸν ὅρκῳ συμφωνεῖς εἴπωσιν. παρὰ τὸ ὁμηρικόν. εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν. Κουρότεροι. τὸ συγκριτικὸν ἀντὶ τοῦ ἀπολελυμένου κεῖται τὸ κοῦροι. ὡς ἡμεῖς πολλάκις λέγομεν, νεώτεροί εἰσιν, ἀντὶ τοῦ νέοι. ἢ παρὰ τὸν κριτήν. δεξιτερὴν ἕλε χεῖρα, ἀντὶ τὴν δεξιάν. Πεπνύκαρ. πρὸς τὴν τῶν νέων σπουδὴν ἢ ταχυτῆτα τὸ πεπνύκατο, οἷον ἐνεργῶς ἐποίουν, ἠρίμαζον. Ἑλώριον δὲ, ἀναίρεμα. ἅρπαγμα ἢ βρῶμα. λοίσθιον δὲ, ἔσχατον. τὸ δὲ ἐπεσυμένας πρὸς τὴν ἀθρόαν ἐπίπλησιν τῶν ἁρπυιῶν εἴρηται. Ἀδευκέας. ἀπροσδοκήτους ἢ πικρᾶς. δεῦκος γὰρ τὸ γλυκύ.

Ἀπρόφασι. ἀντὶ τοῦ ἀπροόραρι, ἀπροφάσιστι, οἷον ἄνευ προφάσεως ἢ ἐπεχῆς καὶ ὑπερθέσεως, παρόσον τοῖς προφασιζομένοις παρέπεται ὑπέρθεσις.

Κλαγγῇ μαιμώωσαι. ὁρμῶν μετὰ κλαγγῆς ἐπιθυμοῦσαι τῆς τροφῆς. τοῦτο δὲ ὡς ἐπὶ ὀρνέων ἁρπακτικῶν. καὶ γὰρ ἐκεῖνα πρὸ τῆς ἁρπαγῆς κλάζειν φιλεῖ. ἢ τὸ μεσηγὺς κατὰ ἀθρόαν ἐπίπλησιν κατὰ τάχος ἀναφέρεται. Καταβρῶξασαι. καταφαγοῦσαι. ἀπὸ τοῦ βιβρώσκω κατενεχθέν. Ὑπὲρ πόντοιο. ὅτι δὲ τοῦ αἰγαίου πόντου καὶ τοῦ σικελικοῦ αὐτὰς ἐδίωκον, Φερεκύδης ἐν ἕκτῃ φησί. Φάσγαν' ἐπισχόμενοι. τὰ ξίφη ἐν χεροῖν ἔχοντες παραπλησίως ἔξεχον ὀπίσω αὐτῶν. Ἀτὰρ Διὸς οὐκ ἂν ἐπέσθην. οὐ γὰρ ἄν φησι χωρὶς τοῦ Διὸς ταῖς ἁρπυίαις ἠκολούθησαν.

Ἐπὶ ζεφύροιο. ἤτοι ταχίονες τῶν πνοῶν τοῦ λιβός. ἢ εἰς τὰς πνοὰς ἔφεχον, ὡς ἡσίοδος φησίν, ἐπεὶ πάντοτε αἱ ἅρπυιαι μετὰ τὰς τοῦ ζεφύρου ἀέλλας παρεπέρχοντο, εἰ ποτε εἰς τὰ τοῦ Φινέως ἔρχοιντο. ἢ ἐκεῖθεν ὑπαναχωροῖεν. Ἄλλως. αἱ τῶν ἀνέμων συστροφαὶ πνοῶν εἰσι ταχύτεραι. συμβαίνει μὲν γὰρ τὴν πνοὴν παρατετάσθαι καὶ βραδύνειν. ἡ δὲ ἄελλα ταχυτέρα καὶ κουφοτέρα ἐστὶ τῆς πνοῆς. διὰ λόγου δὲ τοῦ ζεφύρου ἐμνήσθη. ταχύτατος γάρ ἐστιν ὁ ζέφυρος τῶν λοιπῶν ἀνέμων. ὡς καὶ ὅμηρος. Νῶϊ δὲ καί κεν ἅμα πνοιῇ ζεφύροιο θέοιμεν. Τόν περ ἐλαφρότατόν φασ' ἔμμεναι.

14 Ἠὲ πρόκας. ζῶόν τι ὅμοιον ἐλάφῳ ὁ λεγόμενος νεβρός. Διονύσιος δέ φησιν ὁ ἀθηναῖος ἐν ταῖς κτίσεσι τὰς ἐλάφους οὕτω λέγεσθαι πρόκας, ὅθεν καὶ προκόννησος, ἐπεὶ καὶ ἐν ταύτῃ πληθύουσιν ἔλαφοι. οἱ δὲ προχόννησον λέγουσιν εἰρῆσθαι, ἀπὸ τῆς προχόου, ἣν ἔχουσα τοῖς μιλησίοις ἀπήντησεν ἡ παρθένος, ὅτε τὴν ἀποικίαν ἐστέλλοντο. οἱ δὲ προχώννησον ἐτυμολογοῦσι, καθὸ πρότερον οὖσα νῆσος προσεχώσθη. ὑπό τινων δὲ προκόννησος καὶ ἐλαφόννησος ἐκλήθη. Φιλητᾶς δέ φησι πρόκας λέγεσθαι τὰς ἐλάφους τὰς πρώτως τικτούσας, ὅμοιον πρωτοτόκοις. Τοτθὸν δέ, μικρὸν δὲ ἄποθεν μετὰ διαστάσεως ἔτρεχον. Μάτην ἀράβησαν. προσδοκῶντες ἀεὶ διὰ τὸ σφόδρα ἐγγὺς εἶναι καὶ δάκνειν καὶ ἐπιψαύειν δοκεῖν. Ἐπέχραον ἤλιθα. πολλάκις φησὶν ἐθελήσαντες αὐτὰς πλῆξαι, μάτην ἐπήνεγκαν τὰς χεῖρας. Λέκουτι θεῶν. τὸ πα-

ρὰ γνώμην τῶν θεῶν σημαίνει. οὐ γὰρ ἦν μόρσιμον αὐτὰς ἀποθανεῖν. Πλωτῇσι. πλωτάς φησι νήσους ἤτοι πάσας ἐπιθετικῶς καλεῖν. διὰ τὸ περικεχύσθαι καὶ κλείεσθαι ὑπὸ τῶν κυμάτων. ἢ ἰδίως ταύτας φησὶ πλωτάς, ἐν αἷς ὑπὸ τῶν βορεαδῶν κατελήφθησαν κατὰ τὸ μυθολόγημα οὕτω κληθείσας. σχεδὸν δὲ οἱ ποιηταὶ οὕτως αὐτὰς ὀνομάζουσιν. εἰσὶ δὲ ἐν τῷ σικελικῷ πελάγει. ταύτας δὲ ὁ ποιητὴς καλυδνὰς νήσους καλεῖ. εἰ καὶ λυκόφρων ἄλλας νήσους καλεῖ καλυδνάς. Εἰ μὴ ἄρ᾽ ὠκέα ἶρις. ἄλλοι τὴν ἑρμῆν φασι. ἀστείως δὲ ταύτῃ τῇ θεῷ τὸ κωλῦσαι τοὺς βορεάδας διδῶσιν. ἤτοι ὅτι ἄγγελος, ἢ ὅτι τῶν ἁρπυιῶν ἀδελφή. Ὀπιδνοτάτη. τιμία, καὶ ἐπιστροφῆς ἀξία. παρὰ τὴν ὄπιδα ἡ ἐπιστροφήν. ῥιγίστη δὲ φρικτή. διὰ τὸ τιμωρεῖσθαι τοὺς ἐπιόρκους. Στροφάδας δέ. στροφάδας φησὶ κεκλῆσθαι διὰ τὸ τοὺς βορεάδας αὐτόθεν ὑποστρέψαι στραφέντας εἰς τοὐπίσω. λαβὼν παρὰ ἀντιμάχου. οἱ δὲ στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες αὐτόθι ηὔξαντο τῷ διῒ καταλαβεῖν τὰς ἁρπυίας. κατὰ δὲ ἡσίοδον καὶ ἀντίμαχον καὶ ἀπολλώνιον οὐ κτείνονται.

Πάρος πλωτὰς καλέοντες. αἱ πλωταὶ νῆσοι μετωνομάσθησαν στροφάδες. μέμνηται αὐτῶν καὶ ἀντίμαχος ἐν τῇ λυδῇ. ὅτι δὲ ηὔξαντο οἱ περὶ ζήτην τῷ διῒ στραφέντες, λέγει καὶ ἡσίοδος. Ἔνθ᾽ οἵγ᾽ εὐχέσθην αἰνηΐῳ ὑψιμέδοντι. ἔστι γὰρ καὶ αἶνος ὄρος τῆς κεφαλληνίας, ὅπου αἰνησίου διὸς ἱερόν ἐστι, οὗ μνημονεύει καὶ λέων ἐν περίπλῳ, καὶ δημοσθένης ἐν τοῖς λιμέσιν.

ἀπολλώ-

ἀπολλώνιος μὲν οὖν τὴν ἀποστρέψασαν τοὺς περὶ ζήτην ἶριν λέγει. ἡσίοδος δὲ ἑρμῆν. αἱ δὲ πλωταὶ νῆσοι κεῖνται ἐν τῷ σικελικῷ πελάγει. Κεύθμωνα. κοιλάδα τῆς κρήτης κατέδυσαν. τοῦτο δέ φησι καὶ νεοπτόλεμος ὁ τὰ ναυπακτικὰ ποιήσας. καὶ φερεκύδης ἐν. ε. φησὶν εἰς τὸ σπέος αὐτὰς φυγεῖν τῆς κρήτης τὸ ὑπὸ τῷ λόφῳ τῷ ἀργινοῦντι. Φοιβήσαντες. τὸ ῥυπαρὸν σῶμα καθάραντες. φοῖβον γὰρ τὸ καθαρόν. ὅθεν καὶ φοῖβος ὁ ἀπόλλων. εἶπεν γὰρ πίνῳ δὲ οἱ αὐσταλέος χρὼς ἀπεσκληκὼς τῷ ῥύπῳ ἐτύγχανε. φοιβήσαντες οὖν λαμπρύναντες, καθάραντες. Ἐπικειδόν. ἀντὶ τοῦ ἐπικείναντες ἱερεῖον ἔθυσαν. Ἁρπαλέως. ἀδηφαγῶν ἤσθιεν ἴσον ὀνείρου ἡδονὴν ἔχων. μὴ πιστεύων μὴ δὲ νῦν εἰ σώζεται δι᾽ ἃ πέπονθεν. ἀλλ᾽ ὥσπερ ὀνείρατα ἑωρακέναι δοκῶν. Ἐγρήσσοντες. ἐγρήσσειν τὸ ἐγρηγορεῖν. Μένον. προσεδέχοντο. Πείρατα. ἃ δεῖ αὐτοὺς διαπρᾶξαι. ἢ τὰ τέλη. ἀνύσσειν δὲ ἀστείως καὶ κυρίως ταύτῃ τῇ λέξει ἐχρήσατο. ἀνύσαι γὰρ κυρίως τὸ μετὰ καμάτου τι πρῆξαι. Κλῦτε νῦν. τὸ νῦν ἀντὶ τοῦ οὖν. δύναται δὲ τοῦ οὖν, ὥσπερ ὀφειλομένην τὴν μαντείαν αὐτοῖς ἀποδίδωσι λέγων. ἐπακούσατε οὖν ὥσπερ τὸ χρέος ἀπολαμβάνοντες. οὐ μὲν πάντα. τοῦτο δέ φησιν ἵνα μὴ ὕστερον ὀχλήσωσιν αὐτὸν τὸ ἀκριβὲς ζητοῦντες. καὶ δαιμονίως τούτου τὴν αἰτίαν τοῖς θεοῖς περιάπτει, καὶ οὐχὶ ἑαυτῷ λέγων. ὅσσα δ᾽ ὄρωρε θεοῖς φίλον οὐκ ἐπικεύσω. τὸ ἀάσχημιν, ἀντὶ τοῦ ἐλυπήθην κεῖται. ἀφαδίαν δέ φησι τὴν ἀβουλίαν. ἢ τὴν αἰτίαν δὲ ἐπά

γει, δι' ἣν ἐλύπησε τὸν Δία. Χρείων ἐξείης. μαντευόμενος πᾶσιν ἐφεξῆς καὶ τελείως. παρατίθησι δὲ αὐτοῦ τὰς συμφορὰς ἤδη δηλῶν ὡς οὐκ ἀκριβῶς αὐτοῖς οὐδὲ ἄκρως μαντεύεται, εἴγε διὰ τοῦτο ἐβλάβη. Ἐπιδευέα. μὴ τέλεια. ἀλλ' ἔτι ἐνδέοντα λόγια τοῖς ἀνθρώποις ἐκφαίνειν ἵνα καὶ τοῦ θείου χρείαν ἔχωσι. Θέσφατα δὲ μαντοσύνης τὰ θεσπίσματα τοῖς μαντικοῖς λέγει. Ξυνοχὴν δὲ ἁλὸς ὅπου στενοῦται ἡ θάλασσα. λέγει δὲ ἐπὶ τοῦ στόματος τοῦ πόντου.

Πέτρας μὲν, περὶ τῶν συμπληγάδων, ὅτι ἐπὶ τοῦ ποντικοῦ στόματος ἦσαν, καὶ ὅτι κυάνεαι ἐκαλοῦντο διὰ τὸ χρῶμα, ἐν τῷ πρώτῳ εἴρηται. ὁ δὲ διὰ πάντων, καὶ ἐκ πρώτης ἀκοῆς δεδίσσεται τοὺς ἥρωας, διά τε τῆς ποιᾶς χροιᾶς τῶν πετρῶν, καὶ διὰ τοῦ ἐν θαλάσσῃ στενοῦ, ὅπερ καὶ ἐπὶ γῆς ἅπαν κινδυνῶδες καὶ φοβερόν ἐστιν.

Διαμπερὲς ἐξαλέασθαι. τοῦτό φησιν ἐπεὶ οὐδεὶς οὐδέποτε ἀβλαβὴς τελέως ἐξέφυγεν, ὥσπερ οὐδὲ ἡ ἀργώ, καίτοι ἥρας προνοουμένης. Ἀλλὰ θαμά. διὰ πάντων τὸ δεινὸν τοῦ λόγου ἐπαίρει. διά τε τοῦ μὴ ἁπλῶς συνιέναι, ἀλλὰ συνεχῶς, καὶ διὰ τοῦ ἐναντίαι εἰ μὲν γὰρ ἐκ τῶν πλαγίων ἑαυταῖς συνήρχοντο, τάχα ἄν πως δυνατὸν ἦν ὑποτηρήσαντα τὴν σύνοδον ἐκφυγεῖν. εἰ δὲ ἐξ ἐναντίας συνέρχονται, ἄντικρυς καὶ ὁμολογημένος ὁ κίνδυνος. δεινοποιεῖ δὲ καὶ τῇ ἀκοῇ ἐκπλήττει τοὺς ἥρωας, ἐπεὶ μεγάλας ἔσχε περὶ αὐτῶν τὰς εὐεργεσίας, ἵνα καὶ αὐτὸς μεγάλα αὐτοῖς καὶ δεινὰ προμηνύων, ὥσπερ ἴσος ἀντευεργέτης ὀφθῇ.

Κορθύεται βρασσόμενον. μετὰ ἤχου καὶ ταραχῆς

αἰρόμενον

αἰρόμενον ὑπ' αὐτῶ τὸ ὕδωρ δινεῖται. Στεινὲς δέ ἐστι τὸ ἀνατετεμενον, καὶ μέγα, καὶ ὀξὺ, καὶ διάρροον. ὄνομα δὲ ἀντὶ ἐπιῤῥήματος κεῖται. Τῶ νῦν. διὸ νῦν ἐπὶ μέγας καὶ πολὺς ὁ κίνδυνος. Παραιφασίῃσι. παραινέσεσιν, ὑποθήκαις. Στυφελὴ δὲ ἡ ταραχώδης ἀκτή. Πείρειν δὲ ἐνταῦθα μὲν τὸ διαπλέειν καὶ διαπερᾶν, ὡς τὸ ἀλγινά τε κύματα πείρων. ἀλλαχοῦ δὲ τὸ διαξυπᾶν. σπλάγχνα δ' ἄρ' ἐμπείραντες. Αὐτάγρετον τὸ αὐθαίρετον δηλοῖ. τὸ δὲ ἰθύνειν τὸ ὁρμᾶν σημαίνει. οἱ δὲ ἰθύνειν γράφοντες ἁμαρτάνουσι.

16 Οἰωνῷ δὴ πρόσθε. τὸ ἑξῆς. οἰωνῷ δὴ πρόσθε πελειάδι πειρήσεσθε ἑπόμενοι. πελειὰς δὲ εἶδος περιστερᾶς, ὡς ὁ ἀριστοτέλης φησίν. ὅτι δὲ ἐχείσαντο περιστερὰν πλεῖν μέλλοντες, καὶ ἀσκληπιάδης ἐν τραγῳδουμένοις φησίν. Πρόσθε τὸ πρότερον δηλοῖ. Τὸ δὲ ἑπόμεναι, ἐνταῦθα μὲν τὸ ἐνδιδόναι σημαίνει. ἔστι δ' ὅτε τὸ ἐντέλλεσθαι καὶ ἐπιτρέπειν. παρὰ δὲ τοῖς ῥήτορσιν ἰδίως τὸ ἀπὸ δικαστηρίου εἰς δικαστήριον μεταβαίνειν. ἡ ἔφεσις ἡ μετάβασις. Λουκιανός. ἡ δὲ ἔφεσις ἐπὶ τὸν δία ἔσται. ἐφίεμαι δὲ τὸ ἐπιθυμῶ. Ἀλλ' εὖ καρτύναντες. ἀσφαλισάμενοι καρτύναντες. συνηκὸν δέ ἐστι τὸ κατ' ἐναλλαγὴν στοιχείων δὲ λέγεσθαι ὡς καὶ κραδίαν καὶ κάρτος λέγουσιν. Σόη. ἀβλαβής. Δίηται. διωχθείη καὶ πετασθείη ἡ ὄρνις. Ἐπὶ φάος οὔ νύ τι τόσσον. ἡ διάνοια αὕτη γέγονε παρὰ τὴν ἐν ἄλλοις λεχθεῖσαν. οὐδέ τι κῶας αὐτόματον δώσει ποσὶ ἑλὼν θεὸς δεξαμένοισιν.

Ονήϊστον. ὠφελιμώτερον πλεῖτε καὶ πράττε-

τε. λέγει δὲ τὸ κωπηλατεῖν. Πρὶν δ' οὔτι θεούς. πρὸ δὲ τοῦ εἰς τὸν πορθμὸν ἐλθεῖν οὐ κωλύω ὑμᾶς τοὺς θεοὺς ἐπικαλέσασθαι βοηθούς. Ω μέλεοι. τοῦτο φησὶν ὡς τῶν ἡρώων μέγα φρονούντων ἐπὶ τῇ κατασκευῇ τῆς ἀργοῦς. δηλοῖ δὲ τὸ τῶν ξύλων μέγεθος, καὶ τὴν κατασκευασθεῖσαν ἀθηνᾶς τέχνην. τὸ δὲ περιὲξ βαρυτόνως ἀντὶ τοῦ χωρίς. συντάσσεται δὲ γενικῇ καὶ αἰτιατικῇ. Εἴ κέ μεν εἰς τόσσον. διὰ τοῦτο μάλιστα ὥσπερ ἐκ θεῶν τὸ κώλυμα τῆς ὁδοῦ λέγων εἶναι, πείθει αὐτοὺς ἐπαναχωρεῖν ἐάν τι φαῦλον συμβῇ τῇ ὄρνιθι. τοῦτο δέ φησιν ἐπεὶ τοὺς παρὰ τῶν ἀδίκων λόγους ὡς ἀπίστους καὶ ἀπληρώτους λαμβάνομεν διὰ τὸ ἀσεβὲς αὐτῶν. φησὶν οὖν εἰ δὲ φὶς τοσοῦτον ἢ καὶ πλέον ὑπονοεῖτέ με μισεῖσθαι ὑπὸ τῶν θεῶν ὅσον ἀληθῶς μισοῦμαι. μὴ τολμήσητε χωρὶς οἰωνοῦ παρελθεῖν. Ανάρσιος. σημαίνει καὶ τὸν ἐχθρόν. οἱ γὰρ ἐχθροί, ἀλλήλοις οὐ συμβαίνουσι. Καὶ τὰ μὲν, ὥς κε. καὶ ταῦτα μὲν οὕτως ἂν γένηται, καθὼς καὶ ἔστι καὶ εἵμαρται. Σύνδρομα. τὴν σύνοδον. διὰ δὲ τοῦτο πάλιν αἰνίττεται μᾶλλον ὡς οὐ ῥᾳδία αὐτοῖς οὐδὲ ἀκίνδυνος ἡ ἔξοδος. Αὐτίκα βιθυνῶν. μετὰ γὰρ τὴν φινέως νῆσον, ἐν τὰ δεξιὰ μέρη ἐστὶ βιθυνία παρὰ τὸν βόσπορον. ταχέως γὰρ ἐκπλεύσαντι τὸ στόμα τοῦ πόντου, ἡ ἑτέρα πλευρὰ τῆς βιθυνίας. ἡ γὰρ βιθυνία ὡς προείρηται περὶ τὸν βόσπορόν ἐστιν ἐν δεξιᾷ. ἐν ἀριστερᾷ δὲ σαλμυδησσὸς θρακῶν ἀγρίων. ῥῆβας δὲ ποταμὸς βιθυνίας. ὠνομάσθη δὲ σαλμυδησσὸς, ἀπὸ τοῦ συῤῥέοντος εἰς αὐτὸν ποταμοῦ. Πλώετε. ἐχόμενοι τῆς βιθυνίας πλέετε πρὸς

τε πρὸς τὰ δεξιὰ φυλαττόμενοι τὰς ἐκ τοῦ ἀριστεροῦ μέρους ῥηγμῖνας. λέγει δ' ἂν τοῦ Σαλμυδησσοῦ, ἐπειδὴ οἱ περὶ τὸν Σαλμυδησσὸν κατοικοῦντες Θρᾷκες ἐπιτιθέμενοι διήρπαζον τοὺς παραπλέοντας.

17 Κεῖθεν δ' οὐ μάλα. ἐκ τῆς θυνιάδος νήσου πλεύσαντες οὐ πολὺ ἐκ τοῦ πέραν εἰς τὴν μαριανδυνῶν ἥξετε γῆν. τὴν δὲ μαριανδυνῶν γῆν σὺν γνησιόχῳ τῷ μεγαρεῖ βοιωτοὶ κατέχον, ὡς εὐφορίων ἱστορεῖ. παραῤῥεῖ δὲ αὐτὴν ὁ ἀχέρων ποταμός. ἀχέρων δὲ παρὰ τὰ ἄχεα εἴρηται. Ἔνθα μὲν εἰς ἀΐδαο. κατὰ τὴν ἐν τῇ μαριανδυνίᾳ, ὡς λέγουσι τὸν τοῦ ᾅδου ποταμὸν ἀχέροντα καταβατική τίς ἐστιν ὁδός. ὁ δὲ ῥεῖθρα σφοδρὰ ἔχων, διατέμνει αὐτὴν τὴν μαριανδυνίαν κάτωθεν ῥέων, καὶ εἰς ἄκραν αὐτὴν ἐκ τινος φάραγγος ῥέων τὰ ῥεύματα εἰσβάλλει. Ἀκτή τε προβλής. ἄκρα κατὰ τὴν ἡράκλειαν, ἣν ἀχερουσίαν καλοῦσιν οἱ ἐγχώριοι. ἡρόδωρος δὲ καὶ εὐφορίων ἐν τῷ ξενίῳ ἐκείνῃ φασὶ τὸν κέρβερον ἀνῆχθαι ὑπὸ τοῦ ἡρακλέους καὶ ἐμέσαι χολήν. ἐξ ἧς φῦναι τὸ καλούμενον ἀκόνιτον φάρμακον. ἄνδρων δὲ ὁ τήϊος ἐν τῷ περίπλῳ φησὶν ἀχέροντά τινα βασιλεῦσαι τῶν τόπων, οὗ θυγατέρα γενέσθαι δαρδανίδα. ταύτῃ δὲ ἡρακλέα πλησιάσαντα ἐσχηκέναι υἱὸν πριμένα λεγόμενον. ἀποθανόντων δὲ κατὰ τὸν αὐτὸν χρόνον τῆς τε δαρδανίδος καὶ τοῦ υἱοῦ αὐτῆς πριμένος, τοὺς τόπους ἀπ' αὐτῶν κληθῆναι κατὰ τὴν ἡράκλειαν δαρδανίδα τε καὶ πριμένα. Δινήεις τ' ἀχέρων. ὁ ἀχέρων ποταμὸς εἰς θάλασσαν ῥεῖ διὰ μεγάλης φάραγγος τέμ-

νων τὴν ἀχερουσίαν ἄκραν. παρὰ δὲ τὴν ἡράκλειαν τὴν ἐν μαριανδυνοῖς, ἀχεροντίς ἐστι καὶ στόμιον πηλῶδες. Φάραγγος δὲ τοῦ τοῦ ὄρους τραχύτητος καὶ ὀρεινῆς κοιλάδος. φάραγξ γὰρ ἡ ὀρεινὴ κοιλάς. Ἀγχίμολον δ᾽ αὐτῇ. ἐπὶ τῇ μαριανδυνῶν χώρᾳ. τὸ δὲ ἑξῆς. αὐτῇ δὲ τῇ μαριανδυνῶν γῇ ἐκ τοῦ σύνεγγυς παραπλέετε τὰ τῶν παφλαγόνων ὄρη. Τοῖσιν τ᾽ ἐνετήιος. ἀπὸ ἐνέτης πόλεως παφλαγόνων. ὅμηρος. ἐξ ἐνετῶν. ὅθεν ἡμιόνων γένος ἀγροτεράων. ρύρις δὲ καύκωνας ἐκάλουν πρὸ τῶν τρωϊκῶν. τὸν γὰρ πέλοπα, παφλαγόνα τὸ γένος εἶπεν. ἄλλοι δὲ λυδὸν αὐτὸν ἱστοροῦσιν. ὁ δὲ εὐφορίων ἀμφοτέρας τὰς δόξας συντίθεται. Τὸ καί περ. περισσὸν ἔχει τὸ περ. ἀπὸ τοῦ πέλοπος γὰρ ἐλέγοντο κατάπαθης οἱ παφλαγόνες.

18 Ἔστι δέ τις ἄκρη, ὅτι ἡ κάραμβις ἄκρα ὑψηλή τε ἤγουν κατάντικρυ τῆς παφλαγονίας, καὶ εἰς τὸ πέλαγος τείνει πρὸς ἄρκτον. μνημονεύει καὶ ἔφορος ἐν δ΄. ὁ δὲ νοῦς. ἔστι δέ τις ἐξοχὴ ἤγουν ἄκρα ὑψηλὴ εἰς τὸ πέλαγος τείνουσα κατεναντίον τῆς ἑλίκης ἄστρου κειμένη, ὑφ᾽ ἧς καὶ αἱ τοῦ βορέου ἄελλαι διασχίζονται, ὅ τ᾽ ἔστιν αἱ πνοαί. ἔστι δὲ ὑπερβατόν, ἤγουν ἡ, ὑπέρ, ἀντὶ τοῦ ὑπό. ὑφ᾽ ἧς ἤγουν αἱ τοῦ βορέου πνοαὶ σχίζονται. ἴσως δὲ βέλτιον συνάπτειν οἰκείως, ἤγουν αἱ πνοαὶ τοῦ βορέου σχίζονται, ἤτοι διαλύονται ὑπὲρ τῆς καραμβίδος, ἀντὶ τοῦ ἐπάνω. εἰ γὰρ ἐν ταῖς κορυφαῖς τῶν ὑψηλῶν ὀρέων νηνεμία ἐστίν, ὡς οἱ φυσιολόγοι ἀξιοῦσι, πολλῷ μᾶλλον ὑπὲρ ἐκείνας. διὸ καὶ ἐπάγει. οὕ-

τως

πως αὐτὰ τὸ πέλαγος τετραμμένη πρὸς αἰθέρι κόρει καὶ προσαπελάζει. Ἅλυος ποταμοῖο. ἅλυς ποταμὸς παφλαγονίας, ὃν φυλάττεσθαι ὁ πύθιος τῷ λυδῶν βασιλεῖ κροίσῳ εἶπεν. ἔστι δὲ μεταξὺ σύρων τῶν ἐν τῷ πόντῳ καὶ παφλαγόνων εἰς τὸν πόντον ἐκδιδοὺς περὶ σινώπην πόλιν. τὸ δὲ ἐρεύγεσθαι τὸ μετ' ἤχου ῥέειν σημαίνει.

Υπείροχος. ὑψηλὸς καὶ μέγας κόλπος. διαυέχει δὲ τῆς γῆς, ἀντὶ τοῦ ἐκκεῖται εἰς τὴν θάλασσαν. ἔοικε δὲ ὑπὸ ὀρῶν περιέχεσθαι τὸν κόλπον, καὶ διὰ τοῦτο ὑπείροχον ἐξανέχειν ἔφη τὸν ἀγκῶνα. Μετὰ τόνδ' ἀγχίῤῥοος. μετὰ τὸν ἅλυν πλησίον ῥεῖ ὁ ἶρις, ἐλάττων ὢν τοῦ ἅλυος, κατὰ τὸ μέγεθος. Κεῖθεν δὲ, ἐκεῖθεν προσπελθοῦσιν. ἀκτήν τινα ἐστί φησιν ἐκκειμένην εἰς θάλασσαν. κάμψαντι δὲ αὐτὴν κόλπον ἐστὶ, εἰς ὃν καταφέρεσθαί φησι τὸν θερμώδοντα ὑπὸ τὴν θεμισκύρειον ἄκραν, ἔνθα ᾤκησαν αἱ ἀμαζόνες. ἀπὸ τοῦ ἵημι δὲ τὸ προεύομαι εἴμαι προκείμενος. ἐπισημήνασθαι δ' ἄξιον, ὅτι εἰπὼν στόμα θερμώδοντος, ἐπήνεγκε μετοχὴν ἀρσενικὴν τὴν διαειμένος, δεικνὺς ὅτι ταὐτόν ἐστι στόμα θερμώδοντος καὶ θερμώδων. Μύρεται. ἀντὶ τοῦ ἐκρεῖ. ἀναπλέον δὲ αὐτῷ τὸ στόμα θερμώδοντος κόλπῳ μύρεται. διαειμένος δὲ, κατὰ ἀντιστροφὴν διαφερόμενος, μεθ' ὁρμῆς ῥέων. οἱ δὲ διὰ πολλῆς γῆς ῥέων ὁ ποταμὸς ὁ θερμώδων κατὰ τὴν θεμισκύρειον ἄκραν εἰς κόλπον εὐδιεινὸν ἐκρέει.

19 Ενθα δὲ δηϊάντος. δηΐας ὁ ἄλκμωνος ἀδελφοί. τίνος δὲ παῖς οὐ φέρεται, ὥς φησι φερεκύδης. πλησίον δέ φησι τοῦ δηΐαντος πεδίου εἰσὶ τρεῖς πόλεις, ἔνθα κατῴκουν αἱ ἀμαζόνες. λυκαστία, θεμι-

σκύρα, καὶ χαλυβία. οἱ δὲ χάλυβες ἔθνος σκυθικὸν μετὰ τὸν θερμώδοντα, οἳ μέταλλα σιδήρου εὑρόντες, μοχθοῦσι περὶ τὴν ἐργασίαν. ἐκλήθησαν δὲ χάλυβες ἀπὸ χάλυβος τοῦ ἄρεως υἱοῦ. μέμνηται αὐτῶν καὶ καλλίμαχος. χαλύβων ὡς ἀπόλοιτο γένος. γειόθεν ἀντέλλοντα κακὸν φυτὸν, οἵ μιν ἔφηναν.

Σμυγερῶται ρι, ἤγουν ἐπιπονέστατοι. Μέλλονται, ἀντὶ τοῦ φροντίδα ποιοῦνται. Γενητέην ὑπὲρ ἄκρην. γενηταία ἄκρα κυρίως οὕτω λεγομένη ἀπὸ γενήτου ποταμοῦ, ἔνθα διὸς ξενίου ἱερόν ἐστι. ἔστι τιβαρηνοὶ ἔθνος σκυθικὸν, πλησιόχωροι χαλύβων. μοσσύνοικοι δὲ ἔθνος ἐστὶ αὐτὸ ἀπὸ τῆς διατριβῆς τὴν προσηγορίαν ἐσχηκός. μόσσυνοι γὰρ οἱ ξύλινοι οἶκοι λέγονται, οἷς καὶ αὐτοὶ ἐχρῶντο, ὅπερ ἐστὶ αὐτὸς ἀνιττόμενος, ὑλήεσσαν γῆν αὐτοὺς οἰκεῖν ἔφη. ἀπὸ γοῦν τοῦ μόσσυνος ὃ λέγεται ὁ ξύλινος οἶκος ἐκλήθησαν μοσύνοικοι. Λισσῇ ἐπικέλσητε νήσῳ. τῇ τραχείᾳ ἐστὶ ὑψηλῇ. ἡ δὲ νῆσος καλεῖται ἀρητιάς. ἐν δὲ ταύτῃ τῇ νήσῳ αἱ στυμφαλίδες ἦσαν ὄρνιθες, ἀπὸ στυμφάλου τῆς ἀρκαδίας πόλεως ὑπὸ ἡρακλέους διωχθεῖσαι. ἐν ταύτῃ οὖν τῇ νήσῳ φησὶ παντοίᾳ σπουδῇ κατάχθητε. ἐκεῖ γὰρ ὑμῖν ἐπιφανήσεταί τις ὠφέλεια. λισσὴ δὲ ἀντὶ τοῦ ὁμαλή. ἀμείβας δὲ ἐν γλώσσαις, λισσὸν τὸ ὑψηλὸν ἀποδίδωσιν. ὅτι δὲ ἡ νῆσος αὕτη ὄρνιθας ἔχει τοξευούσας τοῖς πτεροῖς ὡς βέλεσιν, ἱστορεῖ ἐστὶ εὐριπίδης ἐν φρίξῳ. Ὀξηρὴ καὶ αὐτόπτη ἀμαζόνων αὗται βασίλειαι. ἣν δὲ στρατιὰν οὐδείς ἐδήλωσιν. Εφέπουσι δὲ ἐνταῦθα, ἀντὶ τοῦ

ἐντείβοιτο. Ενθα γὰρ ὔμμιν. ἐνταῦθα τί ὑμῖν ὄφε λος ἐν τῇ ἀρητιάδι νήσῳ ἐκ τῆς θαλάσσης ἥξει ἄρρητον. δηλονότι διὰ τὸ ναυάγιον. λέγει δὲ τοὺς φρίξου καὶ χαλκιόπης τῆς αἰήτου θυγατρὸς παῖδας, οἵ τινες ἐπὶ τὴν ἑλλάδα στελλόμενοι διὰ τὸν ἀθάμαντος κλῆρον ἐν ταύτῃ τῇ νήσῳ ναυαγήσαντες ἔτυχον ἐπιμελείας παρὰ τῶν ἡρώων, καὶ ὁδηγοὶ αὐτοῖς εἰς τὴν σκυθίαν ἐγένοντο. εἰσὶ δὲ οὗτοι, ἄργος, μέλας, κυτίσωρος, φρόντις. Αδευκέος τοῦ ἀπροσδοκήτου αὐτίκα τοῦ παρ' ἐλπίδας ὑμῖν φανείσης. ἀδευκῆ δέ φησι τὴν θάλασσαν, ἤγουν πικράν. δεῦκος γὰρ τὸ γλυκύ.

Τῷ κέ τε φίλα. διὸ ἐπεὶ ὠφελήσει ὑμᾶς, συνοισῶν ὑμῖν κελεύω προσχεῖν τῇ νήσῳ ἢ κατέχειν, ἤγουν μνημονεύειν αὐτῆς. τὰ δὲ ἑξῆς προστίθησιν, ἐπεὶ ἔλαθεν ἑαυτὸν τὰ πάντα μέλλων λέγειν τίνες τε εἴησαν οἱ συντευξόμενοι, καὶ ὅπερ αὐτοῖς πρήσσουσιν. καὶ παρεκβαίνων τὰ προαγγελθέντα αὐτῷ. ἔφη γὰρ τὰ πάντα ἀκριβῶς μὴ εἰπεῖν, διὰ τὸ μὴ προσκρούσαι τοῖς θεοῖς πάλιν. ἑαυτοῦ δ' ἐπιλαμβάνεται, καὶ τὰ μὲν κατὰ μέρος συμβησόμενα οὐ λέγει. τὰ δὲ ἑξῆς τῶν μοσυνοίκων ἔθνη καταλέγει.

20 Νήσου δὲ προτέρωσε. μετὰ δὲ τὴν νῆσον καὶ τὴν περαίαν γῆν οἰκοῦσιν οἱ φίλυρες. ὑπὲρ ἄνω δὲ τῶν φιλύρων καὶ ἔμπροσθεν εἰσὶν οἱ μάκρωνες, ἔθνος σκυθικόν, ἄγριον τῶν εὐβοέων. ἡ γὰρ εὔβοια καὶ μάκρις ἐκαλεῖτο διὰ τὴν θέσιν. Νήσου δὲ προτέρωσε. τῆς δὲ νήσου τῆς ἀρητιάδος ἔμπροσθεν καὶ τῆς κατὰ τὸ ἐναντίον γῆς οἰκοῦσι φίλυρες, οἳ ἐκλήθησαν ἀπὸ φιλύρας

τοῦ ὠκεανοῦ θυγατρὸς, γαμετῆς δὲ κρόνου· μητρὸς δὲ χεί-
ρωνος ἐνταῦθα διατριψάσης. ἢ οὕτως. μετὰ δὲ
τὴν νῆσον τὴν περαίαν γῆν, νέμονται φίλυρες. Περὶ
ὦσια. φησὶ δὲ οὕτω, διὰ τὸ εἰς πολλὴν χώραν διεσπάρ-
θαι αὐτούς. Ἐξείης δὲ σάπειρες. τοῖς βεχείροις.
σάπειρες δὲ ἔθνος σκυθικὸν οὕτω κληθὲν, διὰ τὸ πολ-
λὴν περὶ αὐτοῖς γίνεσθαι τὴν σαπφειρίτην λίθον. Σμώ-
λακες. ὄμβροι. ὤλακα δὲ τὴν αὔλακα δωρικῶς.
καὶ ὅμηρος. ἱεμένων κατὰ ὦλκα. Ἀλλ' ἐνὶ νηί. ἀλ-
λὰ πείρετε καὶ πλεῖτε φησὶν ἕως ἂν εἰς τὸ μυχαίτα-
τον τῆς θαλάσσης ἀφίκησθε. ἐνταῦθα δὲ καὶ ἡ σκυθία
τελευτᾷ, καὶ τὴν μὲν σκυθίαν διαδέχεται ἡ σαρμα-
τία. τὸν δὲ εὔξεινον ἡ μαιῶτις. περιοικοῦσι δὲ τὴν
μαιῶτιν οἱ σαρμάται. ὑπὲρ δὲ τοὺς σαρμάτας ὁ σαρ-
ματικός ἐστι καὶ ἀρκτικὸς ὠκεανός. Κυταιίδος. κολ-
χικῆς. κύταια δὲ πόλις κολχίδος. ἔστι δὲ καὶ ἑτέρα
πόλις τῆς εὐρώπης κύταια, ὁμώνυμος τῇ σκυθικῇ,
ἀφ' ἧς φασι καὶ τὴν κολχικὴν ἐσχηκέναι τὴν ἀρχήν.
ἀπολλώνιος δὲ κυταιίδα τὴν πόλιν ἐνταῦθα φησίν.
ἀμαντῶν δὲ περισπωμένως, ὥς φησιν ἡρωδιανὸς
ἐν τῇ καθόλου. ἔστι δὲ ἀμαντοῦς πόλις ἐν πόντῳ.
ὡς δὲ αὐτός φησιν ὄρη τῆς κολχίδος, ἐξ ὧν ὁ φάσις
ποταμὸς καταφέρεται. ἔστιν οὖν καὶ ἑτέρα κύταια πό-
λις τῆς εὐρώπης κατὰ τὸν εἴσπλουν τοῦ εὐξείνου. ἐκεῖθεν
δὲ τὴν ἀρχὴν λαμβάνουσι. λέγεται δὲ οὕτως ὀνομα-
στικῶς. κυταιίδα δὲ τὴν μήδειαν προσαγορεύουσι.
ἀμαντοῦς δὲ πόλις ἐν πόντῳ. ἢ ὄρη τῆς κολχίδος,
ὥς φησιν ἡρωδιανός. ὅθεν καταφέρεται ὁ φάσις. ὁ

περὶ ἀγνοίας Ἡγησίστρατος ὁ Ἐφέσιος, Ἀμαραντίους ἀπέδωκε λιμένας τοῦ Φάσιδος. διὰ δὲ τὸ εὐθαλεῖς εἶναι τοὺς ἀμπλάνρους. ὅτι δὲ Ἀμάραντα ὄρη ἐστὶ Κόλχων, ἱστορεῖ Κτησίας ἐν β'. ὁ δὲ Φᾶσις φέρεται μὲν ἀπὸ τῶν Ἀρμενίας ὀρῶν, ὥς φησιν Ἐρατοσθένης. ἐκδίδωσι δὲ εἰς Κόλχιν κατὰ θάλασσαν. Κιρκαῖον δὲ τόπος ἐστὶ τῆς Κολχίδος, ἀπὸ Κίρκης τῆς Αἰήτου ἀδελφῆς. ἢ πεδίον. οὐ δύναται δὲ ἀπὸ τῆς ἑτέρας Κίρκης ὠνομάσθαι. ἐγένοντο γὰρ Κίρκαι δύο, περὶ ὧν ἐν τοῖς ἑξῆς ἐροῦμεν. Τίμαιος δέ φησι πεδίον ἐν Κόλχοις εἶναι Κιρκαῖον. Ἄλσεος πεσκιόειν. ὁ δὲ Ἑλλάνικος ἐν τῷ ἱερῷ τοῦ Διός φησὶ κεῖσθαι τὸ δέρας. τοῦ δὲ ἐν Κόλχοις λεγομένου Ἀργείου πεδίου εἶναι τοῦ αὐτόθι Ἄρεος τεμένους μέμνηνται πολλοί. φασὶ δὲ ὅτι τὸ χρυσοῦν δέρας ἀνάκειται ἐν τῷ τοῦ Ἄρεος ἄλσει ἐπί τινος φηγοῦ φυλασσόμενον ὑπὸ δράκοντος τερασίου τὸ μέγεθος. τὸ δὲ σκιόειν ἀντὶ τοῦ σκιόεν κατὰ Ἰωνικὴν πρόσθεσιν τοῦ ι. Ἀφασίῃ βεβολ. ἀντὶ τοῦ ὑπὸ ἀφασίας ἐκπεπληγμένοι. Ἀσπαστῶς κεν. ἡδέως ἂν παρὰ σοῦ μάθοιμι, εἰ δὲ ὑποστρέψαντες ἐκ Κόλχων ἐκφευξόμεθα. δύο δὲ μάλιστα ἐφίεται ὁ Ἰάσων μαθεῖν παρὰ τοῦ Φινέως. ἓν μὲν πῶς ἂν αὖθις κατὰ τὴν ὑποστροφὴν διαπλεύσει τὰς Συμπληγάδας. δεύτερον πῶς ἂν μέχρι τῆς Κολχίδος ἀφίκοιτο διαπλεύσας ταύτην θάλασσαν. τὸ δὲ δυσχερὲς τοῦ πλοῦ ἐνέφηνε διὰ τὸ τὴν Κολχίδα κεῖσθαι ὑπὸ τὰ ἔσχατα τῆς γῆς καὶ τοῦ πόντου.

Αἶα δέ. ἡ Αἶα πόλις τῆς Κολχίδος. αὕτη ἐπ' ἐσχάτοις κεῖται τῆς οἰκουμένης. ἄλλοι δὲ τὴν γῆν

τῆς κολχίδος ἰδίως αἶαν καλεῖσθαι λέγουσι. Ἐπὶ δαίμων. ἐκ δὲ τῆς αἴας φησὶν, τουτέστιν ἐκ τῶν κόλχων θεὸς ὑμῖν καθηγήσεται εἰς τὴν αἶαν πλέουσι, πολλοὶ ἔσονται καθόλου πομποί. ἄλλος ὑμῖν φησι γενήσεται πλοῦς ἐκ τῆς αἴας. τοῦτο δὲ λέγει, παρόσον οὐ διὰ τῶν συμπληγάδων ὑποστρέφουσιν.

Μετὰ δ' αἶαν. ἢ μετὰ ἀντὶ τῆς πρός.

21 Ἀλλὰ φίλοι φράζεσθε. δεῖ φροντίδος ἔχειν φησὶ τὴν ἐκ τῆς ἀφροδίτης δολίαν βοήθειαν. αἰνίττεται δὲ τὸν ἔρωτα τῆς μηδείας. τὸ δὲ ὅσσον ἀπωθὲν ἤλασαν, ἀντὶ τοῦ ὅσον μακρὸν ἐπορεύθησαν.

Δικταῖον ὄρος ἐν κρήτῃ. ἐρίπναι δὲ κατὰ μέν τινας τὰ ἀποθραύσματα τῶν ὀρῶν. κατὰ δὲ τοὺς γλωσσογράφους, πάντα τὰ ὄρη ἐρίπναι καλοῦνται.

22 Ἦ ἄρα δή τις. τὸ ἦ ἄρα ἠθικῶς ἀντὶ τοῦ ὡς ἔοικε. καὶ ἐν ὀδυσσείᾳ. οὐκ ἄρα σοί γ' ἐπὶ εἴδει ἐνὶ φρένες ἦσαν. καὶ ἡσίοδος. οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος, οὐκ ἦν ὡς ἔοικε μία ἔρις. Εἰ δὲ ὀφθαλμοῖσι. εἰ δὲ ἐπαναβλέψαι θεῶν τις σε ποιήσειεν, χαρείω ἂν τόσον, ὡς εἰ σωθείην εἰς τὴν πατρίδα. Ὑποσμύχονται. ὅπερ ἐστὶν ὑπὸ βάθους ἠμαύρωνται. ἔστι δὲ ὑποσμύχειν, καὶ τὸ ἠρέμα ὑποκαίειν, οἱονεὶ ὑποκέκαυνται. Οἱ ἐπὶ πρόσθεν. οἱ τινὲς συνεχῶς ἤρχοντο πρὸς αὐτόν. τὸ ἑξῆς φέροντες μέρος τῆς ἰδίας τροφῆς. Σὺν τοῖσι δ' ἵκανε παραίβιος. ὁ μὲν ἀπολλώνιος τὸν παραίβιον, φίλον φινέως εἶναι φησίν. οἱ δὲ ἄλλοι δοῦλον εἶναι πιστόν. οἱ δὲ περὶ τὸν παραίβιον φησὶν ἐχάρησαν ἰδόντες τοὺς ἥρωας. αὐτὸς γὰρ ὁ φι-

νεὺς

νεὺς ὑπεμνήσατο ὃ προεῖπε τῷ Παραιβίῳ τὴν τῶν
ἡρώων ἔλευσιν. συνάπτειν γὰρ δεῖ τὴν ὑπὸ τῷ ἐμυ-
νήσατο. λαμβάνειν δὲ ἀντὶ τοῦ προ, ὥσπερ καὶ τὸ ὑπει-
πών, ἀντὶ προειπών. Θυνίδι γαίῃ. τὴν περὶ τὸν
Βόσπορον χώραν, πάλιν Θυνίδα εἶπεν, ἣν κατῴκει Φι-
νεύς, ὡς ἐστὶν μέρος τῆς Θράκης, ὃ καλεῖται Θυνίς.
Μόρον δὲ ἐνταῦθα οὐ τὸν θάνατον, ἀλλ' ἢ τὴν δυστυ-
χίαν ἔφη, ἢ τὴν πορίαν τῆς τύχης διάθεσιν.

23 Εὖτε γὰρ οὖν. ὁ Παραίβιός φησι πατρικὴν ἁμαρ-
τίαν ἀποτιννὺς, ἀεὶ ἐν ἀπορείᾳ ἦν βίου, καὶ εἰ πλεῖστα
μοχθήσειεν. Χρησμοσύνη. ἀπορεία. πενία. ἐνδεία.

Ἀμαδρυάδος νύμφης. ἀμαδρυάδας νύμφας Μνη-
σίμαχός φησι, διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι. ἢ
ἐπεὶ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι νύμφαι ἀ-
μαδρυάδες λέγονται. Χάρων δὲ ὁ Λαμψακηνὸς ἱστο-
ρεῖ, ὡς ἄρα Ῥοῖκος θεασάμενος δρῦν ὅσον οὔπω μέλ-
λουσαν ἐπὶ γῆς καταφέρεσθαι, προστάξαι τοῖς παισὶν
ὑποστηρίξαι ταύτην. ἡ δὲ μέλλουσα συμφθείρεσθαι
τῇ δρυῒ νύμφη ἐπιστᾶσα τῷ Ῥοίκῳ χάριν μὲν ἔφα-
σκεν εἰδέναι ὑπὲρ τῆς σωτηρίας. ἐπέτρεπεν δὲ αἰ-
τήσασθαι ὅ,τι βούλοιτο. ὡς δὲ ἐκεῖνος ἠξίου συγγενέ-
σθαι αὐτῇ, ὑπέσχετο δώσειν τοῦτο. φυλάξασθαι μέντοι
τῆς ἑτέρας γυναικὸς ὁμιλίαν παρήγγειλεν. ἔσεσθαι δὲ
μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. καί ποτε πεσσεύον-
τος αὐτοῦ παρίπτατο ἡ μέλισσα. πικρότερον δὲ ἀποφθε-
γξάμενος, εἰς ὀργὴν ἔτρεψε τὴν νύμφην, ὥστε πηρωθῆ-
ναι αὐτόν, καὶ Πίνδαρος δέ φησι περὶ νυμφῶν ποιού-
μενος τὸν λόγον. Ἰσοδένδρου τέκμαρ αἰῶνος λα-

χοῦσα. ὁ γὰρ τοῦ Παραιβίου πατὴρ ἐκκόπτων δρῦν, πα
ρεκαλεῖτο ὑπὸ νύμφης μὴ τεμεῖν αὐτήν. συγγεγε
νημένη οὖσα γὰρ ἐὰν ἐκκοπῇ, παραιτίαν αὐτῇ ἔσε-
σθαι θανάτου. ἀπειθήσαντος δὲ αὐτοῦ, νεμεσῆσαι τὸ δαι
μόνιον αὐτῷ τε καὶ τοῖς ἐγγόνοις καὶ κακῶν γενέσθαι
παραίτιον. Ἔργῳ μὲν εὖτ' ἀφίκανεν. πρὸς ἐμὲ ὅ-
τε ἦλθε φησὶν ὁ Παραίβιος μαντευσόμενος καὶ τὴν ἀ
τυχίαν ἀνεκοινώσατο, ἔγνων αὐτὸν ὑπὲρ τοῦ τοῦ πα
τρὸς ἁμαρτίας δίκην ἀποτιννύντα. Λωφήια ῥέξ
αι. ἐφ' οἷς λωφήσει καὶ παύσεται ἡ τῆς νύμφης ὀργή.
τουτέστι καταπαυστικὰ τῆς ὀργῆς. λωφήια ἐξιλαστή
ρια ἐφ' οἷς λωφήσει ἢ παύσεται κακούμενος. λω
φῆσαι δὲ κυρίως ἐπὶ τῶν ζώων, τὸ ἀπὸ τοῦ τραχήλου ἄχ-
θος ἀποθέσθαι. καὶ λωφήσων αὐτὶ τῶν λήξων, ἀναπαύ
σων, ἢ ἀναπαυσάμενοι τὸν λόφον, τουτέστι τὸν τράχη
λον. Μαντήϊον. μαντικόν. Ἐπ' ἐσχαρόφιν.
ἐν τῇ ἑστίᾳ. Νέον ἦμαρ. ὑπὸ τὴν πρωΐαν. αὔξησιν
τῆς ἡμέρας λαμβανούσης εὐτρέπιζον.

24 Ηελ δ' ἐτήσιοι αὖραι. ἐπιφέρει ὁ ἀπολλώνι
ος δι' ἣν αἰτίαν πνέουσι τῷ θέρει. τοῦ γὰρ κατηστερισμέ
νου κυνὸς φλέγοντος τὰς κυκλάδας νήσους καὶ πο-
λὺν χρόνον αὐχμοῦ τε καὶ ἀπορίας οὔσης, οἱ τὴν κέω
κατοικοῦντες, ἐκ θεοπροπίου ἐπικαλέσαντο ἀρισταῖ
ον τὸν ἀπόλλωνος καὶ κυρήνης ἐκ φθίας. ὁ δὲ, παρα-
λαβὼν τινὰς ἐξ ἀρκαδίας ἦλθεν εἰς τὴν κέω καὶ δι
ὸς ἱερὸν ἱδρύσατο ἰκμαίου ἕνεκα τοῦ τοὺς ὄμβρους γίνε-
σθαι, καὶ τὸν κύνα ἐξιλάσατο, καὶ ἐνομοθέτησε κατ' ἐ
νιαυτὸν τοῖς κώοις μεθ' ὅπλων ἐπιτηρεῖν τὴν ἐπιτο

λὴν

λὴν τοῦ κυνός. καὶ θύειν αὐτῷ ὅθεν οἱ ἐτησίαι πνέουσι, καταψύχοντες περὶ θέρος τὴν γῆν, καὶ αὐχμοῦ ἀπηλλάγησαν οἱ ἕλληνες. ὅτι ἐτησίαι ἔπνευσαν ἀρισταίου αἰτησαμένου, ὃς ἦν κυρήνης τοῦ ὑψέως καὶ ἀπόλλωνος, ἀδελφὸς δὲ αὐτούχου. ἀλλ' ὁ μὲν ἐν λιβύῃ, ἀρισταῖος δὲ ἐν τῇ κέῳ εὑρὼν τὰ μελισσουργικὰ πρῶτος, καὶ τὴν τοῦ ἐλαίου κατεργασίαν. καὶ κατακαλεσάμενος τοὺς ἐτησίας ζεὺς ἀρισταῖος ἐκλήθη καὶ ἀπόλλων ἀγρεὺς καὶ νόμιος. περὶ δὲ τῆς κυρήνης πίνδαρος ἱστορεῖ ἐν πυθιονίκαις, ὡς παρθένος οὖσα, μέχρι πολλοῦ συνεκυνήγει περὶ ἀπόλλωνι. διαπαλαίουσα δέ ποτε λέοντι, ἠγαπήθη ὑπὸ ἀπόλλωνος, ὃς καὶ ἁρπάσας αὐτὴν, διεκόμισεν εἰς τὴν νῦν ἀπ' αὐτῆς κυρήνην τῆς λιβύης, καὶ μιγεὶς ἀρισταῖον ἔτεκε. φερεκύδης δὲ φησι καὶ ἄραιθος ὑπὸ κύκνων αὐτὴν ὀχηθεῖσαν κατὰ ἀπόλλωνος προαίρεσιν εἰς τὴν κυρήνην ἀφικέσθαι. ἀγροίτας δὲ ἐν πρώτῳ λιβυκῶν ὑπὸ ἀπόλλωνος εἰς κρήτην αὐτὴν κομισθῆναι, ἐκεῖθεν δὲ εἰς λιβύην. ἀδελφὴ δὲ κυρήνης λάρισα, ἧς ὁμώνυμος πόλις ἐν θεσσαλίᾳ. τινὲς δέ φασι τὴν κυρήνην πηνειοῦ θυγατέρα γενέσθαι, κακῶς. ἐνέμεν γὰρ παρ' αὐτῷ θρέμματα, οὐκ ἔτι δὲ καὶ θυγάτηρ αὐτῷ ἦν. μνασέας δέ φησι κατ' ἰδίαν αὐτὴν προαίρεσιν ἐς λιβύαν ἐληλυθέναι, οὐχ ὑπ' ἀπόλλωνος διαχθεῖσαν. ἀκέστωρ δὲ ἐν τοῖς περὶ κυρήνης ἱστορεῖ, ὡς ἐπ' εὐρυπύλου βασιλεύοντος λιβύης, ὑπὸ ἀπόλλωνος διακομισθείη ἐς λιβύην ἡ κυρήνη. λέοντος δὲ τὴν χώραν

λομαινομένης, προθείη τὴν βασιλείαν ὁ εὐρύπυλος ἆθλον τῷ ἀποκτενοῦντι τὸν λέοντα. τὴν δὲ κυρήνην χειρώσασθαι αὐτὸν, καὶ τὴν βασιλείαν λαβεῖν. παῖδας δὲ αὐτοῦ γενέσθαι, αὐτοῦχον, καὶ ἀρισταῖον. φησὶ δὲ αὐτὴν φύλαρχος ἐλθεῖν μετὰ πλειόνων εἰς λυβίην. τούτων δὲ ἐκπεμφθέντων ἐπὶ τὴν κυνηγεσίαν, τοῦ τοις καὶ αὐτὴν συνεξελθεῖν, κἀκεῖ ἀνελεῖν τὸν λέοντα, καὶ λαβεῖν τὴν βασιλείαν. ἐγέννησε δὲ ἐξ ἀπόλλωνος παῖδας δύο, αὐτοῦχον καὶ ἀρισταῖον. τινὲς δὲ τέσσαρας ἀρισταίους γενεαλογοῦσιν, ὡς καὶ Βακχυλίδης. τὸν μὲν, καρύστου. ἄλλον δὲ, χείρωνος. ἄλλον δὲ γῆς καὶ οὐρανοῦ. καὶ τὸν κυρήνης. Οἱ ἐτήσιαι ἄρχονται πνεῖν περὶ τὴν ἐσχάτην μοῖραν τοῦ ἡλίου ὄντος ἐν καρκίνου, μέχρις οὗ τὸν λέοντα παρέλθῃ. ὡς καὶ Αρατος. Ηελίου τὰ πρῶτα συνερχομένοιο λέοντι, Τῆμος καὶ κελάδοντες ἐτήσιαι εὐρέϊ πόντῳ, Αθρόοι ἐμπίπτουσι. Κυρήνη πέφατη. ἤγουν λέγεται. ὅτι κυρήνην τὴν ὑψέως ὁ ἀπόλλων θεασάμενος παρὰ πηνειὸν εἰς λυβίην ἐκόμισεν. ἔνθα μιγεὶς αὐτῇ, ὅπου καὶ κυρήνη πόλις ἔκτισται, τὸν ἀρισταῖον ἐγέννησε. λέγουσι δὲ κορήνην οἱ μὲν. πηνειοῦ. οἱ δὲ ὑψέως τοῦ πηνειοῦ. Αἱμονίης, τῆς θεσσαλίας, ἀπὸ αἵμονος υἱοῦ ἄρεως. Χθονίαις. ταῖς ἐγχωρίαις. Μυστώσιον. τόπος ἢ ἄκρα περὶ κυρήνην. Αγρέα καὶ νόμιον. τὸν μὲν ὅτι ἐν ἀγρῷ ἐμίγη τῇ μητρὶ αὐτοῦ ὁ ἀπόλλων. νόμιον δὲ, ὅτι νεμούσῃ ἐμίγη. οἱ δὲ ὅτι τὴν κατὰ τοὺς ἀγροὺς θεραπείαν τοῖς νομεῦσιν εἰσηγήσατο. Μακραίωνα. πολυχρόνιον. Αγρότην. τὴν

Κυρήνην, ὅτι φιλοκυνηγὸς ἦν. Ἀκεστορίην τε. ὑπὸ Μουσῶν δὲ αὐτὸν τὴν ἰατρικὴν καὶ τὴν μαντικὴν δεδιδάχθαι φησί. καὶ πρὸς γάμον Αὐτονόην λαβεῖν δηλαδὴ τὴν Κάδμου θυγατέρα. Θέσσαν ἤρανον. καὶ τῶν ἰδίων ποιμνίων προστάτην αὐτὸν ἐποίησαν αἱ Μοῦσαι. Ἀθαμάντιον δὲ πεδίον οὕτω καλούμενον περὶ τὴν ἅλων. κατῴκησε γὰρ ἀθάμας ἐν ἅλῳ τῇ νήσῳ τῆς βασιλείας ἐξελθών. Ὄθρυς, ὄρος Θεσσαλίας ὑψηλόν. καὶ ὁ ἀπιδανὸς δὲ ποταμὸς Θεσσαλίας.

25 Μινωΐδας. τὰς κυκλάδας φησίν, ἐπεὶ μίνως κρὴς ὤν, ἐβασίλευσε τῶν νήσων θαλασσοκρατῶν τὰς κάρας ἐξελάσας. Σείριος. ἤτοι παρὰ τὴν σεῖσιν σείριος καὶ σίριος. ἢ παρὰ τὸ ἐκκενοῦν ἡμᾶς ἱδρῶσι ῥεομένοις. σειροῦν γὰρ τὸ κενοῦν. ἢ τὸ σεσηρέναι αὐτόν. τοὺς γοῦν κύνας δὴ σεσηρέναι καὶ χάσκειν ποιεῖ. ἢ παρὰ τὸ σείεσθαι καὶ πάλλεσθαι. ὁμοίως δὲ καὶ πάντα τὰ ἄστρα σείρια λέγονται, οἱονεὶ τείρεα τινὰ ὄντα. ἢ διὰ τὸ τείρειν τὸ δαμάζειν. ἢ ὅτι τέρατά εἰσιν, καὶ σημεῖα τῶν πλοϊζομένων. οἱ μὲν γὰρ ἀστρολόγοι τοὺς ἐν κινήσει ὄντας ἀστέρας, σείλβοντας καλοῦσιν. εἶναι δὲ τὸ ἄστρον, οἱ μὲν, τοῦ ὠρίωνος κυνός. οἱ δὲ τῆς ἠριγόνης. οἱ δὲ τῆς ἴσιδος. οἱ δὲ, κεφαλῆς. ὁ δὲ τιμοσθένης κύριον ὄνομα εἶναι φησί. Παῤῥάσιον λαόν. τὸν ἀρκαδικόν. ἀπὸ μιᾶς ἀρκαδικῆς πόλεως καλουμένης παῤῥασίας. Διὸς ἰκμαίοιο. ἕνεκα τῆς ἰκμάδος. ἐν τῇ κῷ δὲ ἐστὶν ἱερὸν διὸς ἰκμαίου, τουτέστι διύγρου. ἐπεὶ αἴτιος γέγονε τῆς πνοῆς τῶν ἀνέμων. Τοῖο δ' ἕκητι. ἤγουν τοῦ διὸς χάριν. Ἤματα τεσσαράκοντα. τὰς

τῶν ἐτησίων ἀνέμων ἡμέρας. οἱ μὲν που διάκοντα, ἄλλοι δὲ πεντήκοντα φασὶν, ὡς τιμοσθένης. ἄρχονται δὲ πνεῖν ὄντος τοῦ ἡλίου ἐν τῷ τοῦ καρκίνου τέλει. πνέουσι δὲ δι' ὅλου τοῦ λέοντος. καὶ λήγουσιν ἐν τῷ διμοίρῳ τῆς παρθένου. Κέῳ δ' ἔτι νῦν. ἐνομοθέτησε τοῖς κώοις κατ' ἐνιαυτὸν μεθ' ὅπλων ἐπιτηρεῖν τὴν ἐπιτολὴν τοῦ κυνὸς, καὶ θύειν αὐτῷ. ὅθεν οἱ ἐτησίαι πνέουσι καταψύχοντες τὸν ἀέρα τὴν γῆν, καὶ αὐχμοῦ ἀπηλλάγησαν οἱ ἕλληνες. Υδέονται, ἀντὶ τοῦ ἄδονται καὶ λέγονται. Ερυκομένους. κωλυομένους τοὺς ἀργοναύτας διὰ τοὺς ἐτησίας. ὑπάρχουσι γὰρ ἐναντίοι οἱ ἐτησίαι τοῖς εἰσπλέουσι τὸν πόντον, ὄντες βορραὶ κατ' ἐκείνους τοὺς τόπους. ὥσπερ περὶ τὴν τῆς ἑλλάδος ἐναντίοι εἰσὶν οἱ ζέφυροι. Εκ δὲ τόθεν, ἤγουν μὲν ταῦτα. Βωμὸν ἀλὸς, ἐν δὲ τῷ πέραν φησὶν αἰγιαλῷ τῆς ἀσίας διαπλεύσαντες, ἐπ' αὐτὸν βωμὸν τοῖς δώδεκα θεοῖς ἐδομήσαντο. καὶ ἔθηκαν ἐπ' αὐτῷ ἱερὰ, ποτέ σι καλλιέρησαν. Φανερὸν οὖν ἐστιν ἐν τῇ εὐρώπῃ. καὶ γὰρ ἔτι καὶ νῦν ἱερόν ἐστιν οὕτω καλούμενον ἐν τῷ πέραν τῆς εὐρώπης τῆς ἀσιάδος. Τιμοσθένης δέ φησι τοὺς μὲν φρίξου παῖδας βωμοὺς δώδεκα ἱδρύσασθαι τῶν θεῶν. τοὺς δὲ ἀργοναύτας τοῦ ποσειδῶνος. ἡρόδωρος δὲ περὶ τοῦ βωμοῦ φησι τεθυκέναι τοὺς ἀργοναύτας, ἐφ' οὗ ἄργος ὁ φρίξου ἐπανιὼν ἐτεθύκει. εἰσὶ δὲ οἱ δώδεκα θεοὶ οὗτοι, ζεὺς, ἥρα, ποσειδῶν, δημήτηρ, ἑρμῆς, ἥφαιστος, ἀπόλλων, ἄρτεμις, ἑστία, ἄρης, ἀφροδίτη, καὶ ἀθηνᾶ.

Δῆμα, γράφεται καὶ δεῖμα. τὸ μὲν διὰ τοῦ η, τὸν δεσμὸν σημαίνει, τὸ δὲ διὰ τῆς διφθόγγου τὸν φόβον. Οὐδέ

πλείης.

πελείης. οὐκ ἐπελάθοντο δὲ τῆς περιστερᾶς. τὸ ἑξῆς. ἀλλ' ἐν τῇ χειρὶ εἶχεν ὁ εὔφημος.

26 Ὡς δ' ὅτε τίς. εἴρηται ἡ παραβολὴ παρὰ τὸ ὁμηρικόν. ὡς δ' ὅταν ἀΐξῃ νόος ἀνέρος. ὁ δὲ νοῦς. ὥσπερ δὲ ὅταν τις ἀπὸ τῆς πατρίδος πλανώμενος οἷα πολλάκις συμβαίνει τοῖς ἀνθρώποις, τοὺς ἰδίους τῇ διανοίᾳ ἐθεάσατο οἴκους. οὐδὲ τὸ μεταξὺ διάστημα πολὺ αὐτῷ φαντάζεται εἶναι. ἀλλὰ καὶ πάσας καταφανεῖς πόλεις ἅμα τε τοῖς εἰρημένοις ἡ εἰς τὰ οἰκεῖα ὁδός. ἥτε διὰ γῆς καὶ θαλάσσης ὑποφαίνεται αὐτῷ, καὶ ἄλλοθι ἄλλην ἐκ τοῦ τόπου, ἐν ᾧ ὢν ἐπέρχεται, καὶ ταχέως ἐγκινήσει ὀξείᾳ τὴν διάνοιαν ἔχων, οὕτω ταχέως διῆλθεν ἡ ἀθηνᾶ τὴν μεταξὺ χώραν. καὶ παρεγένετο ἐπὶ τὰς κυανέας πέτρας. Οὐδέ τις αἶα. οὐδ' ἐν αὐτῷ πολὺ πάσης διάστημα γῆς φαίνεται. Σφωϊτέρους. κακῶς ἐχρήσατο τῷ σφωϊτέρους. ἔδει γὰρ εἰπεῖν σφετέρους. τὸ δὲ ἐνόησε δόμους, ἀντὶ τοῦ διανοίᾳ τοὺς ἰδίους οἴκους ἐθεάσατο. Τὸ ἀλώμενος, εἰς τὸ ἐνόησεν ἀναφέρειν δεῖ. ἐν δὲ τῷ πλαζόμεθα πεπληότων, μετάθεσιν ποιητέον. οἷον πλαζόμενοι τέπλαμεν. ἐν δὲ τῷ, οὐδέ τις αἶα, τὸ διάστημα δηλοῖ. Τρηχὺν κέλευθον. ὁμηρικῶς τὴν διὰ θαλάσσης νοεῖ. τραφερὴν δὲ τὴν διὰ ξηρᾶς. Ὀξέα πορφύρων. πορφύρειν λέγεται τὸ μὴ διὰ ἐπιπολῆς, ἀλλὰ κατὰ βάθους τι μεριμνᾶν. ἀπὸ τῆς πορφύρας τῆς ἐν βάθει τῆς θαλάσσης εὑρισκομένης. Ἄξεινον, τὸν εὔξει-

νον πόντον φησὶν οἱονεὶ κακόξεινον, τὸ, α, σημαίνοντος τὸ κακόν. πρότερον μὲν γὰρ ὑπὸ λῃστῶν περιοικούμενος ἄξενος ἐκαλεῖτο. καθαρθεὶς δὲ εὔξεινος τὸ μετὰ ταῦτα ἐκλήθη. τὸ δὲ ἐεργμένον, παράγεται μὲν ἀπὸ τοῦ εἴργω τὸ κωλύω. σημαίνει δ᾽ ὅμως καὶ τὸ περικυκλούμενον, ὡς ἐνταῦθα. Δινήεις δ᾽ ὑπένερθεν. ὁ ῥοῦς φησι δίνας καὶ συστροφὰς ἔχων ῥευμάτων, ἀνέκοπτε τὴν ναῦν, καὶ πολὺ εἰς τοὔμπροσθεν προήεσαν μετὰ φόβου. Ἀρασσομένων. ἀντὶ τοῦ συγκρουομένων ἀλλήλαις. οὕτω δὲ ἀναγινώσκεται καὶ τὸ θυρέων ἀρασσομένων. Νωλεμές. συνεχές. Ἁλιμυρέες ἀκταὶ αἱ ὑπὸ θαλάσσης περιρρεόμεναι, ἢ περιρραινόμεναι. Θελήμονα. πρόθυμον καὶ ἐπιτεταμένην. οὐ γὰρ τὴν ἡσύχιον ἐνταῦθα σημαίνει. Τὰς δ᾽ αὐτίκα. τοῦτο ἔφη ἐπεὶ πεπρωμένον ἦν στηριχθῆναι αὐτὰς ἂν διέλθῃ αὐτῶν ἡ ναῦς. Προέηκε πελειάδα. ὅτι διὰ πελειάδος ἐπείρασαν οἱ ἀργοναῦται τὰς συμπληγάδας, καὶ Ἀσκληπιάδης ἱστορεῖ ἐν δευτέρῳ τραγῳδουμένων. Σπήλυγγες. αἱ κοιλάδες αἱ ὑπὸ τὰς πέτρας. Ἐβόμβεον. ἤχουν. ὅθεν καὶ βομβύλη εἶδος μελίσσης. καὶ ποτηρίου δὲ εἶδος, ὡς Ἀντισθένης παραδίδωσιν. ἔστι δὲ τοῦτο στενοτράχηλον. Λευκῇ καχλάζοντος. ποιὸν ἦχον ἀποτελοῦντος. περιέκλυζε τὰς ἐφύψους ἀκτὰς ὁ τοῦ κύματος ἀφρός. Εἵλιξε. περιέστρεφε. ταῖς γὰρ αὐταῖς ἔκοψαν τὰ ἄκρα τῆς οὐρᾶς πτερά.

27 Νῆα δ᾽ ἔπειτα. περιῆκε δὲ τὴν ναῦν καὶ περιέστρεφεν ὁ ῥοῦς. Πλήμμυρις καὶ πλημμυρὶς διχῶς,

ὡς

ῶς. ἄμεινον δὲ πλημμοεὶς. τὰ γὰρ ἀπὸ βαρυτόνων ῥημάτων θηλυκὰ ὀνόματα εἰς ις, ὀξύνεται. βασιλεύω βασιλίς. πλημμύρω πλημμυρίς. Κατένεικε. κατήνεγκε τὴν ναῦν εἴσω τῶν πετρῶν. Ηδη δ' ἔνθα καὶ, γενομένων δὲ αὐτῶν μεταξὺ τοῦ στενοῦ, ἡ πρόσω ἢ κατόπιν θάλασσα ἐπεφαίνετο. ἢ τὸ ἔνθα καὶ ἔνθα πρὸς τὰ δεξιὰ ἢ ἀριστερὰ τοῦ πόντου ἀνενεγκτέον. ἀπροφάτως δὲ αὐτὶ τοῦ ἀπροοράτως. Κυρτὸν ἀπὸ τμήγη. ἀνεφάνη δὲ καὶ ἐπήρχετο αὐτοῖς ἀπροόπτως προπάροιθεν ὑψηλὸν καὶ μέγα κῦμα παραπλήσιον ἀπεῤῥηγμένῃ σκοπῇ ἤτοι ὄρει. Ημυσαν. ἔκλιναν λοξὰς τὰς κεφαλὰς, ὡς καλυφθησόμενοι ὑπὸ τοῦ κύματος. Κατεπάλμενον ὑπερ ἀναβάν. ἀναφέρεται δὲ πρὸς τὸ μέγα κῦμα. Αλλά μιν ἔφθη. προέλαβε δὲ ὁ τῖφυς βαρυμένην τὴν ναῦν τῇ εἰρεσίᾳ ὑποχαλάσας ἢ ἐνδοὺς αὐτῇ, ἢ καταπαύσας τὴν εἰρεσίαν. ἢ βαρυνομένην αὐτὴν αἰσθανόμενος τῇ εἰρεσίᾳ ἀνεχάλασεν.

28 Εκ δ' αὐτὴν, οὕτω φησὶν ἐπῆρεν τὸ κῦμα τὴν ναῦν, ὡς ἢ ὑπὲρ τὰς πέτρας αὐτὴν γενέσθαι. τὸ δὲ μεταχρονίη, ὅτι μεταχθονίη γράφεται εἴρηται. σημαίνει δὲ τὴν μετέωρον. Οσσον δ' ἂν ὑπείκαθεν. ὁ νοῦς. ὅσσεν δὲ ἄλλη ναῦς τῇ εἰρεσίᾳ πειθομένη ὑπεῖξεν ἂν, δὶς τόσον ἡ ἀργώ. ἵνα διὰ τοῦ τον τὸ τάχος δηλώσῃ τῆς ἀργοῦς. ἢ οὕτως. ὅσον ἂν εἶξε ἢ ὑπεχώρησε τοῖς ἐρέταις ἡ ἀργὼ, δὶς τοσοῦτον τῇ παλιῤῥοίᾳ ὑπέστρεφε. διὸ καὶ ἐπιφέρει. ἐπεγνάμπτοντο δὲ ἠΰτε καμπύλα τόξα. τὸ βίαιον γὰρ εἶχε

σίας δηλῶν. Κύλινδρος. κιονίσκος λίθινος στρογγύλος, ἑκατέραν βάσιν ἔχων ἐπίπεδον. Προπροκαταΐγδην. εἰς ῥύμπροσθεν ἄνωθεν καταφερομένη. Ἐν δ' ἄρα μέσσαις. ἐν δὲ μέσῳ τῶν συμπληγάδων κατέσχε αὐτὴν ὁ ῥοῦς. Καὶ τότ' ἀθηναίη. καὶ τότε ἡ ἀθηνᾶ τῆς πέτρας ἀντελάβετο καὶ κατέσχε τῇ λαιᾷ, τῇ δὲ δεξιᾷ αὐτὴν ἐξέωσεν ἐκ τοῦ πόντου. ὅμως δὲ τὰ ἀκροστόλια ἐπέκλασεν συνδραμοῦσαι αἱ πέτραι. Ἄφλαστου κόρυμβα. τὰ ἀκροστόλια λέγει. Παρέθρισαν. ἀντὶ τοῦ περιέθρισαν κατὰ συγκοπήν. σημαίνει δὲ τὸ ἀπέκοψαν. Νωλεμές. βιαίως συμπεσοῦσαι, τὰ ἀκροστόλια ἀπέκοψαν.

29 Ἔλπομαι αὐτῇ νηΐ. ἤγουν δι' αὐτὴν τὴν ναῦν, ἢ διὰ τῆς νεὼς αὐτῆς. ἢ λείπει ἡ σύν. ὁ δὲ νοῦς. ἐλπίζω ἤδη σεσῶσθαι ἡμᾶς σὺν αὐτῇ τῇ νηΐ. ἡ δὲ ἀθηνᾶ τῆς σωτηρίας αἰτία. ταῦτα δέ φησι παραθαρσύνων αὐτούς. Σεῦεν. ἀντὶ τοῦ ἴθυνεν εἰς τὴν βιθυνίαν τὴν ναῦν. Αἰσονίδη, τύνη δέ. ἐπειδή φησιν ἅπαξ ἐφύγομεν τὰς πέτρας, μηκέτι εὐλαβοῦ τὸν θάνατον. Παρηγορέεις. ἀντὶ τοῦ παραμυθικῶς λέγεις. Χρῆν γὰρ ἐφιεμένοιο. ἀντὶ τοῦ ἐπιτάττοντος. τὸ δὲ χρῆν ῥῆμά ἐστι. παρ' αὐτὸ γὰρ καὶ ὄνομα πίπτει τὸ χρεία. ὡς παρὰ τὸ δρῶ δράμα. ἐπίρρημα γὰρ οὐ δύναται εἶναι. ὅτι ἀπὸ ἐπιρρήματος οὐ σχηματίζεται ὄνομα. Δαιόμενοι, διακοπτόμενος, μεριζόμενος. Ἀπλήτους μελεδῶνας. ἀντὶ τοῦ στάτους μερίμνας ἔχω ἀντὶ τοῦ μονήρεις καὶ μεγάλας. στυγέων δὲ, ἀντὶ τοῦ δεδοικώς. ὁ ὅμηρος. τάτε στυγέουσι θεοί περ. καὶ αὖθις. τόν τε στυγέουσι καὶ ἄλλοι.

30 Αἰεὶ δὲ στενόεσσαν. ἀεὶ πρὸς τῇ ἡμέρᾳ καὶ δυσνοοῦσα τὰς τύχας ὀδύρομαι. ὅμηρος. νῦν μὲν δὴ μάλα πάγχυ μελάνθιε νύκτα φυλάξεις. Σὺ δ᾽ εὖ μὲν ἔως. εὐχερῶς. ἔνθεν ὁ εὐμαρὶς εἶδος ὑποδήματος, ὃ εὐχερῶς ἐχρῶντο. Εἷς δὲ ψυχῆς. αὐτὶ τῆς ἐαυτῆς ζωῆς. τὸ δὲ εἶο ἀντὶ τοῦ ἐμεῖο. τεῖον πρόσωπον αὐτὶ προώπου. βούλεται δὲ λέγειν, ὅτι ἐμαυτοῦ οὐδὲ τὴν τυχοῦσαν ποιοῦμαι φροντίδα. περὶ δέ σου ὁ τῆς δὲ καὶ τῶν ἄλλων δέδια. ἰδίως δὲ ἠβαιόν. τὸ δὲ σμικρότητα βάσιν μὴ ἔχον ἀβαιόν τι ὄν. Οἱ δ᾽ ὁμάδησαν, ὁμοῦ ἀνεφώνησαν θαρσύνοντες αὐτόν. ὅμαδος δὲ παρὰ τὸ ὁμοῦ ἄδειν, ὁμόαδός τις ὤν. Επιῤῥηδην. φανερώτερον, παῤῥησιαστικώτερον, οἱονεὶ ἀναφανδόν. Τάρβος ἀνάπτομαι, τὸ φόβον περιθήσομαι σημαίνει. Αἶψα δὲ ῥίπ. ταχέως δὲ κατέλαβον τὸν τεῤῥηβαν, καὶ τὸν περὶ τοῦ ῥήβα σκόπελον κολωνοειδῆ ὄντα. κολώνη δὲ οὕτω ἄκρα καλουμένη περὶ τὸν λύκον ποταμόν. μέμνηται αὐτῆς Νύμφις ὁ ἡρακλεώτης ἐν τῷ περὶ ἡρακλείας.

31 Προχοὰς φυλλήϊδας. φύλλις ποταμὸς βιθυνίας. δίψακος δὲ υἱὸς τοῦ φύλλιδος καὶ νύμφης τινὸς ἐγχωρίου, ὃς φρίξον τὸν ἀθάμαντος ἐξένισεν ἐπὶ τοῦ κριοῦ, ὅτε διέφυγε τὸν θάνατον μέλλων σφαγιάζεσθαι. Υἱ᾽ ἀθάμαντος. τὸν φρίξον ὑπεδέξατο ὁ δίψακος εἰς κόλχους πορευόμενον. φασὶ δὲ ἐκεῖ σφαγιασθῆναι τὸν κειὸν τῷ λαφυστίῳ διΐ. ἀμέχρι τοῦ νῦν νόμος ἕνα τῶν φρίξου ἀπογόνων εἰσιέναι εἰς τὸ πρυτανεῖον, καὶ θύειν τῷ εἰρημένῳ διΐ. Καὶ εὐρείας ποταμοῖο. διονύσιος

ὁ ἀλβιανὸς ἱστορεῖ τὰς βορείας ἠϊόνας λέγεσθαι ἀχιλλέως δρόμον. Ὁμῶς δ' ἐπὶ ἤματι. ἡμέραν δὲ καὶ νύκτα ὁμῶς ἐν νηνεμίᾳ δίηνον κωπηλατοῦντες.

Πλαδόωσαν. ἔνυγρον ἔτι οὖσαν. Χηλὰς σκηρίπτοντες. τοὺς ὄνυχας ἐπερείδοντες, ἐμπείροντες, ὅθεν καὶ τὸ σκηπάνιον. Ὑπ' ἐξ ἁλὸς εἷλκον ἐρετμά. ἐκ τῆς θαλάσσης ἀνέφερον καὶ ἀνῆγον τὰς κώπας. Ἀμφιλύκην μιν. σκοτεινήν. λύκη γὰρ ἡ σκοτεία. καὶ λυγόφως δὲ αὐτὸ καὶ λυκόφως.

32 Τῆμος ἐρημαίης. περὶ τῆς θυνιάδος νήσου προείρηται, ἧς μέμνηται νύμφις ὁ ἡρακλεώτης. φησὶ δὲ αὐτὴν ἑπτὰ σταδίοις ἔχειν τὴν περίμετρον. Καλλισθένης δὲ ἐν τῷ περίπλῳ, ὑπὸ μὲν ἑλλήνων φησὶ προσαγορεύεσθαι τήν τε χώραν καὶ τὴν νῆσον θυνιάδα, ὑπὸ δὲ τῶν βαρβάρων θυνίαν. Ὑπερβορέων ἀνθρώπων. ὑπερβορείους μὴ εἶναι τελέως φησὶν ἡρόδοτος, ἐπεὶ εἰ εἰσὶν ὑπερβόρειοί τινες, πάντως καὶ ὑπερνότιοι. ποσειδώνιος δὲ εἶναι φησὶ τοὺς ὑπερβορείους. κατοικεῖν δὲ περὶ τὰς ἄλπεις τῆς ἰταλίας. μνασέας δέ φησι νῦν τοὺς ὑπερβορείους δελφοὺς λέγεσθαι. Ἑκαταῖος δὲ μέχρι τοῦ αὐτοῦ χρόνου εἶναι φησὶ τὸ τῶν ὑπερβορείων ἔθνος. ἔστι δὲ αὐτοῦ βιβλία ἐπιγραφόμενα περὶ τῶν ὑπερβορείων. τιμᾶται δὲ παρὰ τοῖς ὑπερβορείοις ὁ ἀπόλλων. διὸ καὶ ἐκεῖσε χωρῶν ὤφθη. Οἰάγριον ὀρφεύς. τὸν ὀρφέα φασὶ καὶ μάντιν εἶναι. ἐν δὲ τῇ θυνιάδι νήσῳ ἱερόν ἐστιν ἀπόλλωνος. ἡρόδωρος δέ φησιν ἑῷον τὸν ἀπόλλωνα προσαγορεύεσθαι, καὶ βωμὸν αὐτοῦ εἶναι ἐν τῇ νήσῳ οὐ καθὸ ὄρθρου ἐπεφάνη αὐτοῖς, ἀλλὰ καθὸ οἱ

θὸ οἱ

ὃ οἱ ἀργοναῦται ὄρθρου εἰς αὐτὴν κατέπλευσαν.

33 Εἰ δ' ἄγε. τὴν νῆσον φησὶν οὕτω καλέσωμεν ἑώου ἀπόλλωνος. Χέρμασι. λίθοις μικροῖς. ἐδίνεον, ἀντὶ τοῦ ἐστρέφοντο. Ἐξόρέοντες, ἐξορθοῦντες. Κεμὰς δὲ ἡ νέα ἔλαφος. Ἀνὰ διπλόα μηρία. τῶν ἱερείων. διπλόα δὲ, ἢ ὅτι διπλοῦς αὐτοῖς ὑπετίθετο ἢ ἐπετίθετο ἐπίπλοος. Ἰηπαιήων ὁ ἀπόλλων λέγεται. ἤτοι διὰ τὸ πέμπειν τὰ βέλη, ἢ ὅτι ἰάσεως ὁ θεὸς αἴτιος. Βιστονίη. θρακικῇ. Βίστονες γὰρ ἔθνος θρακῶν. ὠνομάσθη δὲ ἀπὸ Βίστονος τοῦ κίκονος, ὡς Φιλοστέφανος ἱστορεῖ. Βιστονὶς λίμνη θρακική. Δελφύνην. τὸ ὄνομα τοῦ δράκοντος. οἱ μὲν, ἀρσενικῶς, οἱ δὲ θηλυκῶς εἶπον, ὃ καὶ βέλτιον. ἄλλως δὲ καὶ οἱ μὲν ὁ δελφύνης κλίνουσιν ἀρσενικῶς, οἱ δὲ ἡ δελφύνη θηλυκῶς. ὅτι δελφύνης ἐκαλεῖτο ὁ φυλάσσων τὸ ἐν δελφοῖς χρηστήριον, Λέανδρος καὶ Καλλίμαχος εἶπεν. δράκαιναν δὲ αὐτήν φησιν εἶναι θηλυκῶς καλουμένην δελφύνην αὐτὸς ὁ Καλλίμαχος. Οἰόθι δ' αὐτή. μόνη ἐφάπτεται τῶν τριχῶν σου ἡ λητώ. κοιογένεια δὲ ἡ ἀπὸ κοίου τὸ γένος ἔχουσα. κοίου γὰρ θυγάτηρ ἡ λητώ. ἔστι δὲ τὸ κοιογένεια παθητικὸν ἡ ὑπὸ τοῦ κοίου γεννηθεῖσα.

34 Πολλὰ δὲ κωρύκιαι. ἄντρον ἐν παρνασῷ κωρύκιον. ὠνομάσθη δὲ παρνασὸς ἀπὸ παρνασοῦ τοῦ ἐγχωρίου ἥρωος, ὡς ἑλλάνικος. ἄνδρων δὲ, ἐπεὶ προσωρμίσθη ἡ λάρναξ τοῦ δευκαλίωνος, καὶ τὸ πρότερον λαρνασὸς ἐκαλεῖτο. ὕστερον δὲ κατὰ φθορὰν τοῦ στοιχείου παρνασός. πλειστὸς δὲ, ποταμός. τινὲς δὲ

ἀναγνώσκοιτο πλειστοῖο περισπωμένως. ἐπεὶ καὶ ὑπὸ τῶν ἐγχωρίων λέγεται πλειστὸς ὡς καλός. ἔστι δὲ ποταμὸς ἐν δελφοῖς. τὴν δὲ ἀναιρεθεῖσαν δράκαιναν δελφύνην καλεῖσθαι θηλυκῶς φησὶ λέανδρος καὶ καλλίμαχος. Κωρύκιον. ἄντρον ἐν παρνασσῷ. κέκληται δὲ ἀπὸ νύμφης κωρυκίας, ἧς καὶ ἀπόλλωνος παῖς λυκωρεὺς, ἀφ' οὗ λυκωρεῖς οἱ δελφοί. πλειστὸς δὲ ποταμὸς δελφίδος. Θαρσύνεσκον ἐποτρύνον. ὅτε φησὶν ἐτόξευσε τὸν δράκοντα, ἐπεφώνουν αἱ νύμφαι τὸ βάλλειν αὐτὸν, ἵη ἵη βέλος. ἐξ οὗ τὸ ἐφύμνιον ἐγένετο ἰηπαιήων. Χορείῃ μέλψαν ἀοιδῇ. τῇ μετὰ χοροῦ λεγομένῃ ᾠδῇ. Λοιβαῖς εὐαγέεσσιν. ὤμοσαν φησὶν ὁμονοήσειν ἀλλήλοις. ὅθεν καὶ ὁμονοίας θεᾶς ἵδρυται ἱερόν. Κυδίστην. ἀντὶ τοῦ κρατίστην θεῶν ὁμόνοιαν τιμῶντες. πρεσβεύοντες μὲν ἀντὶ τοῦ τιμῶντες. ἀλλαχοῦ δὲ ἀντὶ τοῦ ὑπηρετεῖν. γράφεται καὶ κικλήσκοντες. Ποταμοῦ στόμα. Σαγγάριος ποταμὸς φρυγίας. ὁ δὲ μυρλεανὸς σάγγαριον αὐτὸν λέγεσθαι φησί. ἑρμογένης δὲ ἐν τῷ περὶ φρυγίας φησὶν, σάγγαν τινὰ ἀσεβήσαντα περὶ τὴν ῥέαν, μεταβαλεῖν εἰς τοῦτο τὸ ὕδωρ. καὶ ἀπ' αὐτοῦ τὸν ποταμὸν σαγγάριον ὀνομασθῆναι. πλησίον δὲ αὐτοῦ ὀρείας δήμητρος ἱερόν ἐστιν, ὡς φησὶ ξάνθος. Καὶ μαριανδυνῶν. οἱ μαριανδυνοὶ ὅμοροι τοῖς παφλαγόσι. προσηγορεύθησαν δὲ ἀπὸ μαριανδυνοῦ τοῦ κιμμερίου παιδός. Λύκοιο ῥέεθρα. λύκος ποταμὸς ὁμώνυμος τῷ βασιλεῖ. ῥεῖ δὲ διὰ τῆς μαριανδυνῶν χώρας. Ἀνθημοεισίδα δὲ, ἀπὸ ἀνθεμοεισίας τῆς λύκου μὲν

θυγατρός.

θυγατρὸς, γυναικὸς δὲ δασκύλου τοῦ ταντάλου υἱοῦ.

Ἠῶθεν δ' ἀνέμοιο. νυκτὸς δέ φησι τοῦ ἀνέμου λήξαντος περὶ τὸν ὄρθρον εἰς τὸ πέραν εἰς τὴν ἀχερουσίαν ἄκραν εἰς ὅρμον κατήχθησαν. Ἡ μέν τε κρημνοῖσιν. ὅτι ἡ περὶ ἡράκλειαν ἀχερουσιὰς καλουμένη πανταχόθεν ἐκ θαλάσσης ἐστὶν ὑψηλή τε καὶ ἀπόκρημνος. καὶ ἀπονένευκεν εἰς δυσμὰς εἰς τὸ πρὸς τῆς βιθυνίας πέλαγος. καὶ ὅτι προσαράσσον αὐτῇ τὸ κῦμα σφοδροὺς ἀποτελεῖ ἤχους. καὶ περὶ τῶν ἐπ' ἄκρας αὐτῆς πεφυκυιῶν πλατάνων, καὶ τοῦ ἐπ' αὐτῇ πεδίου. καὶ ὅτι δοκεῖ αὐτόθι κατάβασις εἰς ᾅδου ὑπάρχειν, νύμφις ἐν τοῖς περὶ ἡρακλείας α. φησί. παρ' οὗ ἀπολλώνιος ἔοικε ταῦτα μεταφέρειν. Λισσάδες ἐρρίζωνται. ὑψηλαὶ καὶ ἀνάντεις ἐν βάθει τε θεμελίωνται.

Ἀμφιλαφεῖς. ἀνθηραὶ, μεγάλαι καὶ περίοπτοι.

35 Ἐκ δ' αὐτοῦ εἴσω. κατὰ τὸ πρὸς ἤπειρον δὲ καὶ μεσημβρίαν μέρος τῆς ἀχερουσίας ἄκρας τὸ ἀχερόνιον σπήλαιόν ἐστι καὶ τὸ χάσμα τὸ κατὰ γῆς. Ὕπαιθα. τὸ ἔμπροσθεν ἢ ἐκ πλαγίου σημαίνει. Ἐπηρεφές. ἀντὶ τοῦ σύσκιον. φησὶ δὲ ὅτι πνεῦμα καὶ ψυχρά τις αὖρα ἀναφέρεται ἐκ τοῦ στομίου. καὶ διὰ τοῦτο κύκλῳ περιπεπάχνωνται. Πηγυλὶς δέ ἐστιν ἡ παχνώδης καὶ ψυχρή. Ἰαίνεται ἐνταῦθα ἀντὶ τοῦ λύεται καὶ τήκεται. Βλοσυρὰν ἐνταῦθα τὴν λαμπρὰν ἴσως σημαίνει. Σιγὴ δ' οὔποτε. φησὶν ὅτι καὶ διὰ τῶν δένδρων καὶ διὰ τῶν κυμάτων ἦχον καὶ ψοφὸν ἀποτελεῖ, καὶ ἡσυχίαν ἔχει. Ἔνθα δὲ καὶ προχοαί. φησὶν ὅτι καὶ ὁ ἀχέρων σωναύτης λέγεται, καὶ ὅτι ἐκ τῆς ἀχερουσίας ἄκρας φέρεται διά τινος φάραγγος εἰς

τὴν πρὸς ἀνατολὰς θάλασσαν. Ἐρεύγεται, οἷον καταρρεῖ καὶ ἐξέρχεται. Σοωναύτην. οἱ εἰς τὴν Ἡράκλειαν κατοικήσαντες Μεγαρεῖς, ὅτε εἰς τὴν Ἀττικὴν ἔπλεον χειμασθέντες εἰς τὸν Ἀχέροντα ποταμὸν κατέφυγον, ὅθεν καὶ διασωθέντες οἱ ναῦται, Σοωναύτην ἐκάλεσαν αὐτόν. οὗτοι δὲ οἱ Ἡρακλεῶται Μεγαρέων εἰσὶν ἄποικοι, καὶ Βοιωτῶν. κατοικοῦσι δὲ ἐν τῇ Μαριανδυνῶν χώρᾳ. Σοωναύτης ποταμὸς περὶ Ἡράκλειαν οὕτως ὠνομασμένος, ἐπειδὴ πάντας τοὺς ναυτιλλομένους διασώζει ἀπαθεῖς ἔχων, καὶ ἠρεμαίους λιμένας. ἐγχρίμπτεται τὸ ἐμπεσεῖν σημαίνει. εἰσωποὶ ἐναντίοι ἐσώπτροι γενόμενοι.

36 Οὐδ' ἄρα δηθά. Λύκον φησὶ τότε Μαριανδυνῶν βασιλεύειν, ὃς διὰ τὸ πρὸς τοὺς Βέβρυκας καὶ Ἄμυκον ἔχθος, φιλοξένως τοὺς Ἀργοναύτας ὑπεδέξατο. φασὶ δὲ αὐτὸν υἱὸν εἶναι Δασκύλου τοῦ Ταντάλου καὶ Ἀνθεμοισίας τῆς Λύκου τοῦ ποταμοῦ, ὡς μαρτυρεῖ καὶ Νύμφις ἐν τῷ α΄. τῆς Ἡρακλείας. καὶ Ἡρόδωρος περὶ ἱστορῶν. ὑπεδέξατο δὲ τοὺς ἥρωας ὥς τινες διὰ τὸ τὸν Πέλοπα τὸν θεῖον αὐτοῦ τιμηθῆναι παρὰ τῶν Ἑλλήνων. ἅμα δὲ καὶ διὰ τὸν Ἀμύκου καὶ τῶν Βεβρύκων φόνον. ἐχθροὶ γὰρ ἦσαν τοῖς Μαριανδυνοῖς οἱ Βέβρυκες. Αὐθένται Ἀμύκοιο. συλληπτικῶς εἶπεν φονέας Ἀμύκου τοὺς ἥρωας. καίτοι Πολυδεύκους μόνου ὄντος δεδρακότος. αὐθέντης δὲ λέγεται ὁ δι' ἑαυτοῦ ἐπί τινος φόνον ἱέμενος, οἷον αὐτοέντης τις ὤν. Κλέος. ἡ διαδεδομένη φήμη. Ἀρθμὸς ἡ φιλία. Ἀντιβίην Βέβρυξιν. ἐχθροὶ ἀεὶ οἱ Μαριανδυνοὶ τῶν Βεβρύκων. ἡττήθη-

σαν δὲ

τὸν δὲ πολλάκις ὑπ' αὐτοῦ. καὶ ὁ ἀδελφὸς δὲ λύκου πριόλας συμπληφθεὶς ὑπὸ τοῦ ἀμύκου ἀνῃρέθη. ὕστερον δὲ προσλαβόμενος ἡρακλέα σύμμαχον πρὸς ἀμαζόνας στρατευόμενον διὰ δύχρους περιεγένετο τῶν βεβρύκων. τινὲς δὲ τὸν πριόλαον υἱὸν αὐτῷ καὶ οὐκ ἀδελφὸν ἱστοροῦσιν.

57 Οἷά τε κύζικον. κύζικον τὸν βασιλέα τῶν δολιόνων φησὶν οὐ τὴν πόλιν. Γλαύκοιό τε βαῖξιν. ὁ γλαῦκος παρὰ τοῖς ἴβηρσι τιμᾶται γέρων καλούμενος. ἔστι δὲ ἄκρα γλαύκου ἐκεῖ καλουμένη. Ὅτε δεῦρο δι' ἀσίδος. τῆς λυδίας λέγει. ἀσία γὰρ τὸ πρότερον ἐκαλεῖτο ἡ λυδία. καὶ ὅμηρος. ἀσίῳ ἐν λειμῶνι. καὶ ἡ κιθάρα ἀσία λέγεται, ἐπεὶ ἐν λυδίᾳ πρῶτον εὑρέθη. τὸ δὲ πεζὸς ἔβη, ἀκολούθως τῷ μύθῳ περὶ ζὸν τὸν ἡρακλέα φησὶν ὅτε τὸν ζωστῆρα τῆς ἱππολύτης, δηλαδὴ διὰ τὰς συμπληγάδας πέτρας τὸ περιτρέχειν. ἄθλος δὲ ἦν οὗτος ἔνατος. πολλοὶ δὲ λόγοι περὶ τοῦ ζωστῆρος εἰσίν. τινὲς μὲν γὰρ ἱππολύτης, ἄλλοι δὲ δηϊλύκης. Ἴβυκος δὲ ἰδίως ἱστορῶν βριάρεω θυγατρός φησιν. Ἔνθα δ' ὅτε πριόλαο. φησὶν ὅτι ἡνίκα ἡρακλῆς ἐπὶ τὸν ἱππολύτης ἐπορεύετο ζωστῆρα κατέλαβε μαριανδυνοὺς ὑπὸ βεβρύκων καταπονουμένους. ἐπιστρατεύσας δὲ μετὰ μαριανδυνῶν ἐχειρώσατο τοὺς πολεμίους. πεσόντος δὲ ἐν τῇ μάχῃ πριολάου τοῦ μαριανδυνῶν προηγουμένου, ἀγὼν ἐπιτάφιος ἐτέθη ἐπ' αὐτῷ, ἐν ᾧ ἡρακλῆς ἐνίκησε τιτίαν ἕνα τῶν μαριανδυνῶν. πριόλας δὲ ἀδελφὸς λύκου. καὶ πριόλα πόλις πλησίον ἡρακλείας

ας. τὴν δὲ Τιτίαν, οἱ μὲν φασὶ Διὸς παῖδα ἕνα τῶν ἰδαίων δακτύλων, οἱ δὲ, τὸν πρεσβύτατον τῶν μαριανδυνοῦ παίδων. ὁ δὲ μαριανδυνὸς Φινέως ἢ φρίξου, ἢ κιμμερίου λέγεται παῖς εἶναι. ἀπὸ δὲ Τιτίου φασὶ Τίτιον τὴν πόλιν κληθῆναι. Ἔνθα δ' ἔτι. ἰδίως τὸν θρυλλούμενον περίολαον φησί. τῶν ἄλλων βάρνον λεγόντων τὸν Τιτίου υἱὸν, ὡς νύμφις καὶ καλλίστρατος. Ἐλέγοισι. τοῖς τε ἐλεγείοις ἐν τοῖς ἐπιταφίοις ἐχρῶντο οἱ παλαιοί.

58 Αὐτὰρ ὁμοῦ. τὸ ἑξῆς ὁ ἡρακλῆς τῷ ἐμῷ πατρὶ δασκύλῳ ὑπέταξεν ὁμοῦ μυσοὺς καὶ φρύγας. τινὲς γράφουσι μυγδόνας, ἵνα ᾖ, ὁμοῦ μυσοὺς καὶ μυγδόνας ὑπέταξε τῷ πατρί μου. ὅτι δὲ φρύγας ἐχειρώσατο τοῖς μαριανδυνοῖς, καὶ νύμφις ἱστορεῖ. διὸ καὶ οὕτω γράφε. εἰ δὲ γράφοιτο μυγδόνας, ἤτοι τοὺς βέβρυκας, ἀπὸ μυγδόνος βασιλέως αὐτῶν οὕτω κέκληκεν. ἢ ῥητέον ὅτι μοιρὶς ἠκολούθησεν. οὗτος γὰρ μυγδόνας ἔφησε καταπολεμῆσαι τὸν ἡρακλέα. Ἐστ' ἐπὶ ῥηβαίου. τῆς μὲν παφλαγονίας μέχρι τοῦ βιλλαίου ποταμοῦ κατεστρέψατο πᾶσαν. οὗτος δὲ δὴ τῆς ἐπικειμένης φρυγίας ῥέων, διήκει περὶ αὐτὴν τὴν τιτάνων πόλιν. ἐκ δὲ τούτου πρὸς δυσμὰς ἕως τοῦ ῥήβα καὶ τοῦ ἐπικειμένου σκοπέλου κατὰ τὴν ἐκβολὴν τούτου. ὅτι δὲ τοὺς παφλαγόνας ὑπέταξεν ἡρακλῆς τοῖς περὶ λύκον, ἱστορεῖ δεινίας ἐν πρώτῳ ἀργολικῶν. καὶ ἀσκληπιάδης ὁ μυρλεανὸς ἐν δεκάτῳ βιθυνιακῶν. Βιλλαῖος. προπαροξυτονουμένως. οὕτω φησὶν ἡρωδιανὸς ἐν τῷ πέμπτῳ τῆς καθόλου. ἔστι δὲ ποταμὸς παφλαγονίας.

οἱ δὲ

οἱ δὲ φρυγίας. ὄφρ' ἐβάλοντο. φησὶν ὅτι οἱ βέβρυκες πόλιν ἀπετάμοντο τῆς μαριανδυνῶν χώρας ἕως μέχρι τοῦ ὑπίου ποταμοῦ προσηγάγοντο τοὺς ὅρους. ᾤκησαν δὲ παρὰ τὸν ποταμὸν ἐν τῇ θυνίᾳ, καὶ πόλις ὑπία λεγομένη. ὁ δὲ ὕπιος ὠνόμασται ἀπὸ τοῦ καταφέρεσθαι ἀπὸ τῶν ὑπίων ὀρῶν. εἱαμενὰς δὲ λέγει τοὺς καθύγρους τόπους. Ἄρκιος δ' εἴη ὁ ἱκανὸς, καὶ ὁ ἕτοιμος τίσιν, τὸ ἀποδοῦναι. ὠφέλλειν τὸ εὐεργετεῖν. αὐτὸ παρὰ τὸ συντυχεῖν ἐνταῦθα. Ἐπελάσσαι ἄρηα. ἐπαγαγεῖν. οὐ χωρὶς θεῶν φησι προνοίας τῷ πολυδεύκει ἐκείνῃ τῇ ἡμέρᾳ ἀπέκτεινας τὸν ἄμυκον. Νόσφι δὲ Τυνδαρίδαις. χωρὶς δὲ τούτων τοῖς τυνδαρίδαις, τουτέστι τοῖς διοσκούροις ἱερὸν ἱδρυσάμενοι ὑπὲρ τῆς ἀχερουσίας ἄκρας. Πίονας εὐαρόριο. ἀντὶ τὸ τέμενος πρὸ τῆς πόλεως ἀπομερίσω αὐτοῖς.

39 Ὡς τότε μέν. οὕτω τότε δι' ὅλης ἡμέρας περὶ τὴν εὐωχίαν ἐτέρποντο καὶ ἔπαιζον. Ἐγκονέοντες. ἐνεργοῦντες. ὅθεν καὶ γόνυ. οἷον κόνυτι ὄν. παρὰ τὸ ἐνεργεῖν δι' αὐτοῦ. Ἔνθ' ἀβαντιάδην. περὶ τοῦ ἐν μαριανδυνοῖς γενομένου θανάτου τοῦ ἴδμονος. καὶ ἡρόδωρος ἱστορεῖ ἐν τοῖς περὶ ἡρακλείας ὡς προμηθίδας εἶπε. καὶ νύμφις ἐν τῷ περὶ ἡρακλείας ὡς ἴδμων ὑπὸ συὸς ἐπλήγη. Ἐπεὶ χρεώ. ἡ χρεία ἡ εἱμαρμένη. Τυχόμενος. τῷ ὀχρεῷ βρεχόμενος. Ἑλεονόμοι. αἱ ἐν τοῖς ἕλεσι διατρίβουσαι. Τῖφος. ὁ ἑλώδης

40 Ἀνὰ θρωσμούς. ἀντὶ τοῦ κατὰ τὰς ἀνα (τόπος. βολὰς ἢ ἀναβάσεις καὶ καθόδους. Ἄφαστον. ἀπροσδόκητον. ὠρέξατο τὸ ἔτεινε σημαίνει. Αἰγανέην. ἢ παρὰ τὸ ἄκρον ἵεσθαι. ἢ διὰ τὴν ἀγκύλην τὴν ἐξ αἰτίας

δέρματος γεγεννημένην. ἢ διὰ τὰς αἶγας περὶ τὸ ἐπ' αὐτὰς νεῖσθαι. Θοὸν τὸ ὀξύ. ψυχοῤῥαγέοντα ἀποψυχοῦντα. κηδείαν δὲ λέγει τὸ περὶ τῶν νεκρῶν πένθος. μεγαλωστί, μεγαλοπρεπῶς. Νηὸς ἐκ κοτίνοιο. κότινος οὐ μόνον ὁ ἀγριέλαιος, ἀλλὰ καὶ ἡ ἄκαρπος ἐλαία. Φάλαγξ δὲ τὸ ἐπίμηκες καὶ στρογγύλον ξύλον. πολλὰς δὲ τοιαύτας εἶχον φάλαγγας οἱ ἀριστεῖς πρὸς τὰς νεολκίας, ἀφ' ὧν περὶ τὸν παρὰ τοῦ Ἴδμονος τάφῳ κατὰ παραίνεσιν τοῦ ὀρφέως μίαν λαβόντες προσέπηξαν, ἥ τις βλαστήσασα ἔτι καὶ νῦν δείκνυται, περὶ ταύτην δὲ τὴν ἡράκλειαν ἔκτισαν. Χρειὼ ἀπηλεγέως. εἰ δέ με φησὶ καὶ τοῦτο δεῖ ἁπλῶς καὶ κατὰ ἀλήθειαν διειπεῖν, οὗτός ἐστιν ὁ Ἴδμων ὃν ἐχρησμῴδησεν ὁ θεὸς διιλάσκεσθαι μεγαρεῦσι καὶ βοιωτοῖς· ὅτε τὴν ἡράκλειαν ἔμελλον κτίζειν. τοῦτο δὲ ἔφη ὁ ἀπολλώνιος, ὡς μὴ εἰδότων τῶν ἡρακλεωτῶν τίς εἴη ὁ τεθαμμένος παρ' αὐτοῖς καὶ χρησμῳδηθεὶς εἶναι πολιοῦχος ὑπὸ τοῦ θεοῦ. λέγει δὲ καὶ προμαθίδας, ὅτι διὰ τὸ ἀγνοεῖν ὅστις εἴη, ἐπιχώριον ἥρωα καλοῦσιν οἱ ἡρακλεῶται. ὅτι δὲ βοιωτοὶ καὶ μεγαρεῖς ἔκτισαν τὴν ἐν πόντῳ ἡράκλειαν, καὶ ἔφορος ἐν πέμπτῳ καὶ ἄλλοι ἱστοροῦσιν. Ἐπιῤῥήδην. ὅτι διαῤῥήδην καὶ φανερῶς περὶ τοῦ καλεῖν αὐτὸν πολιοῦχον ὁ θεὸς προσέταξεν.

41 Ἀμφὶ δὲ τήν δε. περὶ δὲ τὸν ἀγριέλαιον τὸν ἐμπεφυκότα παρὰ τῷ Ἴδμονος τάφῳ ἐθέσπισεν ὁ θεὸς τοῖς μεγαρεῦσι καὶ βοιωτοῖς τὴν πόλιν κτίσαι. λέγει δὲ τὴν ἡράκλειαν. ἐν γὰρ τῇ ἀγορᾷ τῆς ἡρακλεωτῶν ὑπάρχει ὁ τάφος, ὡς φησιν ἡρόδωρος, ἐφ'

οὗ ἐστιν

οὐ ἔστιν ὁ ἀγριέλαιος. οἷδ' ἀντὶ θεοῦ δέ. ὅτι τὸν τάφον τοῦ Ἀγαμήστορος, λέγουσι τινὸς ἥρωος ἐπιχωρίου. Ἀγνιάδην Τῖφυν. ὅτι ἐν τῇ Ἡρακλείᾳ τέθνηκεν καὶ ὁ Τῖφυς, εἶπε Νύμφις. Ἡρόδωρος δέ φησιν ὅτι οὐκ ἀπιόντων εἰς Κόλχους τέθνηκεν ὁ Τῖφυς, ἀλλ' ὑποστρεφόντων. Εἰσότ' ἀβαυτιάσκω. ἐν ὅσῳ ἔθαπτον τὸν Ἴδμονα, ἐν τοσούτῳ καὶ ὁ Τῖφυς νοσήσας ἐτελεύτησεν. Κῆδος ἡ λύπη. παραχρῆμα αὐτῶν. ἐγγὺς ἢ ἐν τῷ μεταξύ. Κατήμυσαν. ἐσύναξαν ταῖς λύπαις. κατεκλίνθησαν. ὅτι ἀπηλπίκεισαν τὴν σωτηρίαν παντάπασιν. Ἴμβρασος. ποταμὸς Σάμου, πρότερον Παρθένιος λεγόμενος. καλεῖ. Ἀντὶ γὰρ ἐκλήθης Ἴμβρασε Παρθενίου. Ἀστυπάλαια. ὅτι Ποσειδῶνος καὶ Ἀστυπαλαίας τῆς Φοίνικος ὁ Σάμιος Ἀγκαῖος ἦν παῖς, ὃς ἐκυβέρνα τὴν ναῦν μετὰ τὴν Τίφυος τελευτήν, καὶ Σιμωνίδης ὁ γενεαλόγος ὁμοίως τῷ Ἀπολλωνίῳ γενεαλογεῖ. Περὶ πεδὰ γὰρ εὖ. ἀντὶ τοῦ διαφερόντως. Παρθενία δὲ ἡ Σάμος. ἐκέχρητο γὰρ πολλοῖς ὀνόμασι. καὶ γὰρ Μελάνθεμος καὶ Παρθενία καὶ Ἀνθεμοῦσα ἐκαλεῖτο. Ὅτινα, ἀντὶ τοῦ ὅντινα. ὡς γὰρ ὅτου καὶ ὅτῳ λέγομεν, οὕτω καὶ ὅτινα ποιητικῶς. Τὸ δὲ ἰάψει, ἀντὶ τοῦ βλάψει καὶ διαφθερεῖ τὸν πλοῦν.

42 Ὀρέξατο. ὄρεξιν ἔλαβε καὶ οἷον πρόθυμος ἐγένετο. Τὸ κατηφῆσαι ἀντὶ τοῦ δυσανασχετῆσαι. Τῷ καὶ ὁμοῦ. διὸ καὶ σὺν τοῖς ἀπολλυμένοις καὶ αὐτοὺς προορῶμαι τὴν ἀπώλειαν. Ἐξάπειθ' ὁρμῇ. μετέπεσε καὶ μετετράπη εἰς εὐελπιστίαν ὁ Ἀγκαῖος. Ἡρόδωρος Ἐργῖνον φησὶ κυβερνῆσαι τὴν Ἀργὼ μετὰ τὸν θάνατον Τίφυος

καὶ παλίμως. ταχέως δὲ τοῦ ἀχέροντος ἐξήλασαν ποταμοῦ. ἔτυχον γὰρ μέχρι ,ε. σταδίων ἀναπλεύσαντες δὲ τοῦ ἀχέροντος καθορμισάμενοι, ὡς φησι καὶ ἡρόδωρος ἐν τοῖς ἀργοναύταις.

43 Ὦκα δὲ καλλιχόροιο. ποταμὸς παφλαγονίας ἱερὸς διονύσου περὶ ἡράκλειαν, οὗ μέμνηται καὶ καλλίμαχος. ἔξεισι δὲ διὰ στομάτων δυσῶν. οὕτω δὲ κέκληται ἀπὸ τοῦ τὸν διόνυσον αὐτόθι στῆσαι χορὸν ὅτε ἀπὸ ἰνδῶν ὑπέστρεψε. πρότερον δὲ πάλιν ὀξύνοντα ἐκάλουν. ὅτι δὲ κατεπολέμησεν ἰνδοὺς ὁ διόνυσος, διονύσιός φησι καὶ ἀριστόδημος ἐν πρώτῳ θηβαϊκῶν ἐπιγραμμάτων, καὶ κλείταρχος ἐν ταῖς περὶ ἀλεξάνδρου ἱστορίαις προσιστορῶν, ὅτι ἡ νύσα ὄρος ἐστὶν ἐν ἰνδικῇ. καὶ κισσῷ προσόμοιον φυτὸν φύεται ἐκεῖ, ὃ προσαγορεύεται σκινδαψός. ὡσαύτως δὲ καὶ χαμαιλέων ἱστόρησεν ἐν πέμπτῳ περὶ ἰλιάδος. Ὦ ἐν ἀμφλήρις. ἤτοι φοβερὰς διὰ τὰ μυστήρια τοῦ θεοῦ. ἢ ὅτι φοβεραί εἰσιν αἱ νύκτες. εὐριπίδης. νύκτωρ τὰ πολλὰ σεμνότητ' ἔχει σκότος. Σθενέλου τάφον. ἐν τῇ παφλαγονίᾳ σθενέλου τάφος ἐστὶ τοῦ ἄκτορος, ὃς συστρατεύσας ἡρακλεῖ ἐπ' ἀμαζόνας, τρωθεὶς ἀνεχώρησεν, καὶ ἀπέθανε καθ' ὁδὸν περὶ τὴν παφλαγονίαν. τὴν δὲ περὶ σθενέλου ἱστορίαν ἔλαβε παρὰ προμαθίδα. τὰ δὲ περὶ τοῦ εἰδώλου αὐτὸς ἔπλασεν. ἀνεμέτρεον, αὐτὶ τοῦ περιέπλεον. στεφάνην τὴν ἄκραν. ἤγνισαν ἀντὶ τοῦ ἐκάρπωσαν καὶ ἔκαυσαν. Ἐκ τοῦ δὲ λύρη. οὕτως μέν φησιν ἐπὶ τοῦ ἱεροῦ τοῦ ἀπόλλωνος βωμῷ τὴν λύραν ἀνατεθεῖσθαι ὑπὸ ὀρφέως. διὸ καὶ τὴν χώραν προσηγορεῦσθαι. ὁ

δὲ

ἢ περὶ μαθίδας τῆς στήλης Διός. Εντενές. ἐκτόνως. τὸ δὲ σῶμα φησίν, δηλοῖ δὲ τὰς πτέρυγας.

44 Καὶ δὴ παρθενίοιο ῥοάς. ποταμὸς παφλαγονίας. ἐκβάλλει δὲ τὰ ῥεύματα περὶ πόλιν σήσαμον. τὸ δὲ ὕδωρ αὐτοῦ ἐν πᾶσι περιέχεται. παρθένιον δέ φησιν αὐτὸν ὠνομάσθαι καλλισθένης, διὰ τὸ τὴν ἄρτεμιν ἐν αὐτῷ λούεσθαι. ἔνιοι δὲ διὰ τὸ στάσιμον τοῦ ῥεύματος καὶ ἤρεμον φασὶν οὕτω προσαγορεύεσθαι. Σήσαμος. πόλις παφλαγονίας. ὅμηρος. καὶ σήσαμον ἀμφενέμοντο. τὸ δὲ σήσαμον μετωνομάσθη ἄμαστρις ἀπὸ δαρείου ἀδελφοῦ θυγατρός. ἐκλήθη δὲ τὴν ἀρχὴν ἀπὸ τοῦ σησάμου λαβεῖν παρὰ κυρίων ἀντὶ τῆς χώρας βουλόμενον κτίσαι τὴν πόλιν. Ερυθινοὶ δὲ οὕτω λεγόμενοι λόφοι περὶ παφλαγονίαν. οὕτω δὲ λέγονται διὰ τὴν ἐρυθρότητα τοῦ χρώματος. εἰσὶ δὲ τρίουροι. καὶ ὅμηρος αὐτοῦ μέμνηται. καὶ ὑψηλοὺς ἐρυθίνους. ὑλήεντα δὲ εἶπεν, διὰ τὸ τὴν πύξον ἐκεῖ πολλὴν γίνεσθαι. κρωβίαλον πόλις περὶ παφλαγονίαν, ἧς μέμνηται στράβων ἐν περιγραφομένοις. παρ' ὁμήρῳ δὲ μεταγράφει αὐτὶ τοῦ κρώμναν τ' αἰγιαλόν τε, κρώμναν κρωβίαλόν τε. Αἰγιαλόν. ἔστι δὲ αἰγιαλὸς σταδίων μυρίων κάμψαντι τὴν κάραμβιν μέχρι σινώπης. Αὐτίκα δ' ἀσσυρίης. ἀσσυρίαν εἶπε τὴν συρίαν τὴν καππαδοκίαν. ἐκαλεῖτο δὲ πάλαι συρία, διὰ τὸν ἅλυν ποταμὸν μεταξὺ σύρων καὶ παφλαγόνων ῥέοντα φησὶν εἰς τὸν εὔξεινον ἐκδιδόναι πόντον. τινὲς δὲ τῶν ἀρχαίων λευκοσυρίαν αὐτὴν ἐκάλουν. Ενθα σινώπην. πόλις τοῦ πόντου ἡ σινώπη ὠνομασμένη, ἀπὸ τῆς ἀσωποῦ θυγατρὸς σι-

νώπης, ἣν ἁρπάσας ὁ Ἀπόλλων κατὰ Φιλοστέφανον ἀπὸ Βοιωτίας ἐκόμισεν εἰς τὸν Πόντον, καὶ μιγεὶς αὐτῇ ἔσχε Σύρον, ἀφ' οὗ οἱ Σύροι. τὴν δὲ τῶν Ἀσσυρίων χώραν, Λευκόσυρον φησὶ καλεῖσθαι Ἄνδρων ἐν τῷ περὶ Πόντου κατὰ ἀντίφασιν τῶν ἐν τῇ Φοινίκῃ Σύρων. ὁ δὲ Τήϊος Ἄνδρων φησὶ μίαν τῶν Ἀμαζόνων φυγοῦσαν εἰς Πόντον γήμασθαι τῷ τῶν τόπων ἐκείνων βασιλεῖ, πίνουσάν τε πλεῖστον οἶνον ὀνομασθῆναι Σανάπην. ἐπειδὴ μεταφραζόμενον τοῦτο σημαίνει τὴν πολλὰ πίνουσαν. ὅτι δέ τινες τοὺς Ἀσσυρίους Λευκοσύρους λέγουσι φησὶ καὶ Ἀρτεμίδωρος. ἐν δὲ τοῖς ὀρφικοῖς, Ἄρεος καὶ Αἰγίνης γενεαλογεῖται ἡ Σινώπη. κατὰ δέ τινας Ἄρεος καὶ Παρνάσσης, κατ' Εὔμηλον καὶ Ἀριστοτέλην Ἀσωποῦ. καὶ Σῦρος μέν φησιν ὅτι Ἅλυν τε τὸν ποταμὸν ἐπλάνησε καὶ Ἀπόλλωνα καὶ Δία αἰτησαμένη παρ' αὐτῶν πρότερον, ἵν' ὃ τύχῃ οὗ ἂν ἐθέλοι. ἔπειτα εἰποῦσα παρθενίας ὀρέγεσθαι, ταύτης ἐπέτυχεν ὡς ἂν ὅρκῳ δεδεμένων αὐτῶν. Φιλοστέφανος δέ φησι τοὐναντίον Ἀπόλλωνι αὐτὴν μιγεῖσαν, ἀποκυῆσαι τὸν προσαγορευθέντα Σύρον. ἐπεὶ δὲ οἱ μέθυσοι σανάπαι λέγονται παρὰ Θραξίν, ᾗ διαλέκτῳ χρῶνται καὶ Ἀμαζόνες, κληθῆναι τὴν πόλιν. ἔπειτα κατὰ φθορὰν Σινώπη. ἡ δὲ μέθυσος Ἀμαζὼν ἐκ τῆς πόλεως παραγενομένη πρὸς Λυτίδαν, ὡς φησιν Ἑκαταῖος.

45 Τρικκαίοιο. ἡνίκα ὁ Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Ἀμαζόνας, σύμμαχοι ὄντες οἱ περὶ τὸν Αὐτόλυκον ἐπλανήθησαν καὶ περὶ τὴν νῦν καλουμένην Σινώπην ᾤκησαν. ἄλλοι δέ φασιν ἑκουσίως καταληφθῆναι

φθῆναι αὐτοὺς, ἵνα τοὺς περὶ σινώπην καταπολεμή-
σωσι τόπους. Δηϊλέων τε. οὗτοι καταλειφθέντες
ὑπὸ ἡρακλέους ἐπὶ τὸν κατὰ ἀμαζόνων ζωστῆρα κεχω-
ρηκότος φήμης διαδοθείσης ὡς ἀπόλωλεν ἡρακλῆς
τῶν σινωπαίων λεγόντων, παραπλεόντων τῶν ἀργοναυ-
τῶν, παρεκάλεσαν ἀναλαβεῖν αὐτοὺς τῇ νηΐ. τινὲς δέ
φασιν ὅτι ἐπλανήθησαν ἀπὸ ἡρακλέους, καὶ περὶ τὴν
νῦν καλουμένην σινώπην ᾤκησαν. Ἀργέσταο. τοῦ ζε-
φύρου οὕτω λεγομένου. ἄρχεται δὲ πνεῖν ἀπὸ θερινῆς
δύσεως. Παρεπιπνείειν δ' ἐπ' ὀλίγον πνεῖν σημαί-
νει. τὸ δὲ ἄσσον, σημαίνει δὲ τῆς νεὼς ἐγγὺς ἤδη πνέειν.
Ἅλυς καὶ Ἶρις ποταμοὶ τῆς λευκοσυρίας. τὸ δὲ περὶ θε-
μισκύρας ἄκρας εἴρηται ἐπάνω μέμνηται εἰπὼν περὶ τοῦ
θερμώδοντος, θεμισκύρειον ἐπ' ἄκρην μύρεται. κα-
τὰ δὲ τὴν θεμισκύρειον ἄκραν εἴρηται ἡ καλουμένη ἡ-
ράκλειος ἄκρα ἐστὶν, ἧς ἄλλοι τε καὶ Ἀρτεμίδωρος μέ-
μνηνται. ἐφ' ἧς δὲ τοῦ ἡρακλέους ἱερὸν ἵδρυται. Ἠδὲ
καὶ ἀσσυρίης. πρόχυσιν ἔφη τῆς ἀσσυρίας. τουτέστι τὴν
λευκοσυρίας τὴν ἐγκειμένην χώραν αὐτοῦ εἰς θάλασ-
σαν. ὡς εἴρηται ἐν τοῖς ἐπάνω. Λεῖπον ἅλυν ποταμόν. λεῖ-
πον δ' ἁλιμυρέαν χώραν. Ἀσσυρίης ἀνέχουσαν ἀπὸ
χθονός. αὕτη δὲ εἴπερ ὡς ποταμοχώστου τῆς γῆς οὔσης
διὰ τὸ μεγάλους εἰς αὐτὴν καταφέρεσθαι ποταμοὺς ἅ-
λυν καὶ ἶριν. καὶ οὕτως ἔχει ταῖς ἀληθείαις. καὶ πρὸς ταῖς
ἄρκτοις ἡ χώρα ἔγκειται. διὸ ποταμόχωστον λέγει ὁ
ἀπολλωνίδης. τοὺς δὲ προειρημένους ποταμοὺς ἀμφο-
τέρους μάλιστα δὴ ἰέναι κατὰ διάφορα μέρη τῆς χώ-
ρας ῥέοντα, ἄλλοτε καὶ ἄλλους τόπους ἐκδιδόναι

καὶ ταύτῃ μακροῖς αὐτὴν προσχώμασιν εἰς μέσον ἐπεκτείνειν τὸ πέλαγος. διὸ δὴ σύμπασαν εἶναι ποταμόχωστον τὴν γῆν. βίαιον γὰρ τὸν πολὺν αὐτὸν ἀπὸ τῆς ἀρμενίας δὲ χειμέριον τὸν μακρᾶς φερόμενον παρασύρειν τὴν γῆν. τοῦ δὲ κύματος παλίρρουν ἐλαύνοντος ἔσω τὴν γῆν τὴν ἰλὺν, συμβαίνει τὴν χώραν τὸ πολὺ παραυξέσθαι, καὶ τὴν θάλασσαν γίνεσθαι τεναγώδη.

Ἐνάμψαν ἀμαζονίδων. εἰκότως εἶπεν, ἐπειδὴ ἀπὸ σινώπης μέχρι τραπεζοῦντος τῆς κολχικῆς ἀπὸ τῶν σταδίων λιμὴν ἄλλος οὐχ ὑπόκειται πλὴν τούτου κατὰ τὸν ἡράκλειον τόπον. τῆς δὲ θεμισκύρας ἄκρας τῆς ἄνω μέμνηται. ἔφορος δὲ ἐν ἐννάτῳ φησὶ τὰς ἀμαζόνας ὑβριζομένας ὑπὸ τῶν ἀνδρῶν, ἐξελθόντων αὐτῶν ἐπί τινα πόλεμον, τοὺς μὲν καταλειφθέντας ἀναιρεῖν, τοὺς δὲ ἀπὸ τῆς ξένης προσιόντας μὴ δέχεσθαι. διονύσιος δὲ ἐν δευτέρῳ κατὰ λιβύην αὐτὰς ᾠκηκέναι φησί. ῥώμῃ δὲ διενεγκούσας καὶ τρεψαμένας τοὺς ὁμόρους ἐλθεῖν καὶ ἔσω τὴν εὐρώπην, καὶ πολλὰς αὐτόθι πόλεις κτίσαι. ὑποτάξαι τε αὐταῖς τὸ ἀτλαντικὸν ἔθνος, ὃ ἦν δυνατώτερον τῶν τῆς λιβύης. ζηνόθεμις δὲ αὐτάς φησιν ᾠκηκέναι ἐν αἰθιοπίᾳ. τὰς δὲ ἐρχομένας ἔσω τοῦ ἀντιπέραν συγγίνεσθαι τοῖς αὐτόθι ἀνδράσιν καὶ εἰ μὲν θῆλυ ἀποκυήσειαν, προσεθίζειν τῇ ἀγωγῇ εἰ δὲ ἄρρεν, τοῖς ἀνδράσι διδόναι.

Λιμένηοχον ἄκρην. ἐὰν μὲν τὴν συνεχομένην, προπαροξυτόνως. ἐὰν δὲ τὴν συνέχουσαν τὸν λιμένα, παροξυτόνως.

Τῆς δ' ἐγ' ἐν κόλπῳ. τῆς προειρημένης ἄκρας ἐν τῷ κόλπῳ ᾤκησαν.

46 Τῷ δ' οὔτις ποταμῶν. ὅτι ὁ Θερμώδων ἐν τῇ λευκοσυρίᾳ ἐστὶν, ἣν πρότερον ἀμαζόνες ᾤκουν, οὐκ ἀγνοεῖται. φησὶ δὲ αὐτὸν ἀπολλώνιος ἑκατὸν τεσσάρων δεούσαις καταχεῖν ἀπορρύσεις εἰς ἄλλα καὶ ἄλλα μέρη ῥεούσας ἀπὸ μιᾶς πηγῆς. ἄλλοι δέ φασιν πόρους ἑτέρους δέχεσθαι εἰς αὐτόν. ὁ αὐτὸς δὲ οὗτος ἀράξης ἐκαλεῖτο πρότερον, ὁμωνύμως τῷ ἐκ τοῦ ἀρμενίας ῥέοντι. Παρὲξ ἔθεν. περισσή ἐστιν ἡ παρά. ἔστι γὰρ ἐξ αὐτοῦ χωρὶς βάλλων τοσαῦτα ῥεύματα ἀπὸ μιᾶς πηγῆς ἄλλος οὐκ ἔστι ποταμός. πεμπάζειν δὲ ψηφίζειν καὶ μετρεῖν σημαίνει. Ἔνθεν δ' αἰπυτέρων. ἐκ τοῦ ἀνωτάτω φησὶ πηγῆς καταντικρὺ φερόμενον τὸν Θερμώδοντα ὑψηλὴ ὑπερέχεται γῆ. ὅθεν πολλὰς ἔχει ἀπορρύσεις καὶ ἀποστροφάς. διὰ τὸ ὕδωρ ἐκτρέπεσθαι. Ἄλλυδις ἄλλη. ἀεὶ δὲ ταπεινῆς οὔσης τῆς χώρας, τοὺς μὲν τῶν πόρων, εἰς μακρὰν ἔχει πεπερασμένους, τοὺς δὲ ἐγγύς. χθαμαλῆς ἀντὶ τοῦ ταπεινῆς. Ὁ δ' ἀμφαδόν. ὁ δὲ ὑπὸ τὴν κυρτὴν ἄκραν συμμεμιγμένος τοῖς ἄλλοις, εἰς τὸν εὔξεινον πόντον ῥεῖ. κυρτὴν δὲ τὴν ἄκραν φησὶν ἦν διὰ τὸ ἐπικαμπῆ ἦν. Ἐπητέες. λόγιοι. παρὰ τὸ ἔπος. ἢ οὐ συγγνώμονες καὶ προμηθεῖς, ἀλλὰ θρασεῖαι καὶ ἀπερίσκεπτοι. Δοιάντιον πεδίον Θερμώδοντος. ἀπὸ Δοίαντος οὕτω κληθέν. Γενεὴν ἔσαν Ἄρεος. ἁρμονία νύμφη ναΐς. ἧς καὶ Ἄρεος ἀμαζόνας εἶναι φησὶ Φερεκύδης. ᾧ ἕπεται ἀπολλώνιος. Ἄλσεος ἀκμονίοιο. οὐδέποτε ἄλσος ἀκμόνιον ἐδήλωσεν εἰρηναῖος. ἔστι δὲ περὶ τὸν Θερμώδοντα. μέμνηται αὐτοῦ Φερεκύδης ἐν β'.

47 Ἔνθα Θεμισκύρειαι. αἱ ἐκ τῆς Θεμισκύρας φασὶν ἀμαζόνες ἦλθον τὴν ἄκραν ἔνθα κατέπλευσαν ὡπλίζοντο. ἔφθασαν δὲ ἀνενεχθέντες οἱ ἥρωες. Λυκάστιαι. χωρίον τῆς λευκοσυρίας, ἀφ' οὗ λυκαστίας εἶπε τὰς ἀμαζόνας. χαδησίας δὲ αὐτὰς εἶπεν ἑκαταῖος ἀπὸ τοῦ χαδῆσαι. χωρὶς τῶν τὰς ἐκ Θεμισκύρας φησὶ καὶ χωρὶς τὰς ἐκ λυκαστίας ὁπλίζεσθαι κατὰ τῶν ἡρώων, διὰ τὸ κεχωρισμένως οἰκεῖν. ἔφθασαν δ' ὅμως προσενεχθέντες οἱ ἥρωες. Στυφελήν. τραχεῖαν καὶ σκληράν. οὕτως κλειτόριοι λέγουσιν ὥς φησι ζηνόδοτος ἐν γλώσσαις. κυρηναῖοι δὲ τὴν χέρσον. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ χαλεποῦ. ὡς τὸ ἀπὸ στυφελοῦ ἀφροδίτης. ὄνος δέ ἐστι τὸ τῆς τροφῆς τίμημα. οἱ δὲ χάλυβες μεταλλεύοντες σίδηρον, πωλοῦσι. καὶ οὕτω τὰ ἐπιτήδεια πορίζονται τραχεῖαν ἔχοντες πρὸς καρπὸν τὴν γῆν. προείρηται δὲ ἤδη περὶ αὐτῶν. Ὀτλεύουσιν. ὑπομένουσι. διὰ τὸ χαλκεύειν αὐτοὺς τὸν σίδηρον περὶ τῶν καπνῶν ταλαιπωρεῖν φησι. Κελαινὴν λιγνὺν τὴν αἰθάλην φησί. Τιβαρηνίδα γαῖαν. τιβαρηνοὶ ἔθνος σκυθίας. οὗτοι δικαιότατοι λέγονται. καὶ οὐδέποτε μάχην τινὶ συνέβαλον, εἰ μὴ πρότερον καταγγεῖλαι, καὶ ἡμέραν, καὶ τόπον, καὶ ὥραν τῆς μάχης. ἐν δὲ τῇ τῶν τιβαρηνῶν γῇ αἱ γυναῖκες, ὅταν τέκωσι τημελοῦσι τοὺς ἄνδρας ὥσπερ λεχούς. ὡς ἱστορεῖ νυμφόδωρος ἐν τοῖς νόμοις.

48 Ἱερὸν δ' αὖτε. ὄρος οὕτω καλούμενον τὸ καθῆκον εἰς τὸν εὔξεινον πόντον. Ἄλλως. τοῦτο καθῆκόν ἐστιν εἰς τὸν εὔξεινον πόντον. μέμνηται αὐτοῦ καὶ κτησίας ἐν τῷ

α, περὶ

α, περιόδων. καὶ σουίδας ἐν β. περὶ τῶν λεγομένων μακρώνας. ἀκριβέστερον δὲ ὁ ἀγάθων ἐν τῷ τοῦ πόντου περίπλῳ. ὅς καὶ ρ. ἀπέχειν σταδίους αὐτό φησι τοῦ τραπεζοῦντος. ὁ δὲ εἰρηναῖος μνησίμαχον φησὶ περὶ αὐτοῦ ἱστορεῖν ἐν α. περὶ σκυθῶν ἀγνοῶν. ὁ γὰρ μνησίμαχος ἐν τῇ εὐρώπῃ μέμνηται καὶ μεσήνης τῆς σκυθικῆς, ὁ δὲ ἀπολλώνιος καὶ οἱ προειρημένοι περὶ τῆς ἀσίας διαλέγονται. ἔστι καὶ ἄλλο ἱερὸν ὄρος θράκης.

Ξυνῇ φιλότητι. οὐχ ὡς αὐτῶν συνερχομένων ταῖς ἀλλήλων γυναιξὶ τοῦτο λέγει, ἀλλὰ ἕκαστος τῇ ἑαυτοῦ φανερῶς. λιμῷ μιν κεῖν' ἦμαρ. ἱστορεῖ ἔφορος καὶ νυμφόδωρος περὶ τούτων, ὅτι τὸν βασιλέα αὐτῶν ἄδικόν τι κρίναντα ἐγκλείουσι καὶ λιμαγχονοῦσι. τὴν ἀρητιάδα νῆσον φασὶν ὑπὸ ὀτρήρας τῆς ἄρεος κατοικισθῆναι. περὶ δὲ τῶν ἐν αὐτῇ ὀρνέων μέμνηται τιμάγητος. εἰσὶ δὲ σιδηρόπτεροι, αἳ λέγονται στυμφαλίδες.

50 Οὐδὲ γὰρ ἡρακλέης. τὰς στυμφαλίδας ὄρνιθας φησὶ οὐκ ἠδύνατο ἀπώσασθαι, εἰ μὴ κρόταλον χαλκοῦν καὶ ψόφον τινῶν ἐξεφόβησεν. πλωΐδες δὲ ὄρνιθες καλοῦνται, διὰ τὸ ἐν τῇ λίμνῃ αὐτὰς νήχεσθαι τῆς ἀρκαδίας, ἃς ἡρακλῆς ἀπεδίωξεν. Στύμφηλος δὲ πόλις ἀρκαδίας. καὶ στυμφαλὶς δὲ λίμνη. καὶ ὅμηρος. στύμφηλόν τ' εἶχον. στυμφαλίδες δὲ λέγονται περὶ αὐτὴν ὄρνιθες, ἃς πλωΐδας εἶπεν ἀπολλώνιος. οὕτω δὲ αὐτὰς ὀνομάζει καὶ σέλευκος ἐν συμμίκτοις, καὶ χάρων αὐτοῦ τοῦ ἀπολλωνίου γνώριμος ἐν τῷ περὶ ἱερειῶν τοῦ ἀπολλωνίου. ἰδίως δὲ μνασέας φησὶ στυμφάλου τινὸς ἥρωος καὶ ὄρνιθος γυναι-

κὸς γενέσθαι στυμφαλίδας θυγατέρας, ἃς ἀνελεῖν τὸν ἡρακλέα, ὅτι οὐ προσεδέξαντο αὐτὸν, καὶ ἐξένιζον τοὺς μολίονας. φερεκύδης δέ φησιν οὐ γυναῖκας, ἀλλ᾽ ὄρνιθας εἶναι, καὶ ἀναιρεθῆναι πρὸς ἡρακλέους πλαταγῆς δοθείσης αὐτῷ πρὸς τὸ κτυπεῖν καὶ ἐκφοβεῖν αὐτάς. ὁμοίως καὶ ἑλλάνικος φησίν. τὴν δὲ στυμφαλίδα λίμνην φασὶ διὰ βερέθρων ἐκδοθεῖσαν ξηρανθῆναι. Πλαταγήν. ὀξυτόνως ὥς φησιν ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου. σημαίνει δὲ τὸν κρόταλον. φασὶ δὲ αὐτὴν ἡφαιστότευκτον οὖσαν, ἡρακλεῖ παρὰ τῆς ἀθηνᾶς δοθῆναι. ὁ δὲ ἑλλάνικος φησὶν αὐτὸν κατασκευάσαι. Ατυζηλῷ. ἐκπληκτικῷ. περισπαστέον δὲ τὸ ἀτυζηλῷ. ἔστι γὰρ ἀπὸ ὀξυτόνου τοῦ ἀτυζηλὸς, ὡς ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τοῦ καθόλου. ἀκροσιλόφους φυφαλείας. ὧν οἱ λόφοι ἐπηρμένοι εἰσὶ καὶ μετέωροι. Αμοιβαδὶς ἀντὶ τοῦ ἀμοιβαίως. ἐπίῤῥοθος βουλὴ ὁ ὠφέλιμος.

51 Ως δ᾽ ὅτε τις κεράμῳ. ταῖς κεραμίσι καταστεγάζει. Αλλῳ δ᾽ ἔμπεδον. ἄλλος ἐστὶ ἄλλῳ φησὶ κέραμος αὐθίσταται ἀσφαλῶς καὶ συνήρμοσται. ἐπαμοιβοὶ γὰρ οὐχ οἱ ἀμείβοντες, ἀλλ᾽ ἐπηλλαγμένοι τὴν σύνθεσιν. Οἵη δὲ κλαγγή. ὁποία δὲ βοὴ γίνεται ἐν πολέμῳ, ὁπόταν ἀλάξαντες συνέρχωνται. Ενναέται. κατ᾽ ἐξαίρεσιν τοῦ, ι. ἵν᾽ ἢ ἐνναιέται. κλεινίας δέ φησι καὶ τὸν ναὸν ποτε οὕτως εἰρῆσθαι ἐνναι), παρὰ τὸ ἐνναίειν ἐν αὐτῷ τοὺς θεούς. Ηνται ἀκήν. κάθηνται ἐν οἴκῳ ἐπιστρεφόμενοι τοῦ χειμῶνος ἢ τῆς χαλάζης, διὰ τὸ ἐξηρτημένους αὐτοὺς εἶναι. Μέλαθρον.

θρόν. τὴν ὀροφήν. κράτης δὲ τὴν δοκὸν ἐδέξατο, ὡς καὶ παρὰ τῷ ποιητῇ. Αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον. Ὡς πυκινὰ πτερά. χαλάζης πυκνότερα ἐφίεσαν αὐτοῖς πτερὰ φεύγοντες διὰ τῆς θαλάσσης. πιθανῶς δὲ ὁ πίσανδρος τοὺς ὄρνιθας φησὶν εἰς σκυθίαν ἀποπτῆναι, ὅθεν καὶ ἐληλύθεσαν.

Τίς γὰρ δὴ φινῆος. αὕτη ἐρώτησις, ὡς ἀπὸ τοῦ ποιητοῦ πρὸς τὰς μούσας. τί φονῶν φησιν ὁ φινεὺς ἐκέλευσεν αὐτοὺς προσορμισθῆναι τῇ τοῦ ἄρεος νήσῳ. καὶ τίνα ὠφέλειαν αὐτοῖς προορώμενος αὐτὸ προσέταξεν. εἶτα ὥσπερ ἐμπυνθαθεὶς ἐπιφέρει, υἱῆες φρίξοιο. κατὰ δὲ τὴν ἀρητιάδα νῆσον, οἱ τοῦ φρίξου υἱοὶ ἐναυάγησαν. ἔνθα ἦν καὶ τὰ σιδηρόπτερα ὄρνεα. Υἱῆες φρίξοιο. οἱ παῖδες φρίξου ἔπλεον εἰς ὀρχομενὸν ἐκ κόλχων, ἵνα τὰ πατρῷα κληρονομήσωσιν. ναυαγήσαντες δὲ, ἐξεβράσθησαν πρὸς τὴν ἀρητιάδα νῆσον, ὅθεν ἀναλαβόντες αὐτοὺς οἱ ἀργοναῦται ἔσχον καθηγεμόνας. καὶ πάλιν αὐτοὺς ἀπήγαγον εἰς ὀρχομενόν.

52 Ζεὺς δ' ἀνέμου. δεικνὺς τὴν ἑῴαν ἐπιτολὴν τοῦ ἀρκτούρου, βορέαν ἐποίησε πνεῖν, ὅπως ῥαδίως ὁ ὄμβρος καὶ ταραχὴ γένηται. αὐτὸ δὲ ἔφη, ἐπεὶ κατὰ τὴν ἐπιτολὴν τοῦ ἀρκτούρου σφοδροὶ καταχέονται ὄμβροι. ὡς φησὶ δημόκριτος ἐν τῷ περὶ ἀστρονομίας. καὶ ἄρατος. Φράζεσθαι δ' αἰνοῦ μεμνημένος ἀρκτούροιο. ἔστι δὲ ὁ ἀρκτοῦρος ἀστὴρ ὑπὸ τῆς ζώνης τοῦ ἀρκτοφύλακος. εἰώθει δὲ καὶ ὁ βορέας ὄμβροις καταρρήσσειν. Ἠμάτιος ὁ ἡμερινός. κατὰ τὴν ἡμέραν ἣν φησιν ὁ βορέας ἐτίναξε τὰ φύλλα.

ἀήσυρος δὲ ὁ ἐλαφὸς πνέων. ἀπὸ τοῦ ἄω τὸ πνέω. μυδαλέοι οἱ κάθυγροι. ῥόθιον τὸ κῦμα. ὀρέξαντο· ἀντὶ τοῦ ἔλαβον τό. ῥαισθεῖσα, διαφθαρεῖσα. κεκέδαστο, ἀντὶ τοῦ διεσκόρπιστο παρ᾽ ἐξ ὀλίγον, παρ᾽ ὀλίγον ἐκ τοῦ θανάτου. οἷά τε πολλά. οἷα πολλὰ ἦν πρότερον μὲν συνηρμοσμένα τοῖς γόμφοις. τότε δὲ διαφθαρείσης τῆς νεὼς διεσκορπίσθη τὰ ξύλα. νὺξ θ᾽ ὑπὸ λυγαίην. τὴν σκοτεινήν, ἀπὸ τοῦ λύγου τοῦ φυτοῦ. καὶ γὰρ ἐκεῖνο μέλαν. καὶ τὸν ἐνιαυτὸν λυκάβαντα, οἱονεὶ λυγάβαντα, ἐπεὶ μετὰ λυγῆς βαίνει. σοφοκλῆς πολυξένῃ. ἀπ᾽ αἰθέρος δὲ κἀπὸ λυγαίου νέφους. Ἄργος δέ, παροίταρος εἷς τῶν φρίξου παίδων οὗτος. τούτους δὲ ἡρόδωρος φησὶν ἐκ χαλκιόπης τῆς αἰήτου θυγατρός. ἀκουσίλαος δὲ καὶ ἡσίοδος ἐν ταῖς μεγάλαις ἠοίαις φασὶν ἐξ ἰοφώσσης τῆς αἰήτου. καὶ οὗτοι μέν φησιν αὐτοὺς τέσσαρας, ἄργον, φρόντιν, μέλανα, κυτίσσωρον. ἐπιμενίδης δὲ καὶ πέμπτον προστίθησι πρέσβωνα.

53 Ἐπόψιος. ἐπόπτιος. Δοῦναι ὄαρον. εὐτελὲς καὶ βραχύτατον περίβλημα. Ἐμβεβαῶτες. μετοχὴ ἀντὶ ῥήματος κεῖται τοῦ ἐμβεβήκαμεν. Κριοῦ ἐπεμβεβαώς. διονύσιος ἐν τοῖς ἀργοναύταις φησὶ κριὸν γεγονέναι τροφέα φρίξου. ὃν αἰσθόμενον τὰς ἐπιβουλὰς ἰνοῦς ὑποθέσθαι περὶ φρίξῳ τὴν φυγὴν ποιήσασθαι. ὅθεν καὶ μεμυθεῦσθαι ὡς ὑπὸ κριοῦ διασωθείη. ἡρόδωρος δέ φησιν, ἐξ ἀθάμαντος καὶ θεμιστοῦς γενέσθαι παῖδας, σχοινέα, ἐρύθριον, λεύκωνα, πτῶον. νεωτάτους δὲ φρίξον καὶ ἕλλην, οὓς διὰ τὴν ἰνοῦς ἐπιβουλὴν ἐκχωρῆσαι. τελευτῆσαι δὲ τὴν ἕλλην, κατὰ πακτύην φασίν,

ὡς καὶ

ὡς καὶ ἑλλάνικος μαρτυρεῖ. ἰνοῦς δὲ καὶ ἀθάμαντος, λέαρχος καὶ μελικέρτης. Τόν ῥα χρύσειον. λέγεται δὲ τῇ τοῦ ἑρμοῦ ἐπαφῇ, τὸ δέρος τοῦ κριοῦ γενέσθαι χρυσοῦν. Εἷς ὑποθημοσύνῃσι. τὸν κριὸν φησὶν ἴθυνσε ταῖς ἑαυτοῦ ὑποθήκαις. τοῦτ' ἔστι κατὰ συμβουλὴν αὐτοῦ τοῦ κριοῦ. αὐτὸς γὰρ ὁ κριὸς ἀνθρωπίνῃ χρησάμενος φωνῇ, αὐτοῖς φεύγειν προσέταξε. Φυξίῳ ἐκ πάντων. Φύξιος ζεὺς παρὰ θετταλοῖς, ἤτοι ἐπειδὴ τὸν ἐπὶ δευκαλίωνος κατέφυγον κατακλυσμόν. ἢ διὰ τὸ καταφυγεῖν τὸν φρίξον εἰς αὐτόν. Χαλκιόπην. Φερεκύδης ἐν ἕκτῳ εὐωνίαν αὐτήν φησι καλεῖσθαι. ἐπώνυμον δὲ αὐτῇ χαλκιόπη τῇ ὁμοίου τῷ. Συνηβολίη, τὸ σύμβολον, ἢ ἡ συμβουλή. κατὰ μοῖραν, κατὰ τὸ πρέπον. γνωτοί, οἱ συγγενεῖς. Κρηθεὺς γὰρ καὶ ἀθάμας ἀδελφοί. κρηθέως αἴσων. αἴσονος ἰάσων. ἀθάμαντος δὲ φρίξος. φρίξου ἄργος. Σπιάων. στοαὶ αἱ ψῆφοι παρὰ σικυωνίοις καλοῦνται. ἡ ἐσχάρα δὲ ἦν καὶ ὁ βωμὸς ἐκ ψήφων κατεσκεύαστο. καλλίμαχος. Πολυστίον τε μετώπων. Ἐπηετανὸν κομέουσαι. ἀντὶ τοῦ ἐπιμελῶς καὶ ἐκ παλαιοῦ τρέφουσαι. Ἐπηετέα. ἐτήσιμα.

54 Ζεὺς αὐτός. τὸν δία φησὶν οὐ δέρκεσθαι ἕκαστα ὁ ἰάσων, καὶ τὰ ἑξῆς. ἅμα μὲν παραμυθούμενος τὸν ἄργον. πρὸς αὐτὸν γὰρ ὁ λόγος. ἅμα δὲ καὶ λεληθότως βοήθειαν αἰτῶν παρ' αὐτοῦ ὡς ἂν συνεργήσῃ αὐτοῖς ἀνακομίσαι τὸ δέρας εἰς τὴν ἑλλάδα. Μετὰ φθίην. οἱ μὲν τὴν φθίαν ὀρχομενοῦ πόλιν φασὶν εἰρῆσθαι. φθίην πόλιν ὀρχομενοῖο, παρόσον οἱ ὀρχομένιοι ἄποικοί εἰσι θετταλῶν. δύναται δὲ καὶ ὀρχομενοῦ μνημονεύ

ειν τοῦ μυθοείου μακεδονίας καὶ θεσσαλίας. ἔστι δὲ ὀρχομενὸς, καὶ ὄρος καὶ πόλις θεσσαλίας, καὶ βοιωτίας, καὶ ἀρκαδίας, καὶ πόντου. Επιῤῥοθοι. ἐπιῤῥοθεῖν κυρίως τὸ τοῖς κυσὶν κελεύειν, καὶ ἐρεθίζειν, καὶ τὸ τῇ νικῇ συμφωνεῖν, παρὰ τὸ ῥόθιον, ὅ ἐστι τὸ κῦμα. ἐνταῦθα δὲ ἐπιῤῥοθον ἁπλῶς τὸν βοηθὸν λέγει. Ζηνὸς χόλ). δὲ τὸ μηνίσαι τὸ δαιμόνιον τοῖς ἀπὸ τοῦ αἰόλου, φρίξου κινδυνεύσαντος. νοεῖται δὲ ἐν τῷ χόλον ἢ δὲ, ἤγουν διὰ τὸν χόλον τοῦ διός. ὡς τὸ σὴν χάριν, ἀντὶ τοῦ διὰ τὴν σὴν χάριν. τοιαύτῃ γὰρ προφάσει ὑπὸ πελίου ἐξεπέμφθη. Εστυγον. ἐστύγνασαν, ηὐλαβήθησαν. Τεύξεσθαι ἐνηέος. οὐ γὰρ ὑπελάμβανον ἠδέως καὶ προσηνῶς προσδεχθησομένους αὐτοὺς ὑπὸ τοῦ αἰήτου. διόπερ συνῆσαν τῷ ἰάσονι. Ενηέος. προσηνέος, ἀγαθοῦ. Ατεμβόμενος. οὐχ ὁμηρικῶς ἀντὶ τοῦ στερισκόμενος. κεῖται γὰρ νῦν ἐπὶ τοῦ δυσχεραίνων καὶ μεμφόμενος ἐπὶ τοῖς οὐρανοῦ τὸν στόλον στέλλεσθαι. Στεῦται δὲ βεβαιοῦται. καυκάσου ἐν κνημοῖσι. περὶ τὸν καύκασον φασὶν ἐν τῇ τυφαονίᾳ πέτρᾳ κεραυνωθεὶς ὁ τυφὼς, ἰχῶρας τινὰς ἀφῆκεν, ἐξ ὧν ἐγένετο ὁ τὸ δέρος φυλάσσων ὄφις. ὅτι δὲ ἐπὶ τὸν καύκασον κατέφυγεν ὁ τυφὼς διωκόμενος, καὶ ὅτι καιομένου τοῦ ὄρους ἔφυγεν ἐκεῖθεν εἰς ἰταλίαν, ὅπου τὴν πιθηκοῦσαν αὐτῷ περιῤῥιφῆναι νῆσον, φερεκύδης ἐν τῇ θεογονίᾳ ἱστορεῖ. οὐ μὴν τοι ὅτι καὶ εἰς τοὺς περὶ συρίαν τόπους ἠλάθη, ὡς φησιν ἀπολλωνίου. Τυφαονα. οὗτος φησὶ πληγεὶς ὑπὸ διὸς, ὡς εἶχεν εἰς τοὺς περὶ συρίαν τόπους, καὶ τὸ πηλούσιον παρεγένετο διωκόμενος ὑπὸ διός. ὅπου

βυθισθεὶς

βυθισθεὶς κεῖται ἐν τῇ σερβωνίδι λίμνῃ. διήκει δὲ αὕτη ἀπὸ συρίας μέχρι πηλουσίου. τὰ δ' αὐτὰ περὶ τοῦ τυφῶνος καὶ ἡρόδωρός φησιν. ἔνθα καὶ περὶ τῆς νύσης ἱστορεῖ λέγων. Ἐστι δέ τις νύση ὕπατον κέρας ἀνθέον ὕλῃ. Τηλοῦ φοινίκης σχεδὸν αἰγύπτοιο ῥοάων. ὁ δὲ καύκασος διήκει ἀπὸ τῆς ἀρμενίων χώρας ἕως κόλχων. ἡ δὲ σερβωνὶς λίμνη διάκειται περὶ τὸ πηλούσιον τῆς αἰγύπτου.

55 Μηδ' οὕτως ἠθεῖε. πρὸς τὸ τὸν καὶ περιδείδιξε ναυτίλλεσθαι ἀπήντησεν ὁ πηλεὺς κελεύων μὴ δεδιέναι. διὸ θυμῷ γε πλέον. γράφεται δὲ καὶ μύθῳ, ἵνα ᾖ, μὴ ἐκφόβει ἡμᾶς τὸν περὶ αἰήτου λόγῳ. οὐ φέρεται δὲ οὕτως. ἀλλ' ἐν πᾶσι δειδίσσεο θυμῷ. καὶ τ' οὐδὲν γάρ φησι τοῦ αἰήτου ἐσμὲν χείρους. τὸ δὲ ἠθεῖε, οἶμαι κατ' ἐπένθεσιν τοῦ η, πεπονέναι, ὥσπερ καὶ τὸ βαιὸς ἠβαιός. μύω ἠμύω. σημαίνει δὲ κατὰ τὸ πρόχειρον τὸ θεῖε συγγενές. ἢ τὸ θαυμάσιε. μηδαμῶς ὦ θαυμάσιε. ἢ τὸ καλέ. Φιλυρίδα νῆσον. τὴν τῶν φιλύρων φησί. ἀπὸ φιλύρας τῆς ὠκεανοῦ κατοικούσης περὶ τοὺς τόπους τούτους. κρόνου δὲ μιγνυμένου αὐτῇ, ὅτε ἐβασίλευε τιτάνων τὴν ῥέαν αὐτοὺς ἐπαυτοφόρῳ καταλαβεῖν. ὅθεν τὸν μὲν κρόνον αἰδεσθέντα εἰς ἵππον μεταβληθῆναι, τὴν δὲ φυγὴν εἰς θεσσαλίαν. φερεκύδης φησὶν ὅτι κρόνος ἀπεικασθεὶς ἵππῳ ἐμίγη τῇ φιλύρᾳ τῇ ὠκεανοῦ, καὶ διὰ τοῦτο διφυὴς ὁ χείρων. σουίδας δὲ ἐν α. θεσσαλικῶν τὸν χείρωνα ἰξίονος εἶναι παῖδά φησι, ἀδελφὸν δὲ πειρίθου. κρηταῖον ὄρος τὸ κρητικόν, γέγονε δὲ καθ' ὁμοιότητα τοῦ σιναῖον. τὸ δὲ χαιτήεις χαίτην ἔχων ἀπὸ τοῦ χαίτης. ὥσπερ ἀπὸ

τοῦ ἔρση ἐρσήεις, καὶ τιμὴ τιμήεις. περὶ μακρώνων καὶ βεχείρων καὶ ἀπείρων προείρηται. εἰπὼν δὲ μοιχὸς δὲ φαίνεται πόντου, ἔδειξεν ὅτι ἐν τῷ μυχῷ τοῦ πόντου ἡ κολχική. καὶ δὴ καυκασίων. τὰ προσαγορευόμενα καυκάσια ἐρατοσθένης πλησίον εἶναι φησὶ τῆς προσαγορευομένης κασπιανῆς θαλάσσης.

56 Ἐρίπναι. τῶν καυκασίων ὀρῶν αἱ ἀπόῤῥωγες καὶ ἐξοχαί. τινὲς δὲ ἐρίπνας τὰς τραχείας καὶ εἰς ὕψος ἀνεχούσας πέτρας φασί. Τόθι γῦα. ὁ προμηθεὺς ἐδέδετο ἐν τῷ καυκάσῳ, καὶ ὁ ἀετὸς τὸ ἧπαρ αὐτοῦ κατήσθιεν. ἀγροίτας δὲ ἐν τρισκαιδεκάτῃ τῶν σκυθικῶν, δαπανᾶσθαι φησὶ τὸ ἧπαρ προμηθέως δόξαι ὑπὸ τοῦ ἀετοῦ, διὰ τὸ τὴν κρατίστην τοῦ προμηθέως χώραν, τὸν ποταμὸν τὸν καλούμενον ἀετὸν φθείρειν. ἧπαρ δὲ παρὰ ποιηταῖς ὥσπερ καὶ οὖθαρ τὴν εὔκαρπον λέγεσθαι γῆν. ἡρακλέους δὲ ἐξοχετεύσαντος διόρυξι τὸν ποταμόν, τόν τε ἀετὸν δόξαι ὑπ' αὐτοῦ κεχωρίσθαι, καὶ τὸν προμηθέα λελύσθαι τῶν δεσμῶν. Θεόφραστος δὲ τὸν προμηθέα φησὶ σοφὸν γενόμενον, μεταδοῦναι πρῶτον τοῖς ἀνθρώποις φιλοσοφίας, ὅθεν καὶ διαδοθῆναι τὸν μῦθον, ὡς ἄρα πυρὸς μεταδοίη. καὶ ἡρόδωρος ξένως περὶ τῶν δεσμῶν τοῦ προμηθέως ταῦτα. εἶναι γὰρ αὐτὸν σκυθῶν βασιλέα φησί. καὶ μὴ δυνάμενον παρέχειν τοῖς ὑπηκόοις τὰ ἐπιτήδεια, διὰ τὸ τὸν καλούμενον ἀετὸν ποταμὸν ἐπικλύζειν τὰ πεδία, δεθῆναι ὑπὸ τῶν σκυθῶν. ἐπιφανέντα δὲ ἡρακλέα, τὸν μὲν ποταμὸν ἀποστρέψαι εἰς τὴν θάλασσαν, καὶ δὴ οὕτω μεμυθεῦσθαι ἀνῃρηκέναι τὸν ἀετόν, ἡρακλέα.

ράκλέα. τὸν δὲ προμηθέα λῦσαι τῶν δεσμῶν. Φερεκύδης δὲ ἐν δευτέρῳ, τυφῶνος καὶ ἐχίδνης τὸν φόρκυνος φησὶ τὸν ἀετὸν τὸν ἐπιπεμφθέντα προμηθεῖ. καὶ ὅτι δὲ ὁ ἀετὸς ἤσθιεν τῆς ἡμέρας τὸ ἧπαρ. τὸ δὲ λειπόμενον ηὔξετο τῆς νυκτὸς, καὶ ἐγίνετο ἴσον. Ιαλλόμενος χαλκείοισιν. δεθῆναι τὸν προμηθέα φησὶν ἡσίοδος. καὶ τὸν ἀετὸν ἐπιπεμφθῆναι αὐτῷ διὰ τὴν τοῦ πυρὸς κλοπήν. Δοῦρις δέ φησι, διὰ τὸ τῆς ἀθηνᾶς ἐρασθῆναι. ὅθεν τοὺς περὶ τὸν καυκάσιον οἰκοῦντας, μόνῳ διὶ καὶ ἀθηνᾷ μὴ θύειν, διὰ τὸ κολάσεως αἴτιος προμηθεῖ γενέσθαι. καὶ θ' ὑπερβολὴν δὲ σέβειν ἡρακλέα, τὸ τοῦ ἀετοῦ τοξείας χάριν. εἰκότως οὖν ὁ ἀπολλώνιος περὶ καύκασον γενόμενος καὶ τούτων ἐμνήσθη. Τὸ μὲν ἐπ' ἀκροτάτης. περὶ τὴν ἑσπέραν φησὶν εἶδον οἱ ἀριστεῖς τὸν ἀετὸν ἐπὶ τὸν προμηθέα. Παραθύξας δὲ, παραπνεύσας. τοῦτ' ἔστι πνοὴν ποιήσας, τῇ βίᾳ τῶν πτερύγων ἐτίναξε τὰ ἱστία. Ισα δ' ἐυξέστοις. τὰ ἐν ταῖς πτέρυξι πτερὰ ἴσα εἶχεν ἐρετμοῖς. ὅ ἐστι κώπαις. τοῦτο δέ φησι δεικνὺς τὸ μέγεθος τοῦ ὄρνεου. Αἰθερίοιο. ἀντὶ τοῦ ἀεροπόρου. ἐν τούτῳ δηεὸν οὐ μετέπειτα ἀναστρεπτέον, ἔπειτα δὲ οὐ μεταστρόφον. Αργώιο. τοῦ φρίξου υἱοῦ. Αλημοσύνη. τῇ ἐμπειρίᾳ τῶν τόπων. Πεπταμένον ἠρωδιανὸς προξυνή. Μελισσαγέας. γλυκέας.

57 Ενναέταις τε θεοῖς. τοῖς ἐγχωρίοις θεοῖς. τοὺς γὰρ ἐπιδημοῦντας ἔθος ἦν ἐν τῇ ἀλλοδαπῇ θύειν θεοῖς ἐπιχωρίοις καὶ ἥρωσι. τοῦτο φασὶ καὶ ἀλέξανδρον ποιῆσαι τὸν μακεδόνα ἐν ἰλίῳ. Καὶ νηὸς ἐναίσιμα. τὰ καθήκοντα. οἷον ἐπ' ἀγαθοῖς καὶ εὐπροσδέκτοις.

εἴτ᾽ οὖν μειλιχίῃ, εἴτε πράως προσφερόμενοι τῷ αἰήτῃ ἀποπειραθείημεν αὐτοῦ. εἴτε ἄλλως πως. ἐπίβολος δὲ ἀσφαλής. οὕτω καὶ ἀμειβίας ἀπέδωκεν ἐν ταῖς γλώσσαις. Παρηγορία. ἡ προτροπὴ καὶ ἡ συμβουλή. Ἐπ᾽ εὐναίῃσιν ἐρύσαι. ἀντὶ τοῦ ἀγκυρῶν ἑλκύσαι, ταῖς ἀγκύραις ὁρμίσαι. Ὑψόθι νῆ᾽ ἐκέλευσεν. ἐν τῷ βάθει τοῦ ποταμοῦ. μὴ προσορμισθέντες τῇ γῇ. ὅμηρος. ὕψι δ᾽ ἐπ᾽ εὐνάων ὁρμίσομεν. Δάσκιον. τὸ δασύσκιον κατὰ συγκοπήν. ἀντὶ τοῦ δασύσκιον.

Τέλος τῶν εἰς τὸ δεύτερον ἀργοναυτικῶν σχολίων.

## ΣΧΟΛΙΑ, ΕΙΣ ΤΟ ΤΡΙΤΟΝ ΤΩΝ ΑΠΟΛΛΩΝΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

Εἰ δ᾽ ἄγε νῦν ἐρατώ. Τοῦ τρίτου λόγου τῶν ἀργοναυτικῶν τὰ κεφάλαια ἐστὶ τάδε. Ἥρα καὶ ἀθηνᾶ βουλευσάμεναι, πείθουσι τὴν ἀφροδίτην τῇ μηδείᾳ ἐμπέμψαι τὸν ἔρωτα. Ἰάσων δὲ μετὰ τῶν φρίξου υἱῶν παραγενόμενος πρὸς τὸν αἰήτην, ἀξιοῖ λαβεῖν τὸ δέρος. ἀγανακτήσας δὲ ὁ αἰήτης, ἄθλους αὐτῷ προστάττει μεγάλους. ὥστε τοὺς πυρίπνοους ταύρους ζεῦξαι, καὶ σπεῖραι τοὺς τοῦ δράκοντος ὀδόντας, ὑφ᾽ ὧν ἀνεδίδοντο γίγαντες. οὐ μόνον δὲ σπεῖραι, ἀλλὰ καὶ τῶν γηγενῶν στάχυν θερίσαι. Μή-

δεια

δεια δὲ διὰ τὸν πρὸς τὸν Ἰάσονα ἔρωτα, ὑπάγεται ὑπὸ τῆς Χαλκιόπης τοῖς υἱοῖς αὐτῆς βοηθῆσαι. καὶ δὴ πεισθεῖσα καὶ συντυχοῦσα τῷ Ἰάσονι κατὰ τὸ τῆς Ἑκάτης ἱερὸν, δίδωσί τε τὰ φάρμακα, καὶ ὑποτίθεται ὃν τρόπον δεῖ πρὸς τὸ θέρος τῶν γιγάντων ἁρμόσασθαι. τοῖς δὲ φαρμάκοις χρησάμενος ὁ Ἰάσων ἤνυσε παρὰ πᾶσαν ἐλπίδα τοὺς αὐτῷ προβληθέντας ἄθλους. Εἰ δ' ἄγε νῦν ἐρατώ. τὴν ἐρατὼ φασὶν ὄρχησιν εὑρηκέναι. εὐλόγως δὲ ὁ ἀπολλώνιος μεμοίραται τὴν ἐρατώ φησι τῶν τῆς ἀφροδίτης ὀργίων. λέγει δὴ τῶν γαμικῶν. γάμος δὲ ἄρα καὶ ὄρχησις ἕπεται. ἐν δὲ τοῖς εἰς μουσαῖον ἀναφερομένοις, δύο ἱστοροῦνται γενέσεις μουσῶν. πρεσβυτέρων μὲν, μετὰ τῶν κρόνου γενομένων. νεωτέρων δὲ, τῶν ἐκ διὸς καὶ μνημοσύνης. Εἰ δ' ἄγε νῦν. λέγεται τῶν μουσῶν, ἡ μὲν κλειὼ εὑρηκέναι τὴν ἱστορίαν. θάλεια δὲ, γεωργίαν, καὶ τὴν περὶ τὰ φυτὰ πραγματείαν. εὐτέρπη δὲ μαθήματα. τερψιχόρη παιδείαν. ἐρατὼ ὄρχησιν. πολύμνια λύραν. μελπομένη ᾠδήν. οὐρανία ἀστρολογίαν. καλλιόπη ποίησιν. ἀπορεῖται δὲ πρῶτον μὲν διατί οὐκ ἀρχόμενος τῆς ποιήσεως ἐπεκαλέσατο τὰς μούσας, νῦν δ' αὐτὸ ποιεῖ. β. διατί τὴν ἐρατὼ, καὶ οὐ τὰς ἄλλας ἐπικαλεῖται. ῥητέον οὖν πρὸς μὲν τὸ πρῶτον, ὅτι ἀρχόμενος μὲν, εἰκότως ἀπόλλωνα τὸν τῶν μουσῶν ἀρχηγέτην ἐπικαλέσατο. ἐνταῦθα δὲ ἐπειδὴ περὶ γάμων καὶ θαλείας διαλέγεσθαι μέλλει, θαλιῶν δὲ προστάτιδες αἱ μοῦσαι, διὰ τοῦτο νῦν τὰς μούσας ἐπικαλεῖται. ὅτι δὲ θαλιῶν εἰσι προστάτιδες αἱ μοῦσαι, ἐν τοῖς ὀρφι-

κοῖσι δεδήλωται. οὐδέ τι λήγοντι μουσάων ἔρωτι. αἱ δ' ἔασι κοίρανοι. αἷσι μέμηλε χορὸς θαλίαι τ' ἐρατειναί. πρὸς δὲ τὸ β΄. ὅτι ἐπειδὴ ἐν τοῖς ὀρφικοῖς ἡ εὑρετὴς ὀρχήσεως ἡ ἐρατὼ παραδίδοται. μέλλει δὲ ὁ ἀπολλώνιος τὸν τῆς Μηδείας καὶ ἰάσονος γάμον διηγεῖσθαι, διὰ τοῦτο τὴν εὑρέτιν τῆς ἐπιβαλλούσης τῶν γάμων ὀρχήσεως ἐπικαλεῖται μοῦσαν. διὸ καὶ μετ' ὀλίγα ἐπήνεγκε μεμοιρᾶσθαι τῶν τῆς ἀφροδίτης ὀργίων. περὶ δὲ γάμῳ καὶ ὀρχήσεως εἴπεται. Ῥιανὸς δέ φησι μηδὲν διαφέρειν ἢ πάσας ἐπικαλεῖσθαι τὰς μούσας, λέγων οὕτως. πᾶσαι δ' εἰσαΐουσι μιᾶς, ὅτε τοὔνομα λέξεις. ἴσως δὲ καὶ ἐπειδὴ περὶ ἔρωτος μὲν διαλέγεται. ἡ ἐρατὼ δὲ παρὰ τὸ ἐρᾶν παρῆκται, διὰ ταύτης μνημονεύει τὸ κοινὸν εὐεργέτημα αὐτῇ ἀναθεὶς διὰ τὸ ὄνομα. Ἐρατώ. ἀντὶ τοῦ ἐρατεινὴ ἀττικῶς. τὸ ἑξῆς παρίστασο καὶ εἰπέ. αὐωίστως, ἀνυπονοήτως. Μεθ' ἑλλάδα. ἀντὶ τοῦ εἰς ἑλλάδα. Ἀποτρωπᾶσθαι. ἀποτρέπεσθαι. ὁ δὲ νοῦς. ὅμως οὐδὲ μὴν πεῖραν παριέναι δεῖ.

2 Τῆνδε παρ' ἄστον. παραχρῆμα, εὐθέως. ἢ λείπει τὸ καθημένην. Ἀπηλεγέως. σημαίνει μὲν καὶ τὸ ἀληθῶς καὶ ἁπλῶς. ἔστι δὲ καὶ τὸ σαφῶς, νῦν δὲ ἀντὶ τοῦ ἀποτόμως. ἐπιφέρει γάρ. ἀλλά τι οὔπω φάσσασθαι νοέω. Ἄνδιχα πορφύρουσι. διηρημένως μεριμνῶσι. Μετὰ κύπριν. πρὸς τὴν κύπριν. Ἐπιπλόμεναι. παραγενόμεναι καὶ ἐπελθοῦσαι. Παιδὸς ἑοῦ. ἀπολλώνιος μὲν ἀφροδίτης τὸν ἔρωτα γενεαλογεῖ. Σαπφὼ δὲ γῆς καὶ οὐρανοῦ. Σιμωνίδης δὲ ἀφροδίτης καὶ ἄρεος. Σχέτλιε παῖ δολομήδεος ἀφροδί-

τας. τὸν ἄρη δ' ὁλομηχάνῳ τίκεν. Ἴβυκος, καὶ Ἡσίοδος ἐκ χάους λέγει τὸν ἔρωτα. ἐν δὲ τοῖς εἰς ὀρφέα κρόνου γενεαλογεῖται. Αὐτὰρ ἔρωτα κρόνος καὶ πνεύματα πάντα ἐτέκνωσε. Θέλξαι ὀϊστεύσασα. νῦν ἀντὶ τοῦ ἀπατῆσαι τὸ μὴ κρατῆσαι ἑαυτοῦ διὰ τὸν ἔρωτα. Πυκινὴ δέ, ἀντὶ τοῦ ἄρθρου καλῶς. ἀντὶ τοῦ πυκνὴ καὶ συνετὴ ἤρεσεν αὐτῇ ἐστὶν ἡ βουλή. Ὄφρα τέ οἱ δαῖμον. ὄφρα τέ οἱ ἀρισάρχειοι δι' ἑνὸς, ρ. τὰ τοιαῦτα γράφουσιν. ἡρακλέων δ' ἐν δύσιν. ὡς ἐστὶ παρὰ τῷ ποιητῇ. τόφρα τότ' ἐκ χηλοῖο λαβών. Αἴθουσαν. τὴν παστάδα.

5 Ἀλλ' ὁ μὲν ἐς χαλκεῶνα. τῆς ἐν αἰόλου νήσων ἱέρα καλουμένη, ἐν ᾗ φασι τὸν ἥφαιστον χαλκεύειν. πλωτὴν δὲ αὐτὴν εἴρηκεν, ἀκολουθήσας τοῖς περὶ ἰταλίαν καὶ σικελίαν μυθολογοῦσι τὴν ὀδυσσέως πλάνην. ἢ ὅτι τὸ παλαιὸν αἱ νῆσοι πᾶσαι ἐπλανῶντο, καὶ βάσεις οὐκ εἶχον. Καλλίας δὲ οὐ τὴν ἱέραν φησὶν ἀνακεῖσθαι ἡφαίστῳ, ἀλλὰ τὴν λιπάραν. νήσῳ ἐνὶ λιπάρῃ. εἰσὶ δὲ αἱ τοῦ αἰόλου νῆσοι ἑπτὰ αὗται. στρογγύλη, εὐώνυμος, ἱέρα, λιπάρα, διδύμη, ἐρικώδης, φοινικώδης, περὶ σικελίαν. Ἀλλ' ὁ μὲν, τῶν αἰόλου νήσων ἐστὶν ἡ ἱέρα καλουμένη, ἐν ᾗ φασι τὸν ἥφαιστον χαλκεύειν. ἱστορεῖ καλλίας ἐν δεκάτῳ τῶν περὶ ἀγαθοκλέα λέγων ἐστίν. καὶ ὄροφον ὑψηλὸν, ἐφ' οὗ κρατῆρες εἰσὶ δύο. ὧν ὁ ἕτερος ἐστὶ τὴν περίμετρον σταδιαῖος, ἐξ οὗ πολὺ φέρεται φέγγος. ὥστ' ἐπὶ πολὺν τόπον διήκειν τὸν φωτισμόν. ἔπειτα ἐκ τοῦ χάσματος ἀναφέρονται διάπυροι λίθοι ἀπλετομε-

γέθος, καὶ τηλικοῦτος βρόμος γίνεται, καθ' ὃν καιρὸν συμβαίνει ἐργάζεσθαι τὸν ἥφαιστον, ὥστε ἐπὶ πεντακόσια στάδια ἀκούεσθαι τὸν ἦχον. οἱ δὲ ἐκ τοῦ ἐκφυσήματος ἀναρριπτούμενοι μύδροι διὰ τὴν ἐκπύρωσιν πάντοτε ἰώδεις εἰσὶ καὶ διακεκαυμένοι τὴν ὄψιν καὶ τὴν δύναμιν καθ' ἥλιον ἔχουσι. νύκτωρ μὲν τὸν πάντα τὰ περὶ τὴν ἐργασίαν τοῦ θεοῦ γινόμενα καλῶς δηλοῦται. μεθ' ἡμέραν δὲ ἐκ τῆς κορυφῆς, ὅθεν ἡ φλὸξ ἀνίησιν, ὥσπερ νέφος ὑπερκείμενον ὁρᾶται. διὰ δὲ τοῦ λέγειν δαίδαλα χάλκευεν ῥιπῇ πυρὸς, ἐμφαίνει περὶ τῆς λεγομένης ὑπὸ τοῦ καλλίου ἀναφυσήσεως τοῦ πυρὸς ἐκ τοῦ χάσματος. ἦρι, ἕωθεν. Ἔσχεν. ἐπαύσατο κτενίζεσθαι. ἀψήκτους. ἀκτενίστους.

4 Ἠθεῖαι. προσφώνησις τῶν ὁμήρῳ νεωτέρων πρὸς πρεσβυτέρους. ἀπολλώνιος δὲ συλληπτικῇ τῇ φάσει κέχρηται. τὸ μὲν τῇ ἥρᾳ προσὸν, καὶ κατὰ τῆς ἀθηνᾶς ἔταξεν. ταῦτα δὲ ἁρμόσει λέγεσθαι κατὰ τὴν ὁμήρου ποίησιν. κατὰ δὲ τοὺς νεωτέρους οὐ μόνον ἀθηνᾶς, καὶ ἥρας, ἀλλὰ καὶ διὸς ἐστὶ πρεσβυτέρα ἡ ἀφροδίτη. ἡσίοδος μὲν αὐτὴν ἐκ τῶν αἰδοίων τοῦ οὐρανοῦ φησι γενέσθαι. δηναιὰς δὲ πολλοῦ χρόνου ὀφθεῖσαι. Οὔτι πάρος γε. παραγράφει τὸ ὁμηρικὸν, πάρος γε μὲν οὔτι θαμίζεις. Κερτομέεις. εἰρωνεύῃ. Συνορίνεται. ταράσσεται. θορυβεῖται. Λισσόμενος χαλκέων. τὸν ἰξίονα περιείληφεν, ὅτι δοκεῖ ἐπικεχειρηκέναι τῇ ἥρᾳ. φλεγύου δὲ υἱὸς ἰξίων, ὡς καὶ εὐριπίδης. φλεγύου υἱὲ δέσποτ' ἰξίων. φερεκύδης δὲ αἴτωνος. φησὶ δὲ ὡς γαμήσας δίαν τὴν ἠϊονέως θυγατέρα πολλὰ ὑπόσχο-

δώσειν

δώσειν δῶρα. ἐλθόντος δὲ ἐπὶ ταῦτα τοῦ ἠϊονέως βέρε-
θρον πλήσας καὶ πυρακτώσας, σκεπάσας αὐτὸ λεπτοῖς
ξύλοις καὶ κόνει λεπτῇ. ἐμπεσὼν δὲ ὁ ἠϊονεὺς, ἀπόλ-
λυται. λύσσα δὲ τῷ ἰξίονι ἐνέπεσε, διὰ τοῦτο καὶ οὐδεὶς
αὐτὸν ἤθελεν ἁγνίσαι οὔτε θεῶν οὔτε ἀνθρώπων. πρῶ-
τος γὰρ ἐμφύλιον ἄνδρα ἀπέκτεινεν. ἐλεήσας δὲ αὐ-
τὸν ὁ ζεὺς, ἁγνίζει. καὶ ἁγνισθεὶς ἠράσθη τῆς ἥρας. ὁ δὲ
ζεὺς νεφέλην ὁμοιώσας ἥρᾳ, παρακοιμίζει αὐτῷ, καὶ
ὕστερον πλήσας τετράκνημον τροχὸν καὶ δεσμεύσας αὐ-
τὸν τιμωρεῖται. Εὐνομίη, δικαιοσύνη, καὶ ἡ καλλο-
πραγία. Νιφετῷ παλύνετο. τῇ χιόνι ἐσκέπαστο.
Ολοφύρατο. ὅτι τὸ ὀλοφύρατο εἴληπται ἀντὶ τοῦ ἠλέη-
σεν. ὀλοφυρόμενος, συμπαθῶν, πάσχων. Διεκπρὸ
αλὲς, κατώφορον, κατωφορὲς, καὶ ἐπὶ τὴν ἅλα προ-
τῶν ῥοῶδες. Νεοστασίη. ἀντὶ τοῦ ἐν ἐπιστάσει ἐγένε-
το νέων μύθων. ἢ μύθων ἐπίστασις εἷλεν αὐτὴν, καὶ νε-
ωστὶ προσπεπτωκότος λόγου σύννοια. ὁ δὲ νοῦς. ἐσέ-
βετο δὲ τιμωμένην ὑπὸ τῆς ἥρας ἑαυτὴν βλέπουσα.

5 Κύπριν. λείπει τὸ ἀκούσασαν. Αντιμένω.
ἱκετεύουσαν, λιτανεύουσαν. Παρθένον αἰτέω. ἀν-
τὶ τοῦ θυγατέρα ἁπλῶς. δύναται δὲ καὶ οὕτως ἀκούε-
σθαι. τὴν ἄνηρον θυγατέρων τὴν οὖσαν παρθένον. Δολό-
εσσα. ἀντὶ τοῦ φονική. ἔστι γὰρ ποτὲ ὁ δόλος καὶ ἀντὶ
τοῦ φονικοῦ. Μενέηνα. ὀργίσθην, ἐσφάδαζον.
Χαλεφθείς. ὁ νοῦς. χαλεπῶς γάρ μοι χαλεπαί-
νων ἠπείλησεν, εἰ μὴ ἀπόσχοίμην τὰς χεῖρας ἕως
ἔτι τοῦ θυμοῦ κρατεῖ ὡς μεμφοίμην ἐμαυτῇ. τὸ
δὲ εἶ οὐκ εὖ κεῖται, ἀντὶ τοῦ ἐμοὶ γὰρ λαμβάνεται.

6 Ῥαδινῆς. εὐφυοῦς. Ἀνακρέων δὲ ἐπὶ τάχυς ἔταξε τὸ ῥαδινόν, ῥαδινοὺς πώλους. Ἴβυκος δὲ ἐπὶ τῶν τὸν οὐρανὸν βασταζόντων κιόνων. ῥαδινοὺς ἀντὶ τοῦ εὐμεγέθεις λέγει. Στησίχορος ἐπὶ τοῦ εὐτόνου, ῥαδινοὺς δ' ἐπέπεμπεν ἄκοντας. Παραβλήδην. ἀντὶ τοῦ παραβαλλούσα τοῖς εἰρημένοις. οὐ γὰρ ἀκουστέον ἐπὶ τοῦ ἀπατηλῶν. Παλαμήδης δὲ ἐξ ἀντιβολῆς, ἢ παραλογιστικῶς. νῦν δὲ ἐξ ἀπαρκείσεως. παλίσσυτοι ὀπισθόρμητοι. Ἀπάνευθε Διός. ἀμφίβολος ἡ φράσις. τὸ μὲν γὰρ δηλοῖ ἀπάνευθε Διός, χωρὶς τοῦ Διός. ὃ καὶ μᾶλλον. ἢ λείπει τὸ ἄλλων. ἵν' ᾖ, χωρὶς τῶν ἄλλων ἐν τῇ Διὸς ἀλωῇ. τὸν δὲ Γανυμήδην Ὅμηρος οὐχ ὑπὸ Διὸς ἡρπάσθαι, ἀλλ' ὑπὸ θεῶν φησιν. οὐδὲ δι' ἔρωτα καὶ πόθον, ἀλλ' ὥστε Διὶ οἰνοχοεύειν. τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν. Εψιόωντο. ἀντὶ τοῦ ἔπαιζον. φίλοι δὲ, ἀντὶ τοῦ ὁμίλοιν παρὰ τὸ ἔπος. Μάργος ἔρως. κατὰ μετωνυμίαν ὁ μαργαίνειν ποιῶν. ὡς παρὰ μαινομένου Διονύσου. παρὰ Ἀνακρέων. τακερὸς δ' ἔρως. παρὰ Ὅμηρος. χλωρὸν δέος. ἡ δὲ λαιὰ ἐσχημάτισται ἀπὸ τοῦ λάω, ὅ ἐστι βελτίονος. ὅθεν καὶ εὐώνυμος. Ὀκλαδόν. ἀντὶ τοῦ ὀκλάσας. Δοιώ. λείπει τὸ ἀστραγάλους. Ἐπὶ προτέροισιν ὀλέσσας. καὶ τούτους ἐπαπολέσας τοῖς προτέροις. κενεαῖς χερσὶν ἀμηχανῶν. ἤτοι ἐν ἀπορίᾳ γενόμενος μὴ δυνηθεὶς νικῆσαι τὸν ἔρωτα, ἀπῆλθε. συμπαίζει γὰρ ὁ Γανυμήδης τῷ ἔρωτι. Ἐπιπλομένην. ἀντὶ τοῦ ἐπελθοῦσαν, ἢ πελασσομένην ἐνταῦθα.

7 Τίπτ' ἐπιμειδιάας. τί γελᾷς κακὸν μέγα παρὰ ἄρρητον.

ἄρρηκτον. ἢ αὐτὸν ματαίως ἐξηπάτησας καὶ περὶ πελα-
γίου. οὐδὲ δικαίως αὐτοῦ περιεγένου. ἀλλὰ περὶ πελα-
γίου ἄπειρον αὐτὸν ὄντα. Ἀδρήστεια. αὕτη τροφὸς
Διός. Καλλίμαχος. Σὲ δὲ κοίμησεν ἀδρήστεια ἀδελ-
φὴ κουρήτων. Ἄντρῳ ἐν ἰδαίῳ. ἢ τῷ τῆς κρήτης, ἢ τῷ
τῆς τροίας. ἀντιποιοῦνται γὰρ καὶ τρῶες τῆς τοῦ Διὸς γενέσε-
ως, καθά φησι δημήτριος ὁ σκήψιος. Κύκλα. κύ-
κλα λέγει τοὺς ῥόμβους, κυκλώματα. ἰωνικῶς δὲ
τὰ κύκλα, ἀντὶ τοὺς κύκλους. ὡς λύχνα καὶ δίφρα.
ἀψῖδες δέ, αἱ ῥαφαί. περιηγέες δέ, περιφερεῖς, πε-
ρίδρομοι. Ἑῶς. ἔστι τέως εἰπεῖν. Ὁλκόν. νῦν τὴν
διαδρομὴν τοῦ ἀστέρος λέγει. Θέλξον ἀντὶ τοῦ λῦσον
τὴν ψυχήν. Ἀμβολίαν. τὴν βραδυτῆτα. ἀφαυρο-
τέρη, ἐλάσσων. μείλια, τὰ παίγνια, δι' ὧν οἱ παῖδες
μειλίσσονται. ὅμηρος ἐπὶ τῶν ξενίων. ἐγὼ δ' ἐπιμείλια
δώσω πολλὰ μάλα. Ἀγανοῖσιν. οὕτω τὸ ἑξῆς. ἡ δὲ
ἐπειρύσασα παρειὰς κύσε περιπτυχομένη περιλαβοῦ-
σα καὶ ἁπτομένη ἀγανοῖς μύθοις ἀμείβετο μειδιόωσα.
ἐνισκίμψῃς. ἐνεργήσῃς, ἐμβάλοις. Βῆ δὲ δ' ἐκ μεγά-
ροιο. διὰ τούτων τῶν στίχων παραγράφει τὰ εἰρημένα ὑπὸ
ἰβύκου, ἐν οἷς περὶ τοῦ γανυμήδους ἁρπαγῆς εἶπεν. ἐπὶ
τῇ εἰς γοργίαν ᾠδῇ. καὶ ἐπιφέρει περὶ τῆς ἠοῦς ὡς ἥρ-
πασε τιθωνόν. Ἐν αἰθέρι. ἀντὶ τοῦ ἐν αἰθέρα.

8 Ἑῆς ἔστιν εἰπεῖν ἢ σφῆς, ἵν' ᾖ τοῦ ἑαυτοῦ. τὸ μὲν γὰρ
σφῆς, τοῦ ἑαυτῶν. τὸ δὲ ἑῆς τοῦ ἑαυτοῦ. Ξυνὴ γὰρ χρειώ.
κοινὴ γὰρ ἡ χρεία καὶ οἱ λόγοι. Ὁ δέ, σῖγα νόον. ὁ δὲ
κατὰ σιγὴν πράττων καὶ ἐν ἑαυτῷ κρύπτων τὸ συμ-
φέρον, ὅπερ τὴν σωτηρίαν ἡμῶν παρέχεται.

μείλιον

9 Σφέτερον κτέρας. οὐκ ὀρθῶς τὸ σφέτερον. ἔστι γὰρ τρίτου προσώπου πληθυντικὸν καὶ ἁμαρτάνει. ἔστι γὰρ ἑνικὸν καὶ οὐ πληθυντικὸν, ἀποχωρεῖσθαι ἑὸν κτέρας. Λωΐτερον, ἀντὶ τοῦ λῷον συγκριτικόν. τὸ δὲ λωΐτερον παρῆκται διὰ τὸ μέτρον. ὅδε καὶ ποτὲ ἀπὸ ὀξείας τὴν πρώτην συλλαβὴν, κατὰ ἀναφορὰν γὰρ λέγεται ἐπὶ τοῦ αὐτοῦ. τὸ δὲ ἑξῆς. ὅδε καὶ ποτὲ Φρίξον ἐδέκτο πάρος φεύγοντα θυηλάς. Ἐπὶ θρωσμοῦ πεδίοιο. τοῦ ὑπερκειμένου τοῦ ποταμοῦ τόπου, ὅπου ἐστὶ θορεῖν καὶ πηδῆσαι ἀπὸ τῆς νεώς. Κιρκαῖον πεδίον ἀπὸ Κίρκης. Τὴν δὲ Κίρκην τινὲς μὲν αὐτοῦ ἀδελφὴν, τινὲς δὲ θυγατέρα φασὶν εἶναι. ταύτην Διονύσιος ὁ Μιλήσιος ἐν πρώτῳ τῶν Ἀργοναυτικῶν, θυγατέρα αὐτοῦ καὶ Ἑκάτης τῆς Περσέως, ἀδελφὴν Μηδείας λέγει. Ἡλίῳ γάρ φησιν υἱοὺς γενέσθαι δύο ἐν τοῖς τόποις ἐκείνοις, οἷς ὀνόματα ἦν, Περσεὺς καὶ Αἰήτης. τούτους δὲ κατασχεῖν τὴν χώραν. καὶ Αἰήτην μὲν Κόλχους καὶ Μαιώτας. Περσέα δὲ τῆς Ταυρικῆς βασιλεῦσαι. καὶ γῆμαι γυναῖκα τῶν ἐγχωρίων τινὰ, καὶ γενέσθαι αὐτῷ θυγατέρα, ᾗ ὄνομα Ἑκάτη. οἱ δὲ ἐκ νύμφης τινὸς ἐγχωρίας τὴν Ἑκάτην φασὶν αὐτῷ γενέσθαι ἀνδρικὴν περὶ τὰ κυνηγετικά. καὶ πρώτην θανασίμους ῥίζας εὑρεῖν, καὶ ἐμπειροτάτην τὴν πονηρίαν τῶν τε δηλητηρίων, καὶ τῶν ἰᾶσθαι δυναμένων, καὶ τὸν ἑαυτῆς πατέρα φαρμάκοις ἀποκτεῖναι. Ταύτην γήμασθαι πεμφθεῖσαν εἰς Κόλχους Αἰήτῃ τῷ πατραδέλφῳ, ἀφ' ἧς γενέσθαι Κίρκην καὶ Μήδειαν. τὴν δὲ Κίρκην πρεσβυτέραν οὖσαν ὑπερβαλέσθαι τὴν ἑαυτῆς μητέρα. τὰ μὲν, διακούσασαν περὶ αὐτῶν. τὰ δὲ, καὶ αὐτὴν

τὴν

τὴν ἐφευρηκυῖαν πολλὰ καὶ δεινά. μήδειαν δὲ νεωτέραν μὲν κίρκης, οὐχ ἡττωμένην δὲ αὐτῆς. ταῦτα μὲν οὗτοι. ἡσίοδος δέ φησι τὴν κίρκην τοῦ ἡλίου θυγατέρα εἶναι ἐν τοῖσδε τοῖς ἔπεσι. Κίρκη δ' ἠελίου θυγάτηρ ὑπεριονίδαο τίκτεν ὀδυσσῆϊ ταλασίφρονι ἐν φιλότητι Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε. Τῶν καὶ ἐπ' ἀκροτάτων. τὰ τῶν ἀρσένων σώματα, οὐ θέμις κόλχοις οὔτε καίειν οὔτε θάπτειν. βύρσαις δὲ νεβοαῖς εἱλοῦντες ἐκρέμων τῶν ἀρσένων τὰ σώματα. τὰ δὲ θήλεια τῇ γῇ ἐδίδοσαν, ὥς φησι νυμφόδωρος, ᾧ ἠκολούθησε. σέβονται δὲ μάλιστα οὐρανὸν καὶ γῆν. Ἦ γάρ κε δίκη θεσμοῖο. ἀντὶ τοῦ οὕτως ὁ τρόπος τοῦ νόμου. Τεθνηῶτες ἕρκε' ἄνακτος. τὴν ὀχύρωσιν τῆς οἰκήσεως. τῶν οἰκημάτων τὴν ἀσφάλειαν. Χαλκείαις ἐπελυφίδεσσιν. τοῖς χαλκοῖς ῥεύμασιν, ἢ χαλκοῖς κιονοκράνοις. Ἐλάχηνεν. ὤρυξεν, ἔσκαψεν. καταστρέφει δὲ εἰς τὸ κατεσκεύασεν. Θυώδεϊ νᾶεν. ἀρώμασι μεμιγμένον ὕδωρ ἔρρει ἢ οἶνον δεύτερον ἔλαιον.

10 Ἠδ' ἄρ' ὕδωρ προρέεσκε. ὁ ἀπολλώνιος κατὰ τὴν πλειάδων δύσιν λέγων τὴν κρήνην θερμὸν ῥεῖν, κατὰ δὲ τὴν ἐπιτολὴν ψυχρόν, οὐ προέστησεν εἰλικρινῶς τὸν καιρόν. δύο γάρ εἰσιν ἐπιτολαὶ τῶν ἀπλανῶν ἄστρων καὶ δύο δύσεις. ἑῴα μὲν ἐστὶν ἐπιτολή, ὅταν ἔξω τῶν αὐγῶν τοῦ ἡλίου πρῶτον ἵστηταί τι ἄστρον, καὶ πρὸ αὐτοῦ ἀνατέλλον ὀφθῇ. ἑῴα δὲ δύσις, ὅταν ἡλίου πρὸς τὴν ἀνατολὴν ὄντος ὁραθῇ τι ἄστρον περὶ τὰς δύσεις ὕστερον δῦνον, τῶν, ὅσα κατ' ἐκείνην τὴν νύκτα δύεται.

Ἑσπερία δὲ ἐπιτολή, ὅταν δύνοντος ἡλίου ὁραθῇ τι ἄστρον ἐπὶ τῆς ἀναφορᾶς πρῶτον, τὸ ὅλον κατ' ἐκείνην τὴν νύκτα ἀνίσχει. ἑσπερία δὲ δύσις λέγεται, ὅταν ἡλίου δύνοντος ἄστρον ὁραθῇ τι πρὸ τῶν ἄλλων ἐγκαταδῦνον αὐτοῦ, ὡς ἂν ὑπὸ ταῖς αὐγαῖς τοῦ ἡλίου γίνηται. ὁ δὲ ὑπὸ ταῖς αὐγαῖς χρόνος πᾶς κρύψις ὀνομάζεται. Αἱ δὲ πλειάδες, πληϊόνης τῆς ὠκεανοῦ καὶ ἄτλαντος, ὥς μέν τινες ἀπὸ τῆς μητρὸς ἔχουν τὴν ἐπωνυμίαν. ἢ μᾶλλον παρὰ τὸν πλειῶνα, ὅ ἐστιν ἐνιαυτός. σημαντικαὶ γὰρ αὗται καὶ χειμῶνος καὶ θέρους. αὗται δὲ τὴν ἐναντίαν ἀεὶ πορείαν ποιοῦνται τῷ ὠρίωνι. ὠρίων αὐτῇσι γάρ ποτε λέγεται τῇ πληϊόνῃ μετὰ τῶν θυγατέρων κατὰ τὴν βοιωτίαν, καὶ εἰς ἔρωτα ταύτης ἐκπεσὼν, ἐδίωκεν. ἡ δὲ ἔφευγεν. γενέσθαι δὲ τὸν δρόμον αὐτῶν φασι διάλειπτον, καὶ οὕτω καταστερισθῆναι τὰς πλειάδας τὸν ὠρίωνα φευγούσας. ὅτι δὲ χαλκόποδες οἱ ταῦροι, καὶ πῦρ πνέοντες, καὶ φερεκύδης φησί. Πρὸς δὲ καὶ αὐτόγυον. δύο ἀρότρων εἰσὶν εἴδη. τὸ μὲν, πηκτόν. τὸ δὲ, αὐτόγυον. πηκτὸν μὲν, τὸ ἐκ συμβολῆς ἔχον τὸ ἔλυμα. ἔστι δὲ τὸ ἔλυμα ἐν ᾧ ὁ ὕνις ἐντίθεται. τὸ δὲ ξύλον τὸ ἀπὸ τοῦ ἐλύματος τεῖνον ἐπὶ τοὺς βόας γύης καλεῖται. τὸ δὲ ἀπὸ τοῦ γύου ἱστοβοεύς. τὸ δὲ ζυγοῦ τὰ ἐπὶ τοὺς αὐχένας τῶν βοῶν ἐπιθέμενα, οἱ μὲν, ζεύγλας, οἱ δὲ, μέσαβα λέγουσι. τοιοῦτον μὲν τὸ πηκτόν. αὐτόγυον δέ ἐστιν, οὗ τινος τὸ ἔλυμα οὐκ ἔστιν ἐκ συμβολῆς. τὴν δὲ κατασκευὴν τῶν ἀρότρων, ἐρατοσθένης ἐν τῷ ἀρχιτεκτονικῷ καταγράφει. Ηλασεν ἠελίῳ. πέπλασται ὁ μῦθος

διά

διὰ τὴν τῶν ποδῶν χωλότητα. οὐ μὴν τοι πιθανῶς. μείζονα γὰρ εἶχεν δύναμιν τῶν πάντων, δι' ἧς αὐτὸν ἐξέτρεψεν ἄν. ὁ μέν τοι ἀπολλώνιος αἰτίαν ἀποδέδωκε, δι' ἣν ὁ ἥφαιστος κατεσκεύασε τῷ αἰήτῃ ῥύσια τε χαλκώνυχας ταύρους, καὶ τὸ ἄροτρον. ὅτι δὲ δυνατὸς ἦν ἥφαιστος, ὅμηρος ἔδειξεν ἐπὶ τοῦ ξάνθου τοῦ ποταμοῦ.

Φλεγραίη. φλέγρα πεδίον θράκης ἡ παλλήνη, ἔνθα οἱ θεοὶ τοὺς γίγαντας ἐπολέμησαν. Μέσσαυλος. τὸ μέσον τῆς αὐλῆς, ὅπου τῶν βοῶν αἱ στάσεις, μέσαυλον δὲ οἱ ἀττικοὶ τὴν φέρουσαν εἴς τε τὴν ἀνδρωνῖτιν καὶ γυναικωνῖτιν. Δαιδαλέη δ' αἴθουσα. στοὰ καὶ ποικίλη ἦν ἑκατέρωθεν τῆς οἰκίας λέγεις. ἐκ πλαγίου δὲ τῆς αἰθούσης, ὑψηλότεραι ἦσαν οἰκοδομαί, ὅ ἐστι πύργοι. Τὸν μὲν καυκασίη. ὁ τὰ ναυπακτικὰ πεποιηκώς, εὐρυλύτην αὐτὴν λέγει. διονύσιος δὲ ὁ μιλήσιος, ἑκάτην μητέρα μηδείας καὶ κίρκης ὡς προείρηται. Σοφοκλῆς νεαίραν μίαν τῶν νηρηΐδων. ἡσίοδος δὲ ἰδυῖαν. Αἰήτης δ' υἱὸς φαεσιμβρότου ἠελίοιο, γῆμε θεῶν βουλῇσιν ἰδυῖαν καλλιπάρῃον. ἐπιμενίδης δέ φησι κορίνθιον τὸ γένει τὸν αἰήτην, μητέρα δὲ αὐτοῦ ἐφύραν φησί. διοφάνης δὲ ἐν τῇ α΄, τῶν ποντικῶν ἱστοριῶν, ἀντιόπην φησὶν αἰήτου μητέρα. πρεσβύτερον δέ φασι τὸν ἄψυρτον μηδείας γενέσθαι αἰήτῃ ἐξ ἀστεροδείης τῆς ὠκεανοῦ καὶ τηθύος θυγατρός. Ἐκτοθι πᾶσι. ἀντὶ τοῦ ἐκτὸς, ἵνα τὸ εἰς τόπον σημαίνῃ. Ὑψοῦ χάρματι. ἔστι ὑψόσε. τὸ γὰρ ὑψοῦ τοῦ ἐν τόπῳ δηλωτικόν ἐστι. τὸ δὲ ὑψόσε τοῦ εἰς τόπον. ὅμηρος, ὑψοῦ ἐπὶ ψαμάθοιο.

11 Οὐκ ἄρ' ἔμελλον. ἀφροντίστως με καταλιπόντες, ὅμως οὐκ ἐμέλλετε μακρὰν πορεύεσθαι. ὑποστρέψαι γὰρ ὑμᾶς ἡ μοῖρα πεποίηκε. Τηλόθι. κἀνταῦθα ἀντὶ τοῦ τηλόσε. ἐκ τόθεν ἄτης, ἀντὶ τοῦ ἔκ τινος βλάβης. Ὀρχομενοῖο. καὶ ἑλλάνικος φησὶ τὸν ἀθάμαντα ὀρχομενὸν ᾠκηκέναι. Ἣν μητέρα, ἀντὶ τοῦ ὑμετέραν. Πολιόν. τὸ διαφανές. Τετρηχὼς, ὁ δεδαμασμένος. Οἶστρος. διαφέρει οἶστρος μύωπος. ὁ μὲν γὰρ μύωψ ἀπογεννᾶται τῶν ξύλων. ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζωαρίων. τὸ δὲ τέλλεται, κατὰ ἀφαίρεσιν ἐστὶ τοῦ σ, ἀντὶ τοῦ στέλλεται. Ὀξέα δενδίλλων. ἀντὶ τοῦ συστρέψας ἑαυτὸν καὶ ἀποκαλύψας ὀξέως περιεπιστρεφόμενος καὶ εἰς αὐτὸν τοῖς ὀφθαλμοῖς ἐπινεύων. ὅμηρος δὲ ἐπὶ τοῦ στρέφειν τέθεικε τὴν λέξιν. τὸ ἐν τῇ στροφῇ τοῦ προσώπου περικλίνοντα τοῖς ὀφθαλμοῖς ἐπινεύειν, καθάπερ ἀπολλόδωρός φησι. σοφοκλῆς δὲ ἐπὶ τοῦ παραβλέπειν τέθεικε τὴν λέξιν. Ἀμαρύγματα. τὰς λαμπάδας τῶν ὀφθαλμῶν λέγει. Καὶ οἱ ἄηται. πνοὴν ἔπεμπον, ἢ μετεωρίζονται.

12 Ὡς δὲ γυνή. καὶ ὅμηρος. Ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ. Ἄγχι μάλ' ἐγρομένη. ἀντὶ τοῦ ἐγγύς. τίθεται δὲ καὶ ἐπὶ χρόνου. μένανδρος. ἔπη μὲν ἔναγχος, ἀντὶ τοῦ νῦν, ἢ ἀντὶ τοῦ ταχέως. Εἰλυόμενος. κεκαλυμμένος, οἷον κεκρυμμένος. εἰς ὃ τὸ πῦρ καταστρέφει. Ἀκηδείῃσι. ταῖς πολυκηδείαις. τουτέστι ταῖς λύπαις. Σφετέρης. ἀντὶ τοῦ ἰδίας. Ἠέ τις ἄτη. εἰ δὲ κακόν τι ὑμᾶς ἐνεπόδισε κατὰ τὸν πλοῦν. τὸ δὲ ἐνέκλασε, κατὰ μεταφορὰν ἐνεπόδισε.

Κίρκην

Κίρκην ἑσπερίης. ἠκολούθησεν ἀπολλώνιος τοῖς κατὰ τὸ τυρσηνικὸν πέλαγος ὑποτιθεμένοις τὴν ὀδυσσέως πλάνην. ὧν ἀρχηγὸς ἡσίοδος καθωκηκέναι λέγων κίρκην ἐν τῷ προειρημένῳ πελάγει. Ἑσπερίης εἴσω χθονός. περὶ τὴν ἰταλίαν ᾤκησεν ἡ κίρκη, ὅθεν ὄρος κιρκαῖον ἀπ' αὐτῆς πολυφάρμακον. φησὶ δὲ ἀπολλώνιος ἡσιόδῳ ἑπόμενος ἐπὶ τοῦ ἅρματος τοῦ ἡλίου εἰς τὴν κατὰ τυρρηνίαν κειμένην νῆσον τὴν κίρκην ἐλθεῖν. ἑσπερίαν δὲ αὐτὴν εἶπεν, ἐπεὶ πρὸς δυσμὰς κεῖται. Ποτὶ ξερόν. ἤγουν τὸ ξηρόν, ἀπὸ τοῦ ὑγροῦ τῆς θαλάσσης. ἡ δὲ ποτὶ πρόθεσις, παρὰ μὲν δωριεῦσι πρὸς, παρ' ἡμῖν δὲ καὶ ἴωσιν εἴληπται ἀντὶ τῆς παρά. ὅμηρος. ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ. καὶ ἡ δωρικὴ παροιμία. τὸν λίθον ποτὶ τὸ σπάρτον ἄγοντες. Νήσοις ἧς. καὶ τὸ ἑξῆς ἤγουν πλήθους. ἔστι μὲν ἑνικόν. ἔδει δὲ εἰπεῖν σφετέρης. Σφωιτέρη. καὶ ὡς εἶπεν ἀντὶ ἑνικοῦ, ἔστι τὸ δυϊκόν. ὁ δὲ ἰάσων ἀπὸ αἰόλου τὸ γένος κατάγει, ὡς ἑλλάνικος.

13 Στεῦται ἀμειλίκτοιο. ὁ νοῦς. ὁρίζεται δὲ ὅτι ἀπ' αἰόλου οὐκ ἐκφεύξεσθαι τὸν ἀνεξίλαστον χόλον τοῦ διός. οὐδὲ τὸ μίασμα καὶ τὴν φρίξου ποινήν, πρὶν τὸ κῶας εἰς τὴν ἑλλάδα κομισθῆναι. τὸ δὲ ἑξῆς. στεῦται δ' αἰολιδῶν γενεὴν οὐχ ὑπαλύξειν ἀμειλίκτοιο διὸς μῆνιν καὶ χόλον, πρὶν εἰς ἑλλάδα ἱκέσθαι. Τάων. τῶν κολχικῶν, κακίστης ἐτυχόμεν νηός. Ἐπικύρσαμεν, ἐνετύχομεν, ἤλθομεν, ἀθρόως. αὐτῷ ἀντὶ τοῦ σοί. Δίηθεν. παρέλκει τὸ δίηθεν. εἰ δὲ προαιρῇ φησὶν ἑκάστου γνῶναι τὴν γενεὰν καὶ οὔνομα πάντα διείπωμι. Οἷόπερ. οὗ τινος χάριν.

14 Οὕτω κεν γνωτός. ἀντὶ τοῦ συγγενής. ἢ ἀνεψιαδοῦς δὶς ἐξάδελφος. Κρηθεὺς καὶ Ἀθάμας ἀδελφοὶ αἰόλου παῖδες. Κρηθέως Αἴσων, Αἴσονος Ἰάσων. Ἀθάμαντος δὲ Φρίξος, οὗ ἄρχεται. Ηερέθονται. μετεωρίζονται τῷ νῷ χολουμένῳ, ἀντὶ τοῦ οἰδαίνονται, ἐφυσιοῦνται. αὐτίκα ἀντὶ τοῦ νῦν. ἐν δὲ τῷ νέεσθαι ἀπὸ κοινοῦ τὸ ἔολπα. Ἄλλως. ἐν δὲ τῷ αὐτίχ' ὁμαρτήσαντες, προσεκτέον ὅτι ἀσαφῶς εἴρηται. ἴσως οὖν αὖθις ἀντὶ τοῦ αὐτίκα ῥητέον. Ἑλλάδα ἀντὶ τοῦ ἀφ' Ἑλλάδος ἐφ' Ἑλλάδα. ἤγουν, οὐκ ἄφαρ ὑποστρέψετε εἰς Ἑλλάδα. ἢ στείξαντες εἰς τὴν Ἑλλάδα τελείαν τὸ ἑξῆς ὑποφέρειν δεῖ οὐκ ἐθέλω κῶας δεῦρο νέεσθαι. μετὰ τὰ σκῆπτρα δὲ καὶ τὴν βασίλειον τιμήν, ὥστε οὐ γραπτέον οὐδ' ἐθέλω κῶας, ἀλλ' οὐκ μετὰ κῶας. οὐδὲ σκῆπτρά τε, ἀλλὰ σκῆπτρα δέ. οἱ δὲ σχολιογράφοι ἐοίκασιν ἄλλῃ τινὶ γραφῇ ἐντυχεῖν. φασὶ γὰρ ἀπὸ κοινοῦ νοεῖσθαι τὸ ἔολπα. οὐδαμοῦ δὲ εἴρηται τὸ ἔολπα.

15 Αἰήτῃ, χρέο μοι. ὦ Αἰήτη, ἐπίσχες ἢ ἀνάσχου μοι περὶ τούτου τοῦ στόλου. Οὐδὲ μὲν ἱέμενοι. οὐδὲ ἐφιέμενοι τῆς σῆς βασιλείας. Σφωιτέροισι. κακῶς τὸ σφωιτέροισιν ἐχρήσατο. ἔδει γὰρ εἰπεῖν τεοῖσι. τὸ δὲ ἔσκεν ὁμηρικῶς. Πειρήσαιτο βίης. πεῖραν λάβοι τῆς ἰσχύος τῶν ἡρώων. Ὑπερβασίην. κακῶς τὸ ὑπερβασίην. κεῖται γὰρ πρὶν ἢ καταλῆξαι τὸν ἕτερον λέγοντα. τὸ δὲ δηνεκέως ἀγορεύεις, ἀντὶ τοῦ μακρηγορεῖς. Ἑλλάδι κοιρανέοντα, τὸν Πελίαν λέγει. Τὸ δὲ ἄνω ῥηθὲν μεγαίρω, ἀντὶ τοῦ οὐ φθονῶ ὑμῖν ὡς ὁ Πελίας. πεῖραν δὲ λαβὼν τῆς σῆς ἀνδρείας, προέξω τὸ δέρας, οὐ γὰρ φί

λον

λον μοι τὸ φθονεῖν. Ὀλοόν. τὸ ἄθλον. Δοιώ μοι πέδιον. καὶ ἀντίμαχος ἐν τῇ λυδῇ ἡφαιστοτεύκτοις τοὺς ταύρους ἀπεφήνατο. Στυφελήν. τραχεῖαν. πεντηκοντόγυον φησὶ φερεκύδης ἐν τῇ ἕκτῃ.

16 Σπόρον. πυρόν. Ὄλκοισι. ταῖς ἐν χαράξεσιν. ἑλκομένου γὰρ τοῦ ἀρότρου, ἡ γῆ διαρρήγνυται. Δηΐους, δήμιος. Κείρω. κτείνω. Περισταδόν. περιεστῶτας ἢ ἐναντιουμένους, ἢ διζισοῦντας. Πάρος. νῦν ἐπὶ τόπου τὸ πάρος. κεῖται δὲ ἐπὶ χρόνου. Περιώσιον ἔργῳ. ὁ νοῦς. λίαν με τοῦ δικαίου ἐγκλείεις, συνέχεις. διότι ἐγὼ καίπερ ὑπερφέροντα τῇ βίᾳ τὸν ἄθλον ἐπίσταμαι μέχρι θανάτου. ἀρσενικῶς δὲ εἶπε τὴν μοῖραν μόρον. Οὐ γὰρ ἔτ' ἄλλο. οὐδὲν γὰρ ἀνθρώποις χεῖρον ἀνάγκης, καθ' ἣν ἀφίεμεθα πρὸς σὲ βιασθέντες ὑπὸ τοῦ βασιλέως. Μετελθεῖν. ἡ μετὰ ἀντὶ τοῦ πρός. πρὸς ἀμείνονα φῶτα ἐλθεῖν.

17 Ἀπηλεγέως. ἀποτόμως. τὸ μεσηγύς. αἰτίας ἀποδοτικόν. δηλονότι κατόπιν ἐκείνου ἐπορεύετο ὁ ἄργος. διότι φησὶν ἔνδον τοῖς ἀδελφοῖς αὐτοῦ ἔτι λιπέσθαι, καὶ μεῖναι ἐν τῇ οἰκίᾳ. οἱ δ' ἤδη ἐξῆλθον. οἱ περὶ ἰάσονα δηλαδή. Σχομένη θηεῖτο. ἔχουσα δὲ τὰ ὄμματα ἐπ' αὐτοῦ λοξὰ παραθεμένη τὴν λιπαρὰν καλύπτραν ἐθαύμαζε. ἐπ' αὐτοῦ δὲ ὄμματα. ἐπ' αὐτοῦ δὲ ἡ μήδεια λοξὰ τὰ ὄμματα ἔχουσα θηεῖτο παραθεμένη τὴν καλύπτραν. Κῆρ ἄχει. τῇ λύπῃ τὴν ψυχὴν καιομένη καὶ ἀλίσκουσα. Νόος δέ οἱ. ὁ νοῦς. τοῦ δὲ νῷ ἀνεθεώρει τὸν ἰάσονα, οἷον καθάπερ ὀνείρῳ μετέωρος ἐπορεύετο κατὰ τὰ ἴχνη τοῦ ἰάσονος.

18 Πρὸ πρὸ δ' ἄρ. ἐμφαντικῶς καὶ προθέσεις τὴν συνεχῶς αὐτοῦ ἀλλοτριοῦσαν τοῦ νῷ ἐμφαίνουσι καὶ παρ' Ὁμήρῳ. προπροκυλινδόμενος. Ὀδύρετο δ' ἤϋπε. ἐθρήνει δὲ αὐτὸν ὡς ἤδη τεθνηκότα. ἐλέῳ δὲ συνεχομένη ἔκλαιεν ἐπ' αὐτῷ λυπουμένη. Εἴθ' ὅτι. τὸ εἴτε οὐ πρὸς τὸ φθίσεται, ἀλλὰ πρὸς τὸ προφερέστατος ἀναφέρειν δεῖ, ἵν' ᾖ, εἴτε ὅτι προφερέστατος τῶν ἡρώων φθίσεται, εἴτε χείρων, ἤγουν χείριστος. κεῖται γὰρ τὸ συγκριτικὸν ἀντὶ ὑπερθετικοῦ. Ἐῤῥέτω. φθειρέσθω. ἢ ὤφελε χωρισθῆναι ἀπαθὴς μηδενὸς παθῶν. τοῦτο γὰρ σημαίνει τὸ ἀκήριος. Πότνα θεὰ περσηΐ. περσηΐδα τὴν ἑκάτην λέγει, ὡς τοῦ πέρσεως θυγατέρα. τινὲς δὲ αὐτήν φασι διὸς εἶναι παῖδα. ἐν δὲ τοῖς ὀρφικοῖς δήμητρος γενεαλογεῖται. καὶ τότε δὴ ἑκάτην δηὼ τέκεν εὐπατέρειαν. βακχυλίδης δὲ νυκτός φησιν αὐτὴν θυγατέρα. ἑκάτα δᾳδοφόρε νυκτὸς μεγαλοκόλπου θύγατερ. μουσαῖος δὲ ἀστερίας καὶ διός. φερεκύδης δὲ ἀρισταίου τοῦ παίονος. Οὕνεκεν. ὅτι οὐκ ἐπιχαίρω ἐσῶ κακοῖς. ὁ δὲ λόγος ἐρωτικός. Ἐόληρ. ἐτετάρακτο καὶ ἐν ἀγωνίᾳ ἦν. ὑπέρβατόν ἐστι. τὸν δὲ ἰάσονα ὁ ἄργος προσέειπεν. Εἰκάτης. εἰς ἣν καὶ φαρμακίδες ἀναφέρονται. Ἀντιβολήσων. συναντήσων. καταστρέφει δὲ εἰς τὸ κοινολογήσομαι, συν

19 Ὦ πέπον. ὦ γλυκύτατε, ἠδύτατε, (ἰάξομαι. προσφιλέστατε, ἐπεὶ καὶ ὁ πέπων μελίχρους. Παρεόντα σε. τὸν ἰάσονα καὶ τοὺς σὺν αὐτῷ. Ἀντικρύ, φανερώτατα, ἐναντιώτατα. Διειρομένοισι. διερευνῶσιν ἢ λέγουσιν. ὅτι ὁ νοῦς ἐναντίως ἡμῖν ἔχει. οὐ γάρ ἐστι τελεσθησόμενον). οὔτε ἐμοὶ λέγοντι οὔτε ὑμῖν ἐρευνῶσι.

τὰ ἰθύπταστόμενα. Ἐφίετο, ἐνετείλατο. Ὁ δὴ νῦν δὴ. τὸ ἑξῆς. ὅπερ αὐτῷ τότε συντόμως ὑπεσχόμην. οὐκ ἦν γὰρ ἄλλο τί σκέψασθαι βέλτιον. Ἀνήνυτος. δυσκατόρθωτος. Πεφυλαγμένος ἐντύναιο. φυλάττων τὴν ὑπόσχεσιν παρασκευάζου. ἐντύνω γὰρ τὸ παρασκευάζω. Εἴη κακὸν τὸ ἑξῆς. ἔτι ῥυγάς ἐστι προσώπου. ἐσθὴς ὀσμήν. Οὐ γὰρ ἔγωγε. ἀντὶ τοῦ ἐγὼ οὐκ ἀνέξομαι. τί γὰρ πλέον ἢ θανάτος με περιμένει. ὁ μὲν ἀπολλώνιος ρύριος φησὶ προαιρεῖσθαι ζεῦξαι τοὺς βόας. ὁ δὲ τὰ ναυπακτικὰ γράψας πάντας ἀριθμεῖ τοὺς ὑπ' αὐτοῦ φερομένους ἀριστεῖς.

20 Ἀλλά τιν' οἴω. δύναται φησὶν ἡ μήτηρ ἡ ἐμὴ πεῖσαι τὴν μήδειαν συνεργῆσαι τὸν ἄθλον. ἐν δὲ τοῖς ναυπακτικοῖς ἴδμων ἀναστὰς, ἰάσονα κελεύει ὑποστῆναι τὸν ἄθλον. Δάειρ, αὐτὶ τοῦ ἐδίδαξε. Νήχυτον ὕδωρ. τὸ πολύχυτον. τὸ γὰρ νη, καὶ στέρησιν σημαίνει, καὶ ἐπίτασιν. καὶ ἄχυντον ὕδωρ τὸ πολὺ κατὰ ἴωνας καὶ σικελιώτας. διονύσιος. πλαζομένοισι ἵνα λύσαιν ἄχυντον ἦκα θαλοῦσα.

21 Ἀστράπτει καὶ μήνης. τὸν παραδεδομένον μῦθον λέγει ὡς αἱ φαρμακίδες κατάγουσι τὴν σελήνην. τινὲς δὲ καὶ τὰς ἐκλείψεις ἡλίου καὶ σελήνης καθαιρέσεις ἐκάλουν τῶν θεῶν. τὸ παλαιὸν ᾤοντο αἱ φαρμακίδες τὴν σελήνην καὶ τὸν ἥλιον καθαιρεῖν. διὸ καὶ μέχρι τῶν δημοκράτους χρόνων πολλοὶ τὰς ἐκλείψεις καθαιρέσεις ἐκάλουν. σωσιφάνης ἐν μελεάγρῳ. Μάγοις ἐπῳδαῖς πᾶσα θεσσαλὶς κόρη, ψευδὴς σελήνης αἰθέρος καταιβάτις. Τάχα. τὸ τάχα ἐν δισταγμῷ κεῖται τινὲς δὲ καὶ ἀντὶ τοῦ ταχέως. ἀπολλόδωρος φησὶν ἐν τῷ περὶ

θεῶν, ὅτι ἡ περιστερὰ ἱερὰ ἀφροδίτης, διὸ καὶ λάγνον. παρὰ γὰρ τὸ περισσῶς ἐρᾶν λέγεται. Κέαρ δέ μοι. ὡς δὲ ἡ ψυχή μου προορᾶται, οὕτως γένοιτο.

22 Μεμαώς. ἀντὶ τοῦ ὀργιζόμενος νῦν. οὐ γὰρ ἐπὶ κακοῖς τις πρόθυμός ἐστι.

23 Στεῦτο. ἀπὸ κοινοῦ τὸ στεῦτο. Ἀποφλύξωσιν. ἀντὶ τοῦ ἐκφυσήσωσιν. καταστρέφει δὲ εἰς τὸ ἐκπνεύσωσιν, ἔνθεν καὶ ὁ φλύαρος. οὐδέ τι δέχθαι. λείπει τὸ ὑπέμεινεν. Εἰ μή οἱ Ζεὺς, ἄγγελον φησὶν ἑρμῆν ὑπὸ διὸς πεμφθῆναι, κελεύοντα δέξασθαι τὸν φρίξον, ἵνα τὴν αἰήτου θυγατέρα γήμῃ. ὁ δὲ τὸν αἰγίμιον νικήσας διὰ τὸ δέρας αὐτὸν αὐθαιρέτως φησὶ προσδεχθῆναι. λέγεται δὲ ὅτι μετὰ τὴν θυσίαν ἀγνίσας τὸ δέρας οὕτως ἔστειχεν εἰς τοὺς αἰήτου δόμους τὸ κῶας ἔχων. Ὥσπερ προσκηδέος. ὅπως ἂν εὐμενοῦς ἀντιάσειεν ὁ φρίξος τοῦ αἰήτου. Νόσφιν δ' οἱ αὐτοῦ. μείλια τίσειν. τιμωρίαν ἀποτίσειν. χωρὶς δὲ αὐτοῦ δώσειν τιμωρίαν ἔλεγεν τοὺς φρίξου παῖδας. ῥύριος ἢ αὐτοῦ κακοὺς ἄνδρας ἐπάγειν, ὅπως αὐτοῦ τῆς βασιλείας ἐγκρατεῖς γένωνται, ὡς καὶ παρὰ τοῦ ἡλίου πατρὸς ἡλίου ἠκηκόει. ὅτι δὲ χρησμὸς ἦν αἰήτῃ δεδομένος ὑπὸ τῶν αὐτοῦ ἐγγόνων ἀπολέσθαι, καὶ ἡρόδωρος ἐν τοῖς ἀργοναύταις ἱστορεῖ. τούτων ἕνεκα καὶ τὴν ζεῦξιν τῶν ταύρων λέγει αὐτὸν προνοῆσαι. Ἀκηδής, ὁ ἀφρόντιστος, καὶ ὁ μὴ φροντίζων ἑτέρων. χρῆναι, γράφεται χρειώ. Σφωϊτέρης. κακῶς τὸ σφωϊτέρης, δυϊκὸν ἀντὶ ἑνικοῦ ἐχρήσατο. ἔδει γὰρ εἰπεῖν ἑοῖο, ἵν' ᾖ τοῦ ἑαυτοῦ τὸ δέος. λείπει τὸ ὑπελάμβανεν.

24 Τῷ καὶ ἑελδομένοις. παρατατικὸν εἴληφεν

φερ

φεν ἀντὶ ὑπερσυντελικοῦ. ἢ ἔστιν ὑπερβατὸν ἡ φράσις, τὸ λείπει τό, ὡς. τὸ δὲ ἑξῆς οὕτως ἐστί, διὸ τὸ ἰθυθυμοῦντας μακρὰν πλεῦσαι. προσεκδεκτέον τὸ ἄστρον, ὡς πατρὸς ἐναργῆ φάσματος πέμψαντος αὐτούς. Παρηγορέεσκεν. παρεκάλει, ἐφιλοφρονεῖτο. ἀμφαδά. ἀκουστά, φανερά. Κατελώφεεν. ἐκ τῶν λοιπῶν αὐτὴν κατέπαυεν ὁ ὕπνος. Σφέτερον. τὸ νῦν κακῶς τὸ σφέτερον, πληθυντικὸν γάρ ἐστιν ἑνικοῦ προσληπτικόν. ἔδει δὲ ἑὸν δόμον εἰπεῖν.

25 Σφωϊτέροις. οὐχ ὑγιῶς οὐδὲ νῦν τὸ σφωϊτέροις. δυϊκὸν γάρ ἐστιν ἀντὶ ἑνικοῦ. ἔδει τὸν εἰπεῖν ἑοῖς. Ἄμφω. ἀμφότεροι δὲ ἐπέξεψαν τῇ κόρῃ τὴν δίκην ὁμολογήσαντες ἐμμένειν οἷς ἂν δικάσῃ. Ὥς κεν ἰθύσσειεν. ὡς ἂν ταῖς διανοίαις ἰθύβαλοι. Ἔμπα. ἀντὶ τοῦ ἔμπης.

26 Ὡς δ' ὅτε τίς. ὁ νοῦς. καθάπερ ἡ νύμφη ἐκδοθεῖσα ὑπὸ τῶν γονέων ἢ τῶν ἀδελφῶν εἰς γάμον ἀπολόμενον κατά τινα μοῖραν τὸν γήμαντα πρὶν ἐπ' ἀλλήλοις τερφθῆναι διακαιομένην τὴν ψυχὴν ὑπὸ λύπης ἐν τῷ θαλάμῳ κλαίει αἰδουμένη καὶ τῶν θεραπαινίδων τὴν ἐντροπήν, ἵνα μή τις αὐτὴν μωμήσηται πρὸς τοὺς τῶν γυναικῶν. χῆρον. ἔρημον. Ἐπιστεβέωσι. χλευάζουσι. λοιδορήσωσι, μωμήσωνται. Ἐπιπρομολοῦσαι. περιττεύει ἡ ἐπὶ πρόθεσις, ὡς ἐν τῷ ἐπιβουκόλος. Ἐπέτις. ἀκόλουθος ἦν νεάζουσα. κουρίζουσα, νεάζουσα. Ἀρέσαντο, πίσυν. (δραμών. Ἵνα, ὅπου.

27 Θευμορίη. ἐκ θεῶν μεμοιραμένη νόσος περὶ ἑ-

28 Περί μοι παίδων. ὑπὲρ τῶν ἡμῶν σου ἄντω, τῶν τ'

ἐστι τετάρακται ἡ ψυχή μου, μὴ αὐτὸν σὺν τοῖς ξείνοις ὁ πατὴρ ἀποκτείνῃ. Μή σφε. μὴ αὐτόν. κατὰ ἀφαίρεσιν δὲ ἐκ τοῦ σφέας. Νέον. νεωστί. Ἀντιάσειε. παρακαλέσειε, δυσωπήσει. Σύν τε δρήστειρα ὅπως σοι ἔσω φυλάξαι ἐν τῇ ψυχῇ καὶ συνεργὸς γενέσθαι.

29 Ἀνέπτατο χάρματι. ἄνεσιν ἔσχεν αὐτοῦ ἡ ψυχὴ ἐν χαρᾷ γενομένης. πιθανῶς δὲ χαρακτηρίζει ἡμῖν τὸν ἔρωτα.

30 Εἰ ἔστι σῆς. εἴ τι σοῦ προκεῖναι μοι, ἢ τῶν σῶν παίδων. Οἴσομαι εἰς ἑκάτης. ἐν τισι φέρεται μετὰ τὸν, οἴσομαι εἰς ἑκάτης θελκτήρια φάρμακα ταύρων, καὶ ἕτερος στίχος. οἰσομένη ξείνῳ ὑπὲρ οὗ τόδε νεῖκος ὄρωρε. ἐν τισι δὲ οὐ φέρεται ὡς ἐνταῦθα.

31 Παισί τ' ἀρωγήν. τὰ ὁμολογηθέντα ὑπὸ τῆς μηδείας τοῖς παισὶν αὐτοῦ ἡ χαλκιόπη διεσάφησεν. Στυγερὸν δέος. κατὰ μετωνυμίαν εἶπεν τὸ φόβου ποιητικόν. Τοῖα παρὲξ. τοιαῦτα ἄνευ τῆς τοῦ πατρὸς γνώμης ἐπὶ τῷ ἰάσονι βουλεύσασθαι.

32 Ἀλλὰ μάλ' οὐ μήδειαν. παρέλκει τὸ μάλα. τὸ δὲ ἑξῆς. ἀλλὰ μάλ' οὐ μήδειαν ἐπέλαβε γλυκερὸς ὕπνος, δείδιεν ταύρων κρατερὸν μένος. Αἰσονίδαο πόθῳ. οὐχ ὑγιῶς τέθεικεν τὸν πόθον ἀντὶ τοῦ ἔρωτος. πόθος μὲν γὰρ ἡ ἐπιζήτησις. ὁ δὲ ἔρως ἐπιτεταμένον ἐστὶ πάθος. Δειδυῖαν. τοῦ δείδω ῥήματος παρακείμενος δείδια, ἀφ' οὗ μετοχὴ κατὰ συγκοπὴν δειδώς. τὸ θηλυκὸν δειδυῖα. Ἔθυεν. ὥρμα, ἐκινεῖτο. ἔνθεν καὶ θυιάδες αἱ βάκχαι. Ἠελίου ὥς τίς τε δόμοις. καθάπερ τις αὐγὴ ἡλίου κατ' οἶκον ἐξ ὕδατος ἀναφέρεται

πρὸς

πρὸς ῥῖχον, ὅπερ νεωστὶ κέχυται ἢ ἐν λέβητι ἢ ἐν κάδῳ, εἰς ἑκάτερα δὲ τὰ μέρη συνεχῶς κινεῖται στρεφομένη. Περὶ ὀδύνη. κατεπόνει αὐτὴν ἡ ὀδύνη καίουσα. ὅμηρος καταςμύξαι πυρὶ νῆας.

53 Ἔνθ᾽ ἀλεγεινότατον. καθ᾽ ὃν τόπον ἄλγιστόν ἐστι μέρος τῆς ψυχῆς, ὅταν ἀπαλείπῃ τις τῷ ἔρωτι κατέχηται. Ἄμεινον δὲ πιθανὸν τῷ χαρακτῆρι ἑλκομένης μὲν τῷ πάθει, λογισμῷ δὲ κρατουμένης. Ἐνεσκήψωσιν, ἐμπέσωσι. Καταφθεῖσθαι. τῷ ἔρωτι δηλαδή. Ὀτλήσειν. ὑποφέρειν τὴν ἄτην ἐσκέπτατο. Ἀχαιΐδα. ἀντὶ τοῦ θεσσαλικήν. ὅμηρος. μυρμιδόνες δὲ καλεῦντο καὶ ἕλληνες καὶ ἀχαιοί. Φάρμακα μησαμένη, λείπει τὸ δοῦναι. περιττὴ δὲ ἡ ἐπὶ πρόθεσις.

54 Τίς μῆτις. τίς δέ μοι ἔσται περὶ λογιστικὴ βουλὴ τῆς βοηθείας. Ἄμμι. ἀντὶ ἑνικοῦ τοῦ ἐμοὶ κεῖται τὸ ἄμμι. Ἐπιλλίζουσιν. ἤγουν καταμωμήσονται. κυρίως δὲ τὸ τοὺς ὀφθαλμοὺς ἤγουν κλίνειν κατὰ μωκώμενον. Καὶ οὖς. κακῶς τὸ οὖς. βέλτιον δὲ τὸ ἑούς. ἵνα ἐκ τῶν γυναικῶν ᾖ ὁ λόγος.

55 Ἤ σε φωριαμόν. νῦν τὴν κοιτίδα λέγει, σαφὲς δ᾽ ἐκ τοῦ ἐνθεμένη ἤγουν γούνασιν. ἐτυμολογεῖ δὲ τὸ φωριαμὸν ἐραρθεῖσα ἐν τῷ ἑρμῇ. Φωριαμὸν δὲ ὠνόμηναν ὅ μιν κεύθει φώριον ἄγριον, ἐκ τοῦ φωριαμὸς κικλήσκεται ἀνθρώποισιν. Ἀστεγές. ἀντὶ τοῦ πολυστεγές. τὸ δὲ α, νῦν ἤγουν ἐπιτατικόν. ὡς ἄξυλος ὕλη.

56 Τόφρα πάσαιτο. τὸ τόφρα ἀντὶ τοῦ ὄφρα κεῖται. τὸ δὲ ὄφρα ποτὲ μὲν τὸ ἵνα δηλοῖ. ὅμηρος. ὄφρα μὴ ἅπερ μοι γενεή. ποτὲ δὲ προηγούμενόν ἐστιν αὐτὸ ἀποδοτικὸν

ἔχοντο τόφρα. ὅμηρος. ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ. τὸ πάσαι τὸ ὀχυρῶς. οὐ γὰρ εἰς κόρον ἢ πύρου μετάλληψις. Ἐν ζωοῖσι. τὰ ἐν τῷ ζῆν ἀρεστὰ ἔλεγε.

37 Λήθη ἀχέων. λήθην ποιουμένη τῶν τε (ζσο. παρουσῶν λυπῶν, καὶ τῶν ἐπαυξηθησομένων.

38 Δαῖραν μουνογένειαν. τὸ δαῖραν κατ' ἔκθλιψιν ἐστὶ τοῦ ε, διὰ τὸ μέτρον. δάειρα γάρ ἐστι. λέγει δὲ τὴν περσεφόνην, ὡς δηλοῖ διὰ τὸ μουνογένειαν. νυχίαν δὲ εἶπεν, ἤτοι διὰ τὸ χθονίων βασιλεύειν. νύκτα γὰρ τὸν ἀφώτιστον τόπον φασίν. ἢ ἣν νυκτὸς οὔσης ἐξιλάσκοντο. εὔλογον γὰρ τὴν τῶν νυχίων τόπων κρατοῦσαν κατὰ τὴν τῆς νυκτὸς ὥραν ἱλάσκεσθαι. ὅτι δὲ τὴν δαῖραν περσεφόνην καλοῦσι τιμόθεος ἐν τῷ ἐξηγητικῷ συγκατατίθεται. καὶ αἰσχύλος ἐν ψυχαγωγοῖς ἐμφαίνει τὴν περσεφόνην ἐκδεχόμε.

39 Τῆς οἵην τ' ἐν ὄρεσι. τὸ ἀποφερόμενος δαῖραν. μὲν ὑγρὸν ὅπερ εἶπε τοῦ φηγοῦ. Κασπίη ἐν κόλχω. κάσπιον πέλαγος παρὰ τῷ ὠκεανῷ, παρ' ᾧ καὶ ἔθνος κάσπιον ὅμορον πέρσαις. ἔχει δὲ ὁ ὠκεανὸς μεγίστους κόλπους, ἐφ' ὧν φησι τὸ φάρμακον εἰλέσθαι. ἰδίως δὲ ὁ ποιητὴς τερατεύεται τὰ περὶ τὴν ῥίζαν. παρ' οὐδενὶ γὰρ τῶν ῥιζοτόμων εἴρηται. τὸ δὲ ἄνθος αὐτοῦ φησι παρὰ πλήσιον κωρυκίῳ κρόκῳ. τὸ δὲ κωρύκιον καὶ χωρίον τῆς κιλικίας, ἐν ᾧ διάφορος γίνεται κρόκος. περὶ τῆς κασπίας θαλάσσης ἱστορεῖ ἀρτεμίδωρος ἐν τῇ ἐπιτομῇ τῶν γεωγραφουμένων. ἔστι δὲ πλησίον τοῦ ὠκεανοῦ, ἧς παράκειται ἔθνος ὠνομασμένον κάσπιον, ὅμορον δὲ πέρσαις. Ἑπτὰ μέν. ἐφ' ἑπτὰ ποταμῶν λοεσσαμένη ὕδασι. τερατεύεται δέ. Ἑπτὰ δὲ βριμώ. ἑπτάκις δέ φησι καὶ τὴν

ἑκάτην

ἑκάτην ἐπικαλέσασθαι. δοκοῦσι γὰρ αἱ φαρμακίδες τὴν ἑκάτην ἐπάγεσθαι. βριμὼ δὲ αὐτὴν προσηγόρευσε, διὰ τὸ φοβερὸν καὶ καταπληκτικὸν τοῦ δαίμονος. καὶ φάσματα δὲ πέμπειν τὰ καλούμενα ἑκαταῖα. καὶ πολλάκις αὐτὰ μεταβάλλειν τὸ εἶδος, διὰ τὸ ἔμπουσαν καλεῖσθαι. ἢ παρὰ τὸν βρόμον τὸν τοῦ πυρὸς ψόφον. Ἴασος γὰρ τέλεται βρόμος. ἡ γὰρ θεὸς λαμπαδοῦχος. τὸ δὲ βρι. ἐπίτασίς ἐστιν ὡς τὸ βριήπυος ὄβριμος ἄρης. ἴσως δὲ βριμὼ ἡ μεγάλην ἔχουσα μῆνιν. βριμή νις τίς οὖσα. Τιτηνίδος. ἐπεὶ τῶν τιτάνων ἦν ὁ προμηθεύς, διὸ τὴν ῥίζαν ἔφη τιτηνίδα, διὰ τὸ ἐκ προμηθέως βεβλαστηκέναι, ὃς εἷς ἦν τῶν τιτάνων. διὰ τοῦτον δὲ τερατεύεται τὰ περὶ τὴν τομὴν τῆς ῥίζης. καὶ τὸ συμπάσχειν τὸν προμηθέα ἐπὶ τῇ ταύτης τομῇ.

40 Λιπόωσι. λαμπροῖς ἢ καθαροῖς. ὅμηρος δὲ ἀντὶ τοῦ θερμοῖς. παρθένιος δὲ ποταμὸς παφλαγονίας. παραγράφει δὲ τὰ ἐν ὀδυσσείᾳ. οἵη δ' ἄρτεμις εἶσι κατ' οὔρεος ἰοχέαιρα. Ἀμορβάδας τὰς ἀκολούθους φησί. Ἱεμένη ἀντὶ τοῦ ἱεμένου, προθύμου. ἡ δὲ μετὰ ἀντὶ τοῦ πρός. ἵν' ᾖ πρὸς τὰς δμωάς. οὐδ' ἐνόησα. ὁ δὲ ἀντὶ τοῦ

41 Λεξάμεναι ἀντὶ τοῦ συλλεξάμεναι, ἢ ἀ- (γάρ. νακλιθεῖσαι. ὡς καὶ ὅμηρος. λέξεται ἐν μεσάτοισι νομεύς. Παρατρέπει. προτρέπει. Σῖγ' ἔχετε. σιωπὴν κατέχετε μαθοῦσαι ἐξ ἐμοῦ. Ὑπέστη. κατεδέξατο ἐπὶ τοῖς βουσὶν ἀγωνίσασθαι. Ἠ, πολλά, ἀντὶ τοῦ ὑπό. Εἰς ὠπήν. εἰς ὄψιν μου, ἐναντίον ἐμοῦ.

42 Κασιγνήτων. λείπει ἡ παρά. ἵν' ᾖ παρὰ τῶν κασιγνήτων εἰσήκουσε τὴν μήδειαν κατὰ τὸν ὄρθρον ἀφῖξε

ἀθεῖσθαι τὸν τῆς ἑκάτης ναόν. Ἐσθλὸς δέ. ὀνοῦσθαι. ἀγα-θὸς μὲν καὶ τοὺς φανέντας καὶ ἀπιόντας εὖ σημειώσασθαι. Λακέρυζαι. αἱ φλύαροι λέρφιβον καὶ ἔμμορ. Ἀκλειής. ἄδοξος. Ἐπήλυδες. οἱ ξένοι, καὶ οἱ ἀκόλουθοι.

43 Ἴσκεν ἀπεμβομένη. ἔλεγε μεμφομένη τῷ μόρῳ. Ὀμφήν, φήμην. Θελκτήριον. τὴν ὑπὸ τῆς θεᾶς ἥρας ἐλασθεῖσαν καὶ λεχθεῖσαν. Ἦρι συνέριθος. ἥ τις κύπρις συνεργὸς καὶ συμπράκτρια τῶν κινδύνων γενήσεται. Λίσσεό μιν. εἶπεν ὁ φινεύς. ἐν τῷ τῆς κλυτὰ πείρατα κεῖται ἀέθλου. Παρακροτέων. παρατρέπων, παραπείθων. Ἀθύροι. παῖζοι. Δοάσσαι. ἔδοξεν ἀκούειν παραδραμόντα. τὸ δὲ δοάσσαι τὸ θέμα δοκάζω. σημαίνει δὲ τὸ νομίζειν. Θερμὸν δέ, ἐστι τὸ ἐρύθημα δὲ τὸ θερμὸν τὰς παρειὰς κατέλαβεν. οἷον ἐρυθρὰ ἐγένετο.

44 Ὁμάδησαν. κατεχήσαντο. ὅμαδος γὰρ κυρίως τῶν ἀνδρῶν, ὁμόαυλός τις ὤν. Ἐσυμοσίῃ. τῇ ἐκ θεῶν μεμοιραμένῃ αὐτῇ ἄτῃ. Οἷοί τε δυσαυχέες. οἱ καυχώμενοι ἀλαζονικῶς ἐν ἑτέρων διαβολαῖς. Τερπνοῖσι. παραλογιστικοῖς. Φηλώσῃς. ἀπατήσῃς. ἀπὸ τοῦ φήληκος τοῦ ἀώρου σύκου.

45 Ἐς ἑλλάδα. ἑλλάδα νῦν τὴν φθιωτικὴν ὅλην χώραν, ὁμωνύμως τῇ πόλει. ὃν τρόπον ἄργος ἐστὶν ἡ πόλις ἐστὶν ἡ χώρα. Δήτε καὶ θησῆα. διὰ τούτων ἠθικῶς προκαλεῖται τὴν μήδειαν εἰς τὸ ἀποπλεῦσαι σὺν αὐτῷ, παράδειγμα φέρων τὴν ἀριάδνην τὴν θησέως σώτειραν, στέφανον αὐτοῦ καταστερίσθαι λέγων οὐ πάντα ἀληθεύων. καταλέλειπται γὰρ ὑπὸ θησέως ἐν νάξῳ. πέπονθεν δὲ ὑπὸ διονύσου κατά τινας. ἐξ ἧς παιδοποιεῖται, οἰ-

νωπίονα, θόαντα, στάφυλον, λάτραμυν, εὐάνθη, ταυρόπολιν. ὅτι δὲ οὐδ' ἤγαγεν αὐτὴν εἰς ἀθήνας, τελευτῆσαι δὲ καταλειφθεῖσαν ὑπὸ θησέως ὅμηρος μαρτυρεῖ. δι' ὧν ὁ ὀδυσσεύς φησι. Φαίδρην τε πρόκριν τε ἴδον καλήν τ' ἀριάδνην, κούρην μίνωος ὀλοόφρονος. ἥν ποτε θησεὺς γήμας οὐδ' ἀπόνητο. ὅτι δὲ ὁ στέφανος ὑπὸ διονύσου κατηστέρισται, ἄρατός φησιν. αὐτοῦ κἀκεῖνος στέφανος, ὃν ἀγαυὸν ἔθηκεν σῆμ' ἔμεναι διόνυσος ἀποιχομένης ἀριάδνης. ἀλλ' ἡ μὲν, διὰ τοῦ προτρέπεται τὴν μήδειαν πλεῖν σὺν αὐτῷ, παράδειγμα φέρων τὸν ἀριάδνης ἔρωτα, ὅτι συναπῆρε τῷ θησεῖ εἰς ἀθήνας. Ἐπητείῃσιν. ταῖς ἐπιστήμαις, φρονήσεσιν καὶ ὅμηρος ἐπητής δ'

46. Νεκτάρεον. ἀντὶ τοῦ προσηνές. ἐ- (ἀνδρὶ ἔοικας. γὼ δέ φημι λιπαρὸν παρὰ τὸ νέκταρ. Πρὸ πρὸ δ' ἀφειδήσασα. γράφεται πρὸ πρὸ δὲ μειλίσσασα. ἐμφαντικὴ ἡ ἐπαναδίπλωσις τῆς προθέσεως. ἐμφαίνει τὸ μᾶλλον τὸ μετὰ σπουδῆς καὶ προχείρως πεπνῦσθαι τὴν λύσιν. Ἀφειδήσασα. ἀφροντιστήσασα πρὸς τὸ αὐτὴν εἰπεῖν. ἀντὶ τοῦ μηκέτι ἀκριβωσαμένη ἢ περιπραγμονήσασα, ἀφεῖλεν ἐκ τῆς στηθοδεσμίδος τὸ φάρμακον. διὰ δὲ τούτου φαίνεται ἡ ἐπίτασις τοῦ ἔρωτος. Ἀρύσασα. ἀντὶ τοῦ ἀφελομένη, ἀπαντλήσασα, ἢ ἐκκενώσασα. Ἀμαρυγάς. τὰς οἷον συνεχεῖς κινήσεις καὶ τὸ τοῦ πυρὸς λέγεται ἀμαρύσσειν, ἀπὸ τοῦ τὴν φλόγα συνεχῶς ἀΐσσειν. ὅμηρος. μαρμαρυγὰς θηεῖτο ποδῶν, τὴν κατεπάλληλον δηλῶν κίνησιν.

47 Τηκομένη. τὸ ὁμηρικὸν παρέφρασεν. ἰάνθη δ' ὡσεὶ περὶ σταχύεσσιν ἐέρση λήϊου ἀλδήσκοντος. τὸ μὲν γὰρ τηκόμενον πάντως καταχεῖται ὅμηρος. αἶψα

διαίνετο κηρὸς ἐπὶ κέκλετο μεγάλη ἐς ἠελίοιο. οὐ πάντως δὲ εἰς τὸ ἰαίνεται τοῦτο καὶ τήκεται. ὅθεν ὅμηρος εἰπὼν ἰάνθη ἐπήνεγκεν ὡσεί τε, μεταφορικῶς λέγων ὅτε ὀρθὸν ἔχουσι τὸν στάχυν, οἷον μετεωριζόμενον. ὥστε ἐστὶ τὸ νοούμενον ἐμφατικὸν τοῦ τῶν σταχύων ἀλονῆς. καθάπερ ἐμψύχων τῆς δρόσου ἀπτομένης τῶν καρπῶν. οὕτω καὶ τὴν ψυχὴν τοῦ μενελάου εἰς τέρψιν μετῆχθαι τοῖς λόγοις τοῦ ἀντιλόχου. τὸ δὲ τήξει παραβάλλειν τὴν τερπομένην ψυχὴν οὐ πιθανόν. δύναται μὲν τὸ ἀναγινώσκεσθαι τὸ τήκεται ἀντὶ τοῦ τέρψεως. τὸ γὰρ τηκόμενον πάντως λύεται καὶ μαλάσσεται. ἔστιν δὲ εἰπεῖν, ὅτι πᾶσα διελύθη ἐφηπλώθη ἡ μήδεια.

48 Διαμμοιρηδὰ φυλάξας. τινὰ λέγει τῶν ζωδίων μεσουρανοῦντα παραφυλάττεσθαι κατὰ τὸ μεσονύκτιον τὰ πρὸς τὸν ὁρίζοντα. ἃ μὲν δύνοντα, ἃ δὲ ἀνατέλλοντα, ἢ τὸ τῆς ἄρκτου ὑψώματος. Ἄλλως. τὸ διαμμοιρηδὰ, ἀντὶ τοῦ κατὰ ἴσας μοίρας εἰς ζώδια διαιρεῖσθαι τὸν οὐρανὸν, ὡς τὰ μεσουρανοῦντα τῶν ζωδίων τὰ κατὰ τὴν ἑσπέραν ἀνατέλλοντα. Πόρινγέα. τὴν περιφερῆ καὶ στρογγύλον. Ἀρνεῖον σφάζειν. ἀντὶ τοῦ σφάξον τὸ ἀδιαμέριστον θὲς ἐπὶ τὸ πῦρ. Ὠμοθετεῖν δὲ ἔθος τὸ τοῦ ἱερέως ὠμοῦ ἀπάρχεσθαι τῶν μελῶν. Μουνογενῆ. ἡσίοδος. Οὐδέ τι μουνογενὴς ἑκάτη θεὰ ἔμμορε τιμῆς. Μουσαῖος ἱστορεῖ δία ἐρασθέντα ἀστερίας μιγῆναι. καὶ μιγέντα δοῦναι τῷ περσεῖ, ἐξ ἧς τεχθῆναι αὐτῷ τὴν ἑκάτην.

49 Κολούρας. ἀτελῆ καὶ ἄπρακτα παρὰ κολούρας ἕκαστα τῶν ἐνεργουμένων. σοφοκλῆς δὲ ἐν ταῖς κολχίσιν,

εἰσάγει

εἰσάγει τὴν μήδειαν ὑποτιθεμένην τῷ ἰάσονι περὶ τῶν ἄθλων δι' ἀμοιβαίων. τὸ δὲ στιβαρώτερον ἀντὶ τοῦ στιβαροῦ, τὸ συγκριτικὸν ἀντὶ ἁπλοῦ. Ἑοῖο. τῇ κτητικῇ ἀντὶ τῆς πρωτοτύπου. ἐμοῖο ἤτοι σοῖο ἧς τὸ ἀκόλουθον οἷο, ἀντὶ τοῦ αὐτοῦ. Ἠέρι αἰαίης. νῆσος ἐν τῷ φάσιδι ἐστὶν ἡ αἰαία, ἐν ᾗ τὸ δέρας ἔκειτο. αὕτη δέ ἐστι κόλχων μητρόπολις.

50 Ἔστι τις αἰπεινοῖσιν. ὅτι ἡ θεσσαλία περιέχεται ὄρεσι κυκλόθεν, ἡρόδοτος ἱστορεῖ. ὅτι δὲ προμηθέως υἱὸς δευκαλίων ἐβασίλευσε θεσσαλίας, ἑλλάνικός φησι. καὶ ὅτι δώδεκα θεῶν βωμὸν ἱδρύσατο. εἰς αὐτὴν δὲ καὶ ἄλλων ποταμῶν εἰσβαλλόντων, τεσσάρων δὲ μάλιστα τῶν δοκίμων πηνειοῦ, καὶ ἀπιδανοῦ, καὶ πανίσου, καὶ ἐνιπέως. τούτων συμμιγνυμένων ὁ πηνειὸς τῷ ὀνόματι κατακρατεῖ, ἀνωνύμους τοὺς ἄλλους ποιεῖ. Καὶ εὔβοτος πρὸς τὸ βόσκειν ἐπιτηδεία ἡ καλὰ θρέμματα ἔχουσα. Ἔνθα προμηθεύς. ὅτι προμηθέως καὶ πανδώρας υἱὸς δευκαλίων, ἡσίοδος ἐν πρώτῳ καταλόγων φησί. καὶ ὅτι προμηθέως καὶ πύρρας ἕλλην. ὅτι δὲ καὶ ὁ δευκαλίων ἐβασίλευσε θεσσαλίας ἑλλάνικος ἐν πρώτῳ τῆς δευκαλιωνείας φησίν. καὶ ὅτι δώδεκα θεῶν βωμοὺς δευκαλίων ἱδρύσατο, ἑλλάνικος ἐν τῷ αὐτῷ φησι συγγράμματι. Ἰαπετιονίδης. ἐκ τίνος γυναικὸς ὁ δευκαλίων ἐγένετο προμηθεῖ σεσιώπηται. ἔστι δὲ καὶ ἕτερος δευκαλίων, περὶ οὗ ἑλλάνικος ἱστορεῖ. καὶ ἄλλος ὁ μίνωος, περὶ οὗ φερεκύδης. καὶ τέταρτος ὁ ἄβαντος, οὗ μνημονεύει ἀρίστιππος ἐν ἀρκαδικοῖς. Αἱμονίην δὴ τήν γε. αἱμονία τὸ πρότερον ἡ θεσσαλία ἐκαλεῖτο, καὶ ἄλλας δὲ ἔσχεν ὀνομασίας.

ἐλέγετο δὲ καὶ πυῤῥοδία, ἀπὸ πύῤῥας τῆς δευκαλίωνος. ἡ θεσσαλία ἐκαλεῖτο τὸ παλαιὸν πύῤῥα, ὡς ῥιανός. Πύῤῥαν δή ποτε τήν γε παλαιότεροι καλέεσκον, Πύῤῥης δευκαλίωνος ἀπ' ἀρχαίης ἀλόχοιο. Αἱμονίην δ' ἐξαῦτις ἀφ' αἵμονος, ὅν ῥα πελασγὸς γείνατο φέρτατον υἱόν. ὁ δ' αὖ τέκε θεσσαλὸν αἵμων. Τοῦ δ' ἀπὸ θεσσαλίην λαοὶ μετεφημίξαντο. οἱ δὲ ἀπὸ θεσσαλοῦ τοῦ φειδίππου πατρὸς, τοῦ ἡρακλείδου μετὰ τρωϊκὰ κληθῆναι φασί. διαιρεῖται δὲ εἰς μέρη τέσσαρα, πελασγιῶτιν, θεσσαλιῶτιν, ἰωλκῖτιν, φθιῶτιν. ταῦτα παρατίθεται ἀπολλόδωρος ἐν νεῶν καταλόγῳ. Αἰολίδην. οὐκ ἀπὸ αἰόλου, ἀλλ' ἀπὸ τοῦ αἰόλου. Σισύφου δὲ παῖδες ἐγένοντο, ἄλμος καὶ πορφυρίων. χρυσογόνης δὲ τῆς ἄλμου καὶ ποσειδῶνος, μινύας ὁ τὸν ὀρχομενὸν κτίσας, καὶ κατὰ τοῦτο εἴρηται αἰολίδης, ὅτι σίσυφος αἰόλου ἐγένετο. μινύας δὲ κατὰ μητέρα αἰολίδης, πατρὸς δὲ ποσειδῶνος. τοῦτον οὖν ἀπολλώνιος φησὶν εἰς τὴν βοιωτίαν εἰσβαλόντα ἀμορον θηβαίοις ὀρχομενὸν κτίσαι.

51 Αἴθε δὲ ὡς θησεῖ. πιθανῶς ἄγαν προσέπεσεν αὐτὴν εἰς τὸ ὁμολογῆσαι τῷ ἰάσονι τὴν προαίρεσιν αὐτῆς, κατεσοχασμένος τὸν ἔρωτα. Καταψύχων. καταμαλάττων. ἀδινόν. ἐνταῦθα μὲν τὸ οἰκτρὸν καὶ λυπηρόν. Πορσανέουσι. νῦν ἀντὶ τοῦ τιμήσουσι καὶ ὡς θεὸν νομίσουσι σεπτήν. ὅταν δὲ λέγῃ ὁ ἰάσων, ἡμέτερόν δὲ λέχος θαλάμοις ἔνι κουριδίοισι πορσανέοις, δηλοῖ ὅτι προσκτήσῃ καὶ αὐξήσεις, δι' οὗ τὴν συμβίωσιν σημαίνει.

52 Κατείβετο, κατετήκετο τοῦ ἰάσονος ἀκούουσα ῥημάτων.

ῥημάτων. Ἐλύετο, ἐλέγετο, ἔχρηζεν, ἀπῄτει. ἢ ὅτι ἐνελείπετο ὁ τῆς ἡμέρας χρόνος. Ἀβολήσομεν· συντευξόμεθα. Περιπλομένας. περιούσας, ἐπεὶ καὶ πόλος λέγεται ὁ ὅλος. καλλίμαχος. ἐγγὺς καί τιν' ἔχοντα πείραλο. Μετὰ χθονίη, οὐχ ἡνιοχοῦντος τοῦ νοῦ.

53 Παλινορσίησιν. ἤγουν ταῖς περιεπιστροφαῖς. ἢ διὰ τὸ ἔμπαλιν τετράφθαι αὐτῶν τὴν ψυχήν. ἢ δὲ τῇ ἀποστροφῇ ἐν ἀπόστρῳ κατάστασει.

54 Οἰόθεν οἶος ἑταίρων. οὐχ ἁρμόζει νῦν δὲ οἰόθεν οἶος, μόνος γὰρ ἀπὸ τῶν ἄλλων. ἦν δ' εἰπεῖν οἶος ἀπ' ἄλλων. Εὔκηλοι μέλλοντο. σολοικισμός. ὁ γὰρ λόγος, ἥσυχοι ἐμέλλοντο αὐτοῖς ὡς ἀλλήλων τινῶν μελλόντων αὐτοῖς. ἔδει δὲ εἰπεῖν ἐμέλλοντο σφέων, ὅ ἐστιν ἑαυτῶν. Ἀονίοιο δράκοντος. ἀντὶ τοῦ βοιωτικοῦ. ἀονία γὰρ ἡ πρότερον ἡ βοιωτία. ὠγυγίας δὲ τὰς θήβας, ἀπὸ ὠγυγίου τοῦ βασιλεύσαντος αὐτοῦ. Κορίννα δὲ τὸν ὤγυγον βοιωτοῦ υἱὸν εἶπεν ἀπὸ τούτου δὲ καὶ ὠγύγιαι τῶν θηβῶν πύλαι. περὶ δὲ εὐρώπης καὶ τοῦ κάδμου εἰς θήβας παρουσίας, λυσίμαχος ἐν τῇ πρώτῃ τῶν θηβαϊκῶν παραδόξων συνείλεχε πολλὴν τὴν ὕλην διαφωνοῦσαν. Κάδμος ἔτ' εὐρώπην. περὶ δὲ κάδμου εἰς θήβας παρουσίας λυσίμαχος ἐν τῇ συναγωγῇ τῶν θηβαϊκῶν παραδόξων ἱστορεῖ. καὶ ἑλλάνικος ἐν α. φορωνίδος ἱστορῶν, ὅτι καὶ τοὺς ὀδόντας ἔσπειρε τοῦ δράκοντος κατὰ ἄρεος βούλησιν. καὶ ἐγένοντο πέντε ἄνδρες ἔνοπλοι, οὐδαῖος, χθόνιος, πέλωρ, ὑπερήνωρ, ἐχίων. ὁ δὲ ἀπολλώνιος πολλοὺς οἴεται καὶ ἄλλους πολλοῖς πεπολεμηκέναι, ἐν δὲ ταῖς τρίτῃ τῶν

μουσαίου τιτανογραφίας λέπεται, ὡς κάδμος ἐκ τοῦ δελφικοῦ ἐπορεύετο προκαθηγουμένης αὐτοῦ τῆς βοός. Ἱππίας δὲ ὁ δ᾽ ἤλιος ἐν ἐθνῶν ὀνομασίαις φησὶν ἔθνος τι καλεῖσθαι σπαρτούς. καὶ ὁμοίως ἀξόμηρος. Φερεκύδης δὲ ἐν τῇ πέμπτῃ οὕτω φησίν. ἐπειδὴ κάδμος κατῳκίσθη ἐν Θήβῃσιν, ἄρης διδοῖ αὐτῷ καὶ ἀθηναίη τοῦ ὄφιος τοὺς ἡμίσεις ὀδόντας, τοὺς δὲ ἡμίσεις αἰήτῃ. καὶ ὁ κάδμος αὐτίκα σπείρει αὐτοὺς εἰς τὴν ἄρουραν, ἄρεος κελεύσαντος, καὶ αὐτῷ ἀναφύονται ἄνδρες ὡπλισμένοι. ὁ δὲ κάδμος δείσας βάλλει αὐτοὺς λίθοισι. οἱ δὲ δοκέοντες ὑφ᾽ ἑαυτῶν βάλλεσθαι, κτείνουσί τε ἀλλήλους καὶ θνήσκουσι, πλὴν πέντε ἀνδρῶν, οὐδαίου, χθονίου, ἐχίονος, πέλωρος, καὶ ὑπερήνορος, καὶ ἀστοὺς ὁ κάδμος ποιεῖται πολίτας καρικίσας αὐτοὺς ἐν Θήβαις.

55 Κάδμος ἀγηνορίδης. τοὺς περιληφθέντας ἐν τῇ μάχῃ σὺν κάδμῳ κατοικῆσαι ἐν Θήβαις φησί. λέγει δὲ καὶ ἑλλάνικος ὅτι κάδμος ἐξελὼν τοῦ ὄφιος τοὺς ὀδόντας ἔσπειρεν. ἐκ δὲ αὐτῶν πέντε ἄνδρες ἔφυσαν, οὐδαῖος, χθόνιος, πέλωρ, ἐχίων, ὑπερήνωρ. καὶ ὁ μὲν ἑλλάνικος μόνους φησὶ τούτους βεβλαστηκέναι. ὁ δὲ ἀπολλώνιος πολλοὺς καὶ ἄλλους. ἵδρυσεν ὄχλον γηγενῆ ἄρεος ἀμώοντος, ὅσοι ὑπὸ δουρὶ λείποντο, καὶ ἀλλήλους πεφονευκέναι. ἄλλως. οἱ μὲν ἀγήνορος λέγουσι τὸν κάδμον, οἱ δὲ φοίνικος. Φερεκύδης δὲ ἐν δ΄. οὕτω φησίν, ἀγήνωρ δὲ ὁ ποσειδῶνος γαμεῖ δαμνὼ τὴν βήλου. τοῦ δὲ γίνονται φοῖνιξ καὶ ἰσαίη, ἣν ἴσχει αἴγυπτος, καὶ μελία, ἣν ἴσχει δαναός. ἔπειτα ἐνίσχει ἀγήνωρ ἀργιόπην τὴν νείλου τοῦ ποταμοῦ. τοῦ δὲ γίνεται κάδμος.

Ἠέλιος

Ἠέλιος μὲν ἄπωθεν. ἐρεμνὴν γαῖαν λέγει, τὴν ὑπὸ τὸν ὁρίζοντα. δύσιν γὰρ εἴρηκε, τὴν ὑπὸ τῶν ἀρχαίων περιωρισμένον ὁρίζοντα. αἰθίοπας δὲ λέγει τοὺς πρὸς τῇ δύσει. ἐρεμνὴν δὲ γῆν, τὸ ἀφανὲς ἡμισφαίριον, τὸ ποιοῦν τὸ ἔρεβος. ῥιοῦρον δὲ ἀκουστέον τὸν ὑπὸ τὸν ὁρίζοντα τόπον παρ' ἀπολλωνίῳ. ἑσπέριον δὲ τὸν ἥλιον εἴρηκε τὴν ὥραν σημαίνων, καθ' ἣν ὥραν περίπετη αὐτῷ τὸ δύνειν. νεάτας δὲ ἄκριας τῶν αἰθιόπων, τὰς ἐσχατιὰς ὡς ὑπερκειμένας τὴν οἰκουμένην. οὐκ ὀρθῶς δὲ εἴρηκεν ὑπὲρ ἄκριας αἰθιόπων τὸν ἥλιον δύνειν. ὁ γὰρ ὁρίζων κύκλος οὐκ ὢν τῇ φύσει τῇ ὄψει δὲ σημαίνεται.

56 Νὺξ δ' ἵπποισι. νεώτερος τῶν ὁμήρου χρόνων ὁ τῶν ἁρμάτων ὑποζεύξις. Αὐτίκ' ἔπειτα. πρὸς τὸ κλίμα τῆς ἑλίκης φησὶν ἀναβλέψαντα τὸν ἰάσονα, σημειώσασθαι τὸν καιρὸν τὸν εἰρημένον ὑπὸ τῆς μηδείας αὐτῷ. Ὑπεύδιος. ὑπ' ἀνθρώπων εὔδιος. ἀντὶ τοῦ ἐν εὐδίᾳ καὶ ἡσυχίᾳ τυγχάνων ἀνθρώπων ὑγρὸς τόπος. Δηναιῆς εὐνῆς. νῦν οἰκτρᾶς λυπηρᾶς. διὰ τὴν ἀπόλειψιν.

57 Ἐπὶ δὲ μιγάδας. τὰς μεμιγμένας, ἢ τὰς συμμιγεῖς ἔκ τινων. κευθμὸς δὲ ὁ κρύφιος τόπος. Ὕψιστος ὁ ὑψηλός. ἢ ὁ ἐνδότερος. Πέριξ δέ μιν ἐστεφάνωτο. ὅτι δράκουσι καὶ δρυΐνῳ κλάδῳ στέφεται ἡ ἑκάτη. καὶ σοφοκλῆς ἐν ῥιζοτόμοις τὸν χορὸν ποιεῖ λέγοντα. Ἥλιε δέσποτα καὶ πῦρ ἱερὸν τῆς εἰνοδίας ἑκάτης ἔγχος τὸ δι' ὀλύμπου πωλοῦν φέρει καὶ γῆς ναίουσ' ἱερὰς τριόδους στεφανωσαμένη δρυσὶ καὶ πλείστοις ὠμῶν σπειράμασι δρακόντων. Ἐλειονόμοι νύμφαι,

καὶ ἐν τοῖς ἕλεσιν ἀναστρεφόμεναι. Εἰαμενή. ὁ καθύγρος τόπος. Αμαντίν. ἀμάντιοι ἔθνος βάρβαρον ὑπὲρ κόλχων ἐν τῇ ἠπείρῳ, ὅθεν αἱ τοῦ φάσιδος πηγαὶ ἐξερεύγονται. ἢ ὄρος κολχικὸν καλούμενον ἀμάντιον, ὅθεν ὁ φάσις καταφέρεται. Θώρηκα στάδιον. ὅτι οὐκ ἦν ἁλυσιδωτὸς ἀλλὰ σταδιαῖος, ἀπὸ τῆς στάσεως ἐσχημάτισται. τινὲς δὲ στάδιον τὸν ὑπαγῆ. ὃν καὶ ὁ καλλίμαχος λέγει. στάδιον δ' ὑφίεσο χιτῶνα. Σφωϊτέραις χερσί. ταῖς ἑαυτοῦ ἰδίαις. Φλεγραῖον. τὸν ἀπὸ φλέγρας. φλέγρα δὲ πεδίον θράκης περὶ παλλήνην. Μίμας δὲ τὸν κύριον τοῦ γίγαντος. Πολύζρινον σάκος. τὸν πολύβυρσον. Φαέθων. ὅτι ὁ ἄψυρτος καὶ φαέθων ἐκαλεῖτο, ὥς φησι τιμῶναξ ἐν δευτέρῳ σκυθικῶν.

58 Οἷος δ' ἴσθμι). ἴσθμια τὰ ἐν ἰσθμῷ τελούμενα τῆς κορίνθου. πρότερον μὲν τῷ ποσειδῶνι, ὕστερον δὲ μελικέρτῃ, κατὰ κέλευσιν τοῦ τότε τῆς κορίνθου βασιλεύοντος σισύφου τοῦ αἰόλου, ὅτε προσβρασθὲν τὸ τοῦ μελικέρτου σῶμα ἰδὼν τῷ κορίνθῳ ἐπέγνω ἀδελφιδοῦν ὄντα. καὶ ἀθάμαντος τοῦ αἰόλου υἱὸν ἐτίμησεν ὡς ἔδει τῷ ἀγῶνι τῷ ἰσθμικῷ, ἐν ᾧ οἱ νικῶντες πίτυϊ ἐστέφοντο πάλαι. ὕστερον δὲ ξηρῷ σελίνῳ. μουσαῖος δὲ ἐν τῷ περὶ ἰσθμίων, δύο φησὶ γίνεσθαι ἀγῶνας ἐν τῷ ἰσθμῷ. καὶ τὸν μὲν ποσειδῶνος εἶναι, τὸν δὲ μελικέρτου. Ηταίναρον. ταίναρον ἀκρωτήριον τῆς λακωνικῆς. λέρνη δὲ κρήνη τοῦ ἄργους ἱερὰ ποσειδῶνος. λερναίων ἀδύτων πρϊώσιος ὀρσιοφάλντης. Υαντίου ὀγχηστοῖο. τοῦ εὐβοϊκοῦ. ὕαντες γὰρ τὸ πρὶν ᾤκουν τὴν βοιωτίαν. ὀγχηστὸς δὲ

πόλις

πόλις τῆς Βοιωτίας ἱερὰ Ποσειδῶνος. ὅμηρος. ὀγχηστόν θ' ἱερὸν ποσιδήιον ἀγλαὸν ἄλσος. ὑάντιον δὲ ἀντὶ τοῦ βοιώτιον. ὕαντες γὰρ βοιωτίας ἔθνος βάρβαρον. ὅθεν ἡ παροιμία, βοιωτία ὗς. καὶ ἡ καλαύρια δὲ ἱερὰ ἐστι ποσειδῶνος, ὥς φησι φιλοστέφανος. ἣν δὲ πρότερον μὲν ἀπόλλωνος. ἡ δὲ πυθὼ ποσειδῶνος. καὶ αὐτὴν ἠμείψαντο κατήλλαξαν. Πέτρην θ' αἱμονίην. τὴν θεσσαλίαν πέτραν, χωρίον δέ ἐστιν, ἐν ὧ ποσειδῶνος ἀγῶν ἄγεται. ὡς ἀπὸ τοῦ τόπου πετραῖον καλεῖσθαι. πίνδαρος. παῖ ποσειδῶνος πετραίου. Γεραιστὸς ἀκρωτήριον εὐβοίας. Ἀαγέος. τὸ ἀκαμπέος. Περὶ σθένει σφριγόωσαι. ἀκμάζουσαι. ῥωμαλεώτεραι τῇ δυνάμει ἐτένοντο. εὔζωνοι οὖσαι ἐῤῥωμένως ἐκινοῦντο. τεταμέναι τῇ δυνάμει σφριγῶσαι. σφριγανὸν γάρ ἐστι τὸ ἰσχυρὸν καὶ στε-

59 Σκηθμῷ τούτῳ περιεπαταίετο. ἔχαιρε. (ρεόν. ἐγαυρία. Μεταπαιφάασθαι. γράφεται μεταπαιφάσσουσαν. ἑκατέρως δὲ τὸ διαλάμπειν σημαίνει. Καὶ τότε. οὐκ ἔστι πολὺν χρόνον ἀφέξεσθαι ἔμελλον τῶν ἄθλων. χάζεσθαι. ἀφέξεσθαι. Κληῖδες τὰ ζυγά, ἐφ' ὧν οἱ ἐρέται κάθηνται. Ἀρήϊον τὸ πλησίον τοῦ ἱεροῦ τοῦ ἄρεος, ὅπου καὶ τὸ

60 Βαλβίς ἐστιν ἡ ἀπὸ βάλλουσιν οἱ δρομεῖς (κῶας. γραμμή. σημαίνει δὲ καὶ τὴν ἐκκοπὴν τοῦ φρέατος. ὁ δὲ νοῦς. τοσοῦτον δὲ τῆς πόλεως ἀφέστηκεν, ὅσον ἡ νύσσα ἀπὸ τῆς βαλβίδος, ἤγουν τῆς ἀφετηρίας.

61 Χρίμψαι, τὸ πλησίον γενέσθαι. Νήριτον, τὸ πολὺ καὶ ἀνάριθμον. Κευθμὼν τὸ κοίλωμα. Βόαυλα ἡ βου-

62 Καπνῷ. κεκαπνίσθαι φησὶ τοῖς βοόστα (στασισ. σιν ἐκ τοῦ τῆς πυρὸς ἀποφορᾶς τοῦ στόματος τῶν ταύρων.

63 Εὐῤῥίνοις. τοῖς εὐβύρσοις καὶ καλῶς ἐῤῥινημένοις, ἢ εὐπνόοις. διὰ γὰρ τῆς ῥινὸς τὸ πνεῦμα πέμπεται. Μαρμαίροντο, κυρίως καίουσι. μετενήνοχε δὲ τὴν φωνὴν ἀπὸ τῆς σφοδροτάτης φυσικῆς ἐνεργούσης ἔσωθεν. Αἴθος λέγεται τὸ πῦρ καὶ ἡ φλόξ. Οκλάξ, ἐπὶ τὰ γόνατα. τὸ ὀκλάζειν ῥῆμα.

64 Σφῆλε γνὺξ. σφαλῆναι ἐποίησε. καὶ ἤνεγκεν ἐπὶ τὰ γόνατα. Βεβολημένον. πληγέντα. Ελυσθείς. ἐκταθείς. Θοῇ. ἢ εἰς ὀξὺ ληγούσῃ κορώνῃ. Αραρε. συνήρμοσε. λόφους, τοὺς ἱμάντας. Κορώνη. τὸ ἄκρον τοῦ ζυγοῦ κρίκῳ συνήρμοσεν. Οἱ τυνδαρίδαι φησὶν ἀπὸ τοῦ πυρὸς ἐχωρίσθησαν εἰς τὴν ναῦν. Χαζέσθην. εἰς τοὺς τυνδαρίδας ἀνενεγκτέον, οὓς ἀναχωρῆσαι φησὶν εἰς τὴν ναῦν ὑπὸ τῆς τοῦ πυρὸς ῥίμης. Θοοὺς ὀδόντας, τοὺς ὀξεῖς. ἐργατίνης ὁ ἐργάτης ἢ ὁ γεωργός.

65 Ακαίνῃ. ἀντὶ τοῦ κέντρῳ. ἄκαινα δέ ἐστι μέτρον δεκάπουν θεσσαλῶν εὕρεμα, ἢ ῥάβδος ποιμενικὴ παρὰ πελασγοῖς εὑρημένη, περὶ ἧς καλλίμαχος φησίν. ἀμφότερον κέντρον τε βοῶν καὶ μέτρον ἀρούρης.

66 Οκρυόεσσα. νῦν ἀντὶ τοῦ τραχεῖα διὰ τὸ σχίζεσθαι γῆ.

67 Διεπτοίησεν, ἐθορύβησεν ὥστε φεύγειν.

68 Φρίξαν. ὠρθοῦντο, φοβεροὶ ἐφαίνοντο. Ολυμπον τὸν οὐρανὸν λέγει κατὰ τοὺς νεωτέρους. Αναλδήσκοντες, ἀναδιδόμενοι, αὐξανόμενοι. Πελωρία, ὑπερφυῆ. Σόλος ὁ δίσκος.

69 Τὸν δ' ἕλεν ἀμφασίη. οὗτος καὶ οἱ ἑξῆς στίχοι εἰλημμένοι εἰσὶ περὶ εὐμήλου, περὶ ὧ μήδεια πρὸς ἴδμονα διαλέγεται. καὶ σοφοκλῆς δὲ ἐν κολχίσι πεποίηκε

ὃν ἄγγελον τοῦ αἰήτου πυθόμενοι περὶ τοῦ προειρημένου, οὕτως. ἢ ἔβλαστος οὐκ ἔβλαστεν ὁ ὑπερχώσιος. καὶ κάρτα φρίξας ἐν λόφῳ σφηνώματι. χαλκηλάτοις ὅπλοισι μὴ προσεξέδυ. ταῦτα δὲ ἀπολλώνιος περὶ γράφει. Καταΐκδυ. συστροφαί.

70 Οἷος δ' οὐρανόθεν πυρόεις ἀναπάλλεται. γράφεται καὶ ἀπολάμπεται. περὶ τῶν διατρεχόντων ἀστέρων καὶ ῥαδίως ἀφανιζομένων τὸν λόγον ποιεῖται. οἱ τῇ ὀξύτητι τῆς φορᾶς παραπλήσιόν τι ἔχουσιν ὑπερβούλαμα. ὁλκὸν δὲ λέγει τὸ ὑπὸ τὴν ὀξύτητα παρασυρόμενον αὐτοῦ φέγγος. τὰς δὲ τοιαύτας φαντασίας ὁ μὲν [illegible]ῖος ἀναφερομένας φησὶν ἐκ τοῦ ὠκεανοῦ κατὰ τὸν αἰθέρα ἀποσβέννυσθαι. τοὺς δὲ ὑπὸ μουσαίου ἀστέρας εἰρημένους ἀπολλώνιος πιθανῶς μαρμαρυγὰς εἴρηκε. τὰς γὰρ γινομένας ἀκαταλήπτους διὰ τὴν ὀξύτητα ἀποστίλψεις μαρμαρυγὰς καλοῦσιν. ἀπίθανον δὲ τὸ τοιούτῳ ἀστέρι παραβαλεῖν τὸν ἰάσονα πρὸς τὸν κίνδυνον ἄθλον ἐρχόμενον, τὸ ἅμα τὸ φανῆναι εὐθέως σβεννυμένῳ. εἰ δέ τις λέγει τὸ πυρόεντι αὐτὸν ὡμοιωκέναι, περὶ οὗ περιγένης ἐν τῷ περὶ τοῦ χαλκιδικοῦ τῶν μαθηματικῶν προειπὼν περὶ τῶν πλανήτων λέγων ὑφ' ἓν ἕξει τὸν πυρόεντα. προσαγορευόμενον δὲ ὑπὸ ἑλλήνων ἄρεος, ὑπὸ δὲ χαλκιδέων ἡρακλέους. ἐπισυρομένου γε μὴν αὐτοῦ, μαρμαρυγὰς καὶ σπινθῆρας γίνεσθαι. ὁ δὲ πυρόεις δυσκίνητός ἐστιν.

71 Ὁλκὸν λέγει τὴν αὔλακα. δομὴν τὴν τοῦ σώματος σύστασιν, ἢ χροιάν. προὔτυψαν προῆλθε. ὅσον τὸ προῆλθεν ἢ προέχον ὑπὲρ τῆς γῆς, τόσον καὶ ὑπὸ

στῆν. πλαδαρὸν, τὸ δίυγρον. Σημαντῆρα τὴν δεσπότην.

72 Οὐδ' ἐβολῆσι μίμνει ἐς ὡραίην. Πρωταγόρας εἶπεν, ἀντὶ τοῦ εἰς ὥραν καὶ τὸν δέοντα καιρόν. ὅμηρος. ἀναγκαίη γὰρ ἐπείγει. τὸ δὲ ἑξῆς. οὐδὲ μίμνει ἔτι εἰς ὥραν προσημέναι βολαῖς ἠελίοιο.

Τέλος τῶν, εἰς τὸ τρίτον ἀργοναυτικῶν, σχολίων.

## ΠΕΡΙΟΧΗ ΤΟΥ ΤΩΝ ΑΡΓΟΝΑΥΤΙΚΩΝ ΤΕΤΑΡΤΟΥ.

Τοῦ τετάρτου τῶν ἀργοναυτικῶν τὰ κεφάλαια ἐστὶ ταῦτα. Οἱ ἀργοναῦται διαπεράσαντες τὸν πόντον, ἀφίκοντο ἐς τὸν ἴστρον, καὶ δι' αὐτοῦ κατηνέχθησαν εἰς τὸν ἀδρίαν, καὶ ἐπεραιώθησαν εἰς τὸ πάλαι καλούμενον κρόνιον. ἔνθα καὶ ἀναιροῦσι τὸν ἄψυρτον δόλῳ. ἀγανακτοῦντος δὲ τοῦ διὸς ἐπὶ τούτῳ, καὶ δυσπνοίας θέλοντος παρέψαι τοὺς ἀργοναύτας, ἥρα ἐπιπέμπει ἀνέμους. καὶ διὰ τοῦ ἠριδανοῦ εἰς τὴν περὶ σαρδὼ καταφέρονται θάλασσαν. καθαίρονται δὲ ὑπὸ κίρκης, καὶ διαπλέουσι τὰς πλαγκτὰς πέτρας θέτιδος μετὰ τῶν ἄλλων νηρηΐδων προπεμπούσης αὐτούς. τὰς δὲ σειρῆνας ἀποπλέουσι. διασωθέντες δὲ εἰς τὴν πάλαι μὲν δρεπάνην, αὖθις δὲ κληθεῖσαν κέρκυραν, τοὺς διὰ τῶν συμπληγάδων διώκοντας αὐτοὺς κόλχους καταλαμβάνουσιν, οἵ τινες τὸν ἀλκίνοον ἐξῄτουν τὴν μήδειαν. ὁ δὲ ὑπερθέμενος τὴν κρίσιν εἰς τὴν αὔριον ἔφη, παρθένον μὲν οὖσαν, τῷ πατρὶ ἀποστέλλεσθαι δεῖν, εἰ δὲ γυνὴ εἴη, παραδίδοσθαι τῷ ἀνδρί.

δεῖ. γίνεται οὖν ὁ γάμος ἐκείνῃ τῇ νυκτί. καὶ οὕτως ἄπρακτοι γενόμενοι οἱ κόλχοι, μένουσι μὲν ἐν τῇ φαιακίᾳ δεδιότες ἐπανελθεῖν πρὸς αἰήτην. ἀποπλεύσαντες δὲ οἱ ἀργοναῦται κατασύρονται τῆς λιβύης εἰς σύρτιν καὶ τελευτῶσιν ἐκεῖ κάνθος καὶ μόψος. ἀπορούσι δὲ περὶ σωτηρίας τοῖς ἀργοναύταις, ἐπιφαίνεται τρίτων, καὶ ὡς διασωθήσονται δηλοῖ. βαστάσαντες οὖν τὴν ναῦν, ἐκόμισαν εἰς τὴν τριτωνίδα λίμνην. εἶτα γίνονται ἐν κρήτῃ, ἣ εἴργειν προσχεῖν ὑπὸ τάλω. ὃν ἐπῳδαῖς ἠφάνισε μήδεια. μετὰ δὲ ταῦτα παραγίνονται εἰς αἴγιναν, κἀκεῖθεν διασώζονται εἰς θεσσαλίαν.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΤΕΤΑΡΤΟΝ ΤΩΝ ΑΠΟΛΛΩΝΙΟΥ ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

Αὐτὴ νῦν κάματόν γε. ἐλλείπει τὸ ὦ μοῦσα. ἵνα ᾖ ὦ θεά. ὁ δὲ νοῦς. αὐτὴ νῦν ἐμοὶ εἰπὲ ὦ μοῦσα τόν τε μόχθον καὶ τὰς βουλὰς μηδείας ἀποροῦντός μου, πότερον ἐρωτικῷ πάθει ἢ κακῶς τε φυγὴν τρισμένη, κατέλιπε τὴν πατρίδα. Ἦ τ' ἔμοιγε. αὐτὶ τοῦ ἀπορία, ἀμφασία. ὥστε μὴ δύνασθαι εἰπεῖν πότερον ἐρωτικῷ πάθει ἢ κακοστως φυγὴν τρισμένη, ἤγουν φοβηθεῖσα, μήπως κακωθῇ ὑπὸ τοῦ πατρὸς ἀπέλιπε τὴν πατρίδα. ἐν μὲν οὖν τῷ ἀμφασίη τοῦ α, στέρησιν σημαίνοντος ἐπιτέθη τὸ, μ. τὸ δὲ ἀεικελίην ἐπιθετικῶς μὲν λέγεται κα-

τὰ τὸ φύζαν. ἢ διὰ τοῦ ὁμοιοπτώτως. μεταλαμβάνειν γε μὴν εἰς προσήκουσαν γενικὴν αὐτὸ δεῖ, ἵν' ᾖ φύζαν ἀφκελίης. οὕτω γὰρ ὁ νοῦς σώζεται.

2 Στυγερῷ τῷ θυμὸν ἀέθλῳ. στυγερὸν εἶπε τὸν ἆθλον, ἐφ' ᾧ αὐτὸς κατεσύναζε δυσφορῶν. Ἀλεγεινότατον. ἤτοι κατὰ πρόσθεσιν τοῦ ε. ἔστι γὰρ ἀλγεινότατον παρὰ τὸ ἀλγεῖν εἰρημένον. ἢ εἴρηται τὸ τὰς φροντίδας ἔχον, ὥστε τὴν λέξιν εἶναι παρὰ τὸ ἀλέγειν. Κεμάς. κεμάς ἐστιν ἡ νέα ἔλαφος. διαφορὰν δέ φασιν εἶναι κεμάδος καὶ νεβροῦ. κεμάδα μὲν γὰρ τὴν ἐπικοιμωμένην ἐν τῷ σπηλαίῳ, οἷον κοιμάδα τινὰ οὖσαν. νεβρὸν δὲ τὸν ἤδη μείζονα καὶ ἐπὶ βορὰν ἐξιόντα καὶ νεμόμενον. Ταρφέσι. πυκνώμασιν. Οἴσαρ. ἀπὸ τοῦ οἴω γέγονε ῥῆμα κατὰ διαίρεσιν οἴω. μήποτε καὶ τὸ δάσαρ ἅμα τῇ τροπῇ τοῦ διχρόνου καὶ περισπωμένου κέχρηται τῷ δ. ὡς καὶ τὸ δνοφερὸν ὕδωρ, παρὰ τὸ νέφος πεποίηται. καὶ παρὰ τὸ ἴψαι Σοφοκλῆς ἐν Ἰξίονι δίψιον φησὶ τὸ βεβλαμμένον. καὶ Ὅμηρος πολυδίψιον ἄργος ἱκοίμην, πολλάκις βεβλαμμένον. Ἐπίστορας. συνίστορας, συνειδυίας. Περιβρομέεσκον ἀκουαί. ἐνήχουν αἱ ἀκουαὶ ὥσπερ ἐρχομένων τινῶν ἀξόντων αὐτὴν πρὸς τὸν πατέρα.

3 Πυκνὰ λαυκανίης. λαυκανίας, τῆς ἀρτηρίας. δι' ἧς τὸ πνεῦμα ἑλκόμενον φέρεται. Κουρὶξ ἢ κατὰ κόρ-

4 Πτερόεις δέ οἱ, οἷον κοῦφος. ἐκουφίσθη (ῥης. τοῦ πρότερον λογισμοῦ τάχεος μετέπεσεν αὐτῇ ἡ ψυχή. εἰς ἱλαρότητα μετετράπη.

5 Διαλυθεῖσα. λάθρα διεξελθοῦσα τοῦ δόμου. ἀ-

πειρὰ

προδράσκω, φυγοῦσα. Ληϊάς. αἰχμάλωτος, δορυάλωτος. Ἀνθεστοῦσα. ἀήθους οὖσα. Δύης δὲ κακοπαθείας. Ἀοιδαῖς. ταῖς διὰ φαρμάκων ἐπῳδαῖς.

6 Πέζαν. τὸ ἄκρον λῶμα τοῦ χιτῶνος ὃ ἡμεῖς ὤαν λέγομεν. τὸ γὰρ πρότερον ὑπὲρ τοῦ μὴ τρίβεσθαι δέρματα προσέῤῥαπτο. Ἀμφίπεδα σπαλέας. χαλεπὰς καὶ κακάς. ἢ τὰς ὑπὸ κακῶν ἀναδιδομένας ἐκ τῆς γῆς. πλείονα γὰρ τῶν σωτηρίων τὰ φθοροποιὰ φάρμακα. ἢ τὰς δυσχερῶς ἀνασπωμένας. Τιτηνὶς ἥλιος καὶ σελήνη ὑπερίονος τοῦ τιτᾶνος, καὶ θείας εἰσὶ παῖδες ὡς ἡσίοδος φησί. θεία δ' ἠέλιον τέκε λαμπράν τε σελήνην. Φοιταλέην. ἐμμανῆ, μανιωδῶς φερομένην. Φοῖβος γὰρ ἡ μανία λέγεται καὶ εὐφορείων. Φοιταλέος δὲ πᾶσαν ἄδην ἐπάτησε κοθόρνῳ. μήτε δὲ οὗτος καὶ τὰς ἑταίρας φοιτάδας λέγουσιν.

7 Οὐκ ἄρ' ἐγὼ μούνη μὲν λάτμιον. λάτμον ὄρος καρίας, ἔνθα ἐστὶν ἄντρον, ἐν ᾧ διέτριβεν ἐνδυμίων. ἔστι δὲ καὶ πόλις, ἡ λεχθεῖσα ἡράκλεια. τὸν δὲ ἐνδυμίωνα, ἡσίοδος μὲν ἀεθλίου τοῦ διὸς καὶ καλύκης παῖδα λέγει, παρὰ διὸς εἰληφότα δῶρον, αὐτὸν ταμίαν εἶναι θανάτου ὅτε θέλοι ὀλέσθαι. καὶ πείσανδρος δὲ τὰ αὐτά φησι καὶ ἀκουσίλαος, καὶ φερεκύδης, καὶ νίκανδρος ἐν δευτέρῳ αἰτωλικῶν, καὶ θεόπομπος ἐν ἐποποιοῖς. ἐν δὲ ταῖς μεγάλαις ἠοίαις λέγεται τὸν ἐνδυμίωνα ἀνενεχθῆναι ὑπὸ διὸς εἰς οὐρανόν. ἐρασθέντα δὲ ἥρας, εἰδώλῳ παραλογισθῆναι τὸν ἔρωτα νεφέλης, καὶ ἐκβληθέντα κατελθεῖν εἰς ᾅδου. περὶ δὲ τοῦ τῆς σελήνης ἔρωτος, ἱστορεῖ σαπφὼ καὶ νίκανδρος ἐν δευτέρῳ εὐρώπης. λέγεται

δὲ κατέρχεσθαι εἰς τοῦτο τὸ ἄντρον τὴν σελήνην πρὸς ἐνδυμίωνα. ἐπιμενίδης δὲ αὐτὸν παρὰ θεοῖς διατρίβοντα ἐρασθῆναι φησὶ τῆς ἥρας. διόπερ διὸς χαλεπήναντος αἰτήσασθαι διὰ παντὸς καθεύδειν. ἴβυκος δὲ ἐν πρώτῳ, ἥλιδος αὐτὸν βασιλεῦσαι φησί. τινὲς δὲ διὰ τὴν δικαιοσύνην ἀποθεωθῆναι φασὶν αὐτὸν, καὶ αἰτήσασθαι παρὰ διὸς ἀεὶ καθεύδειν. φασὶ δὲ αὐτὸν οἱ μὲν, καρπάτιον, οἱ δὲ, ἠλεῖον. ἔνιοι δὲ ἀναιροῦσι τὸν περὶ τοῦ ἐνδυμίωνος ὕπνου μῦθον φιλοκύνηγον γὰρ αὐτὸν γενόμενον, νύκτωρ πρὸς τὴν σελήνην κυνηγεῖν, διὰ τὸ ἐξιέναι τὰ θηρία κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ τὰς νομάς. τὰς δὲ ἡμέρας ἐν σπηλαίῳ αὐτὸν ἀναπαύεσθαι, ὥς τινα οἴεσθαι πάντοτε αὐτὸν κοιμᾶσθαι. οἱ δὲ ἀλληγοροῦσι τὸν μῦθον λέγοντες ὡς ἄρα ἐνδυμίων πρῶτος ἐπεχείρησε τῇ περὶ τὰ μετέωρα φιλοσοφίᾳ. παρασχεῖν δὲ αὐτῷ τὰς ἀφορμὰς τὴν σελήνην ἔν τε φωτισμοῖς καὶ κινήσεσι. δι' ὃ καὶ νύκτωρ σχολάζοντα τούτοις ὕπνῳ μὴ χρῆσθαι. κοιμᾶσθαι δὲ μεθ' ἡμέραν. τινὲς δὲ τοῦτο ὅτι φίλυπνόν τινά γε γενέσθαι τὸν ἐνδυμίωνα. ἀφ' οὗ καὶ παροιμία. ἐνδυμίωνος ὕπνος, ἐπὶ τῶν πολὺ κοιμωμένων, ἢ ἀμελῶς τι πραττόντων, ὡς δοκεῖν κοιμᾶσθαι καὶ θεόκριτος μέμνηται. ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων ἐνδυμίων.

8 Η θαμά. μεμύθευται ὡς ἄρα αἱ φαρμακίδες τὴν σελήνην ταῖς ἐπῳδαῖς κατασπῶσι. τοῦτο δὲ ποιεῖν δοκοῦσιν αἱ θετταλαὶ, σφαλεῖσαι τῆς ὑπολήψεως καθὸ ἀγλαονίκη ἡγήμονος θυγάτηρ ἔμπειρος οὖσα τῆς ἀστρολογίας καὶ εἰδυῖα τὰς ἐκλείψεις τῆς σελή-

νης,

νης, ὁπότε μέλλοιεν πυνθάνεσθαι, ἔφασκε τὴν θεὸν κα-
ταπᾶν. καὶ πρᾶγμα περιέπιπτε συμφοραῖς τῶν
οἰκείων τινὰ ἀποβάλλουσα καὶ δίκην διδοῦσα τῆς ἁμαρ-
τήματος. ὅθεν κατὰ τὸν βίον λέγεται παροιμία, ἐπὶ τῶν
συμφοραῖς κεχρημένων, ὅτι τὴν σελήνην καταπᾶ.
πρὸς δὲ τοῦτο τὰ ναυπακτικὰ περιέχει, ὅτι οὐκ ἔστι κα-
τὰ τὴν ἰδίαν προαίρεσιν ἀξιοῦσα ἡ Μήδεια, ἀλλ' ἐφ'
ἑστίαν καλουμένη. οἱ δὲ ἀργοναῦται κατ' Αἰήτου βουλὴν
ἐνστάντος τοῦ τῆς ἀναιρέσεως αὐτῶν καιροῦ, προσταττομέ-
νου δὲ τοῦ Αἰήτου ἐπὶ τὴν Εὐρυλύτης τῆς γυναικὸς συν-
ουσίαν, Ἴδμονος ὑποθεμένου αὐτοῖς, ἀποδιδράσκου-
σιν, καὶ Μήδεια συνεκπλεῖ. Μνησαμένη φιλότητος.
τοῦ τοῦ Ἐνδυμίωνος διὰ τῶν ἐπῳδῶν. σκοτίη δὲ ἐν
ἀσελήνῳ, διὰ τὴν ἐμὴν περὶ τὸν ἐρώμενον ἀσχολίαν.
παραλαμβάνουσι δὲ ἔνιοι τὴν τῆς σελήνης ἔκλειψιν ὑπὸ
φαρμακίδων γίνεσθαι καθαιρουμένης. διὸ καὶ οἱ πα-
λαιοὶ καθαιρέσεις ἐκάλουν τὰς ἐκλείψεις. Ἄλλως. Ἡ
θαμὰ δή, καὶ τὰ ἑξῆς οὕτω συντακτέον. ὄντως θαμὰ ἐ-
γὼ φοιτῶ εἰς τὸ ἄντρον μνησαμένη τοῦ τοῦ Ἐνδυμίωνος
φιλότητος. καὶ σὺ ὁ κύων μνησαμένη, ἵνα εὔκηλος
φαρμάσσῃς ἐν σκοτίῃ νυκτὶ δολίαισιν ἀοιδαῖς, ἅ τοι
φίλα ἔργα τέτυκται. αἰνηρὸν δὲ λέγει τὸν ἀθεράπευ-
τον. Ἔδαιον. ἀντὶ τοῦ ἔκαιον. ἢ ἀνῆπτον.

9 Ὄρθια. ἀνατεταμένως, μεγάλως. Περαιόθεν. γέ-
γονε μὲν ἀπὸ τοῦ περαία καὶ πέρας καὶ τὸ περαιόθεν, ὅθεν
καὶ ἤπειρος λέγεται πᾶσα γῆ καταχρηστικῶς. κυρίως
δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα ὡς φανερὸν Εὐριπίδης
πεποίηκεν. Ἤπειρον ὡς ἄπειρον ἐκβάλλων χθόνα.
φεύγομεν πρὶν Ἰόνος θοῶν. ὁ μὲν Ἀπολλώνιος νυκτός

φησὶ πεφευγέναι τὴν Μήδειαν ἐπὶ τὴν ναῦν, αἰσθομένην συνέδριον ἐχόντων Κόλχων περὶ διαφθορᾶς τῶν ἡρώων. ὁ δὲ τὰ ναυπακτικὰ πεποιηκώς, ὑπὸ ἀφροδίτης φησὶ τὸν αἰήτην κατακοιμηθῆναι ἐπιθυμήσαντα τῇ αὐτοῦ γυναικὶ συγγενέσθαι, δεδειπνηκότων παρ' αὐτῷ τῶν Κόλχων, καὶ κοιμωμένων διὰ τὸ βουλεύεσθαι αὐτὸν τὴν ναῦν ἐμπρῆσαι. Δὴ τότ' ἄρ αἰήτῃ πόθον ἔμβαλε δῖ' ἀφροδίτη, Εὐρυλύτης φιλότητι μιγήμεναι ἧς ἀλόχοιο, Κηδομένη φρεσὶν ᾗσιν ὅπως μετ' ἄεθλον ἰήσων Νοστήσῃ οἶκόνδε σὺν ἀγχεμάχοις ἑτάροισιν. ὁ δὲ ἴδμων συνῆκε τὸ γινόμενος καὶ φησί. Φευγέμεναι μεγάροιο θ ὴν διὰ νύκτα μέλαιναν. τὴν δὲ μήδειαν τὴν ποδοψοφίαν ἀκούσασαν, ἀναστᾶσαν συνεξορμῆσαι. λέγει δὲ καὶ ἡρόδωρος ταῦτα.

10 Δώσω δὲ χρύσειον. ὁ μὲν ἀπολλώνιος μετὰ τὸ φυγεῖν τὴν μήδειαν ἐκ τοῦ αἰήτου οἴκου πεποίηκε ὑπισχνουμένην τὸ κῶας τῷ ἰάσονι. ὁ δὲ τὰ ναυπακτικὰ γράψας συνεκφέρουσαν αὐτὴν ποιεῖ τὸ κῶας κατὰ τὴν φυγὴν ἐν τῷ οἴκῳ κείμενον τοῦ αἰήτου. ὁ δὲ ἡρόδωρος μετὰ τὴν ἀνάζευξιν τῶν ἀργοναυτῶν ἀποστεῖλαι τὸν ἰάσονα ὑπὸ τοῦ αἰήτου ἐπὶ τὸ κῶας. τὸν δὲ πορευθέντα φονεῦσαί τε τὸν δράκοντα, καὶ τὸ κῶας ἀπενεγκεῖν πρὸς αἰήτην. τὸν δὲ δόλῳ καλέσαι αὐτοὺς ἐπὶ δεῖπνον. Ἐπιίστορας. μάρτυρας. Ὀνοτήν. μεμπτήν. προσπτύξατο, περιέλαβε. πὲρ ἐκ νόον, παρὰ τὴν βουλήν. Ἔμπαλιν ἀΐσσουσα. εἰς τοὐπίσω ὁρμῶσα.

11 Ἄγχαυρον. τὸν καιρὸν τὸν πλησίον καὶ ἐγγὺς τῆς ἡμέρας, ὥσπερ τὸ καλούμενον λυκόφως. παρὰ γὰρ

τὸ ῥ

τὸν τοιοῦτον καιρὸν αἱ αὖραι πνέουσι. ἐν ἄλλῳ δὲ ἐκ τοῦ πόντου. αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πέλει ἠῶθι πρό. κνώσσειν τὸ ὑπνώττειν. εὐνὰς δέ φησι κριοῦ, ὅπου πρῶτον τὸν φρίξον κομίσας ὁ κριὸς ἀνεπαύσατο. ἵνα κριοῦ. ἐν κόλχοις ὅπου πρῶτον τὸν φρίξον κομίσας ὁ κριὸς ἀνεπαύσατο.

12 Ὀρξάπετ' αἰολίδης. διονύσιος ἐν τοῖς ἀργοναυτικοῖς λέγει κριὸν γεγονέναι φρίξῳ παιδαγωγόν. ὃν πρῶτον αἰσθόμενον τὴν ἐκ τῆς μητρυιᾶς ἐπιβουλὴν ὑποθέσθαι φυγεῖν. ὑφ' οὗ καὶ σωθέντος τοῦ νεανίου διαδοθῆ, ὡς ἄρα ἐπὶ κριοῦ μέχρι κόλχων διασωθείη ὁ φρίξος. Ἔκλυον οἱ δὲ περὶ πολλόν. ὑπερβολῇ κέχρηται περὶ ποσότητα. εἴπερ φησὶ τὴν τοῦ δράκοντος φωνὴν τοῖς μὲν μακρὰν οὖσι τῶν κόλχων ἀκούεσθαι, αὐτοῖς δὲ μή.

13 Ἐκὰς τιτηνίδος αἴης. τοῦ τιτῆνος ποταμοῦ, ἀφ' οὗ καὶ ἡ χώρα τιτηνὶς κέκληται, μνημονεύει ἐρατοσθένης ἐν γεωγραφίᾳ. ὁ δὲ λύκος ποταμὸς ἀπὸ ἀράξου φερόμενος συγκιρνᾶται φάσιδι, καὶ οὗτος ἀπολέσας τὸ ἴδιον ὄνομα, ἐκδίδωσιν εἰς θάλασσαν. τὸ δὲ αὐτὸ τοῦτο γίνεται ἐπί τε ὀνοχώνου τοῦ κατὰ θεσσαλίαν καὶ παμισοῦ καὶ σπερχειοῦ. ὅταν γὰρ εἰς ταυτὸ συρρεύσωσι πάντες, ἀπιδανὸς καλοῦνται. ὁ δὲ ἀράξης, ποταμὸς σκυθίας. μηνόδωρος δὲ ἐν πρώτῳ τῶν περὶ ὑγράνην τὸν θερμώδοντα ἀράξην φησὶ λέγεσθαι. καυκασίαν δὲ θάλασσαν τὴν κασπίαν φησὶ διὰ τὸ συνάπτειν τῷ καυκάσῳ. ἄλλως. βέλτιον καυκασίαν θάλασσαν νῦν τὸν εὔξεινον νοεῖν, τὸν πλησιάζοντα τῷ καυκάσῳ. οὐ γὰρ εἰς τὴν καυκασίαν, ἀλλ' εἰς τὸν εὔξεινον ἐκ-

δινοῦσιν ὁ φάσις. Καπνοῖο στροφάλιγγες. αἱ τοῦ σφοδροῦ καπνοῦ εἰλήσεις κατὰ ἀναφοράν. δεῖ δὲ τοῦ ἄλλη δ᾽ αἶψ᾽ ἑτέρῃ ἐπιτέλλεται. δηλοῖ τὸ συνεχὲς τῆς ἐπαναφορᾶς. Εἰλίγγοις τὰς εἰλήσεσι καὶ συστροφαῖς τοῦ σφοδροῦ καπνοῦ. Επήορος. μετέωρος.

14 Απειρεσίας ἐλέλιξε: πολλὰς, ὑπερβολικῶς καὶ τοῦτο εἴρηκε, διαγράφων τὸ τερατῶδες μέγεθος τοῦ δράκοντος. Ρυμβόνας δὲ τὰς εἰλήσεις τὰς σπείρας, τὰς περιδινήσεις. ὁ εὐριπίδης ἐν πειρίθῳ, Σὲ τὸν αὐτοφυῆ πάντων θεῶν αἰθέρα ῥύμβῳ τῷ τ᾽ ἐστὶ κινήσει. ὅθεν καὶ τὸ κινούμενον τροχίσκιον ὑπὸ τῶν φαρμακίδων ῥόμβιον καλεῖται. οὕτω δὲ λέγονται τὰς περιφορεῖς κινήσεις. ὁ περὶ εὐπόλιδι. ὦ ῥύμβοις μαστίξας ἐμέ. Αζαλέαις. ξηραῖς. Επηρεφέας. ἐσκεπασμένας. Εἴσατο. ὥρμησε. Θέλξαι. κοιμῆσαι. Νυκτιπόλου. ὡς ὁ ἀπὸ γῆν διατρίβουσαν. εὐαυτέα δὲ τὴν εὐάντητον καὶ εὐεξίλαστον ἢ εὐαπάντητον. Ο᾽ ἱμῇ θελγόμενος. τῇ ἐπῳδῇ ἡ τα πεινούμενος. Ακανθαν. τὰ τοῦ ὄφεως ὀστᾶ ἄκανθαι λέγεται. κατὰ κοινοῦ δὲ τὸ πηγενέος ὡς ὁ ἄλλων ἑρπετῶν. Περιπτύξαι. περιλαβεῖν.

15 Η δέ μιν. ἐν ῥύρις καὶ ῥὶσ ἐφεξῆς φησι τὴν μήδειαν ἐρραίνουσαν ἀρκεύθῳ τὸ φάρμακον κοιμίσαι τὸν δράκοντα ἐπάδουσαν. καὶ οὕτω τὸ κῶας ἀνελέσθαι καὶ χωρῆσαι ἀμφοτέροις ἐπὶ τὴν ναῦν κοιμωμένου τοῦ θηρὸς συμφώνως αὐτιμάχῳ. Φερεκύδης δέ φησιν ἐν ἑβδόμῳ φονευθῆναι τὸν δράκοντα ὑπὸ ἰάσονος. ἡ δὲ ἄρκευθος δένδρον τι ἀκανθῶδες ἀπόλλωνος ἴδιον. ὡς ἱστορεῖται ἐν τρίτῳ τῶν εἰς μουσαῖον ἀναφερομένων.

Νέαρος

Νήριτος ἢ πτελή. Πολύπρεμνος, ὁ πολυσέλεχος. Αγρῶσται οἱ κυνηγοί. ἀπὸ τοῦ ἀγρώσσω ῥήματος πέπλωκεν. ὅμηρος. ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δύεται ἅλμη.

16 Αχαιΐνέην. ἀχαία ἐστὶ τῆς κρήτης πόλις, ἐν ᾗ γίνονται ἀχαιΐνέαι λεγόμεναι ἔλαφοι, αἱ δὲ σπαθηναῖαι καλοῦνται. οἱ δὲ κέρατα μεγάλα ἔχοντες ἔλαφοι κοράσται. Βεβρίθει λήνεσιν. τοῖς ἐρίοις. ὅθεν καὶ λανάρειοι καλοῦνται οἱ κτενισταί. πολλοὶ δὲ χρυσοῦν τὸ δέρας εἰρήκασιν, οἷς ἀπολλώνιος ἠκολούθησεν. ὁ δὲ σιμωνίδης ποτὲ μὲν λευκὸν, ποτὲ δὲ πορφυροῦν. διονύσιος δὲ ὁ μιτυληναῖος ἄνθρωπον φησὶ γεγενῆσθαι παιδαγωγὸν τοῦ φρίξου ὀνόματι κριόν. Αφασσόμενος. ψηλαφῶν. νοσφήσεται. ἀφαιρήσεται. Μηκέτι νῦν χάζεσθε. ἀναχωρεῖτε καὶ μεριμνᾶτε περὶ τῆς εἰς τὴν πατρίδα ἀνακομιδῆς. τινὲς δὲ γράφουσι φράζεσθε.

17 Ηδη γὰρ χρειώ. ἡ γὰρ χρεία φησὶν ἧς χάριν τοῦτον τὸν πλοῦν ὑπέστημεν τὸν χαλεπὸν εὐκόλως ταῖς βουλαῖς τῆς κόρης τετελέσθαι. Εζόμενος πηδοῖσι. τοῖς πλάτεσι τῶν κωπῶν, διὰ οὗ δηλοῖ τὰς κώπας ἀπὸ μέρους. πηδὸν γάρ καλεῖται τὸ πλατὺ τῆς κώπης. θεόφραστος δὲ εἶδός ξύλου τὸ πηδόν. Οἱ δὲ ἡμίσεις ὁπλισθέντες ἀμύνεσθε τοὺς ὠθοῦντας. Θοόν. ἀντὶ τοῦ θοῶς. ὄνομα ἀντὶ ῥήματος. Εχμα δὲ βολάων, εἴρηκε τὰς ἀσπίδας. ἔχμα γὰρ τὸ κώλυμα. Περίπυστος, ὁ περιβόητος.

18 Ες δ' ἀγορὴν ἀγέροντο. συνηθροίζοντο πρὸς μάχην, καὶ φησὶν οὐκ ἔστι χειμῶνος τὰ κύματα τῆς θαλάσσης τεκμήρασθαι. οὕτως οὐδὲ τὸ πλῆθος τῶν

ὁπλισθέντων κόλχων. Περίπυστος. περιβόητος, περιμέμφεον, περίπλεον. Πεύκην περιμήκεα. τὴν λαμπάδα ὡς ἐμπρήσων τὴν ναῦν. ὁ μὲν ἀπολλώνιος ἄπρακτον ἀναχωρῆσαι φησὶ τὸν αἰήτην σὺν ὀχήματι ἡνιοχοῦντος ἀψύρτου. Διονύσιος δὲ ὁ μιλήσιος φησὶν, ὅτι καταλαβὼν τὴν ναῦν ὁ αἰήτης, παραταξαμένων τῶν ἀριστέων, ἴφιν ἀνεῖλεν εὐρυσθέως ἀδελφόν. καὶ αὐτοὺς πολλοὺς ἀπέβαλε. Φερεκύδης δὲ ἐν ἑβδόμῳ, τὴν μήδειαν φησὶν ἆραι τὸν ἄψυρτον ἐκ τῆς κοίτης, ἰάσονος εἰπόντος αὐτῇ, καὶ ἐνεγκεῖν πρὸς τοὺς ἀργοναύτας. ἐπεὶ δὲ ἐδιώχθησαν, σφάξαι καὶ μελίσασαν ἐκβαλεῖν εἰς τὸν ποταμόν. ἐν δὲ τοῖς σκύθαις ὁ σοφοκλῆς ἑτερομήτορα τῆς μηδείας τὸν ἄψυρτον λέγει. οὐ γὰρ ἐκ μιᾶς κοίτης ἔβλαστον. ἀλλ' ὁ μὲν νηρηΐδος τέκνον ἄρτι βλαστάνεσκε. τὴν δ' ἰδυῖα πρὶν ποτ' ὠκεανοῦ κόρη τίκτεν. Νηῦς ἤδη κρατερῆσιν. ἡ ναῦς φησιν βιαίᾳ ὁρμῇ τὸν πλοῦν ἤνυεν τῇ τε τῶν ἐρετῶν δυνάμει βιαζομένη, καὶ τῷ τοῦ ποταμοῦ καθέλκοντι καὶ καταφόρῳ ῥεύματι.

19 Αὐτὰρ ἄναξ. ὁ δὲ αἰήτης φησὶν ἐν πολλοῖς κακοῖς περιδινημένος τὸν ἥλιον καὶ τὴν δία μάρτυρας τῶν πεπραγμένων ἐπικαλεῖν. φησὶ δὲ ὁ ἀπολλώνιος διὰ τούτων, τὸν αἰήτην ἄπρακτον ὑποστρέψαι. διὰ δὲ τῶν ἑξῆς φησὶ τὸν ἄψυρτον νέον ὄντα ἡνιοχεύειν παραβεβηκότα τῷ πατρί. Διονύσιος δὲ ὁ μιλήσιος φησὶν ὅτι αἰήτης ἐδίωξεν αὐτούς. οἱ δὲ ἀριστεῖς ἠγωνίζοντο ἀκοντίζοντες. οἱ δὲ περὶ τὸν αἰήτην ἵππευον. ἔνθα καὶ ἴφιν τελευτῆσαι τὸν σθενέλου μὲν υἱὸν, εὐρυσθέως δὲ ἀδελφόν.

ἀδελφόν, καταβαλόντα δὲ δύο τῶν περὶ αἰήτην ἱππέων, περικατάληπτον γενέσθαι ὑπὸ τοῦ αἰήτου περιστάντος αὐτὸν βρόχῳ. ἐν δὲ τοῖς ἑξῆς φησὶν ὡς οἱ κόλχοι εἰς φυγὴν ἐτράπησαν. Φερεκύδης δὲ ἐν ἑβδόμῳ διωκομένους ἀναβιβάσαι ἐπὶ τὴν ναῦν τὸν ἄψυρτον, καὶ μελίσαντας ῥίψαι εἰς τὸν ποταμόν. Σοφοκλῆς δὲ ἐν κολχίσι φησὶ κατὰ τὸν οἶκον τοῦ αἰήτου τὸν παῖδα σφαγῆναι. ἑξῆς δὲ ἀπολλώνιος τὴν ἀπειλὴν τάσσει τὴν πρὸς τοὺς κόλχους.

20 Καὶ δὴ τὰ μὲν ὅσα θυηλῇ. ἐκ τούτου βούλεται δηλῶσαι ὅτι τοιαύτην θυσίαν ἐβούλετο τελέσαι, ὁποίαν αἱ φαρμακίδες εἰώθασι. νύμφις δὲ ἐν τῷ ἕκτῳ περὶ ἡρακλείας, ἑκάτης φησὶν ἱερὸν εἶναι ἐν τῇ παφλαγονίᾳ μηδείας ἱδρυσαμένης. κατὰ δὲ τὴν ἀποσιώπησιν ἐμφάσει κέχρηται τὴν ταῖς φαρμακίσι τελουμένην θυσίαν μὴ ἐπεξεργάζεσθαι. Νῆσον μὲν ὀρχομενόν. διὰ τούτων φησὶν ὁ ἄργος ἀληθῆ αὐτοῖς εἰρῆσθαι ὑπὸ φινέως εἶναι γὰρ πλοῦν ἕτερον ἔξω φέροντα, ὃν αἰγύπτιοι ἱερεῖς ἐσημήναντο ἐγίνωσκε γὰρ τὰ μέρη ἐκεῖνα ὁ ἄργος διό φησιν. ὄντως δὴ τῇ ἐσχάτῃ ὁδῷ κεχρημένοι, ἣ μὲν ἡμεῖς εἰς ὀρχομενὸν ἐπορευόμεθα πορεύεσθε. ἔστι δὲ πλόος ἄλλος. ἡρόδωρος ἐν τοῖς ἀργοναύταις φησὶ διὰ τῆς αὐτῆς θαλάσσης ἐπανελθεῖν δι' ἧς καὶ ἐπορεύθησαν εἰς κόλχους. ἑκαταῖος δὲ ὁ μιλήσιος ἐκ τοῦ φάσιδος διελθεῖν εἰς τὸν ὠκεανόν. εἶτα ἐκεῖθεν εἰς τὸν νεῖλον. ὅθεν εἰς τὴν ἡμετέραν θάλασσαν. τοῦτο δὲ ὁ ἐφέσιος ἀρτεμίδωρος ψεῦδος φησὶν εἶναι. τὸν γὰρ φάσιν μὴ συμβάλλειν τῷ ὠκεανῷ, ἀλλ'

ἐκ τῶν ὀρέων καταφέρεσθαι. τὸ αὐτὸ καὶ ἐρατοσθένης ἐν γ´ γεωγραφικῶν φησί. τιμάγητος δὲ ἐν α´, περὶ λιμένων, τὸν ἴστρον φησὶ καταφέρεσθαι ἐκ τῶν κελτικῶν ὀρῶν. εἶτα ἐκδιδόναι εἰς κελτικὴν λίμνην. μετὰ δὲ ταῦτα εἰς δύο σχίζεσθαι τὸ ὕδωρ. καὶ τὸ μὲν, εἰς τὸν εὔξεινον πόντον εἰσβάλλειν. τὸ δὲ εἰς τὴν κελτικὴν θάλασσαν. διὰ δὲ τούτου τοῦ στόματος πλεῦσαι τοὺς ἀργοναύτας, καὶ ἐλθεῖν εἰς τυῤῥηνίαν. κατακολουθεῖ δὲ αὐτῷ καὶ ἀπολλώνιος. ἡσίοδος δὲ καὶ πίνδαρος ἐν πυθιονίκαις, καὶ ἀντίμαχος ἐν λυδῇ, διὰ τοῦ ὠκεανοῦ φησιν ἐλθεῖν αὐτοὺς εἰς λιβύην, καὶ βαστάσαντας τὴν ἀργὼ, εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι.

21 Οὐδέ τι πω δαναῶν. τοὺς αἰγυπτίους παλαιοτάτους εἶναι φησίν. ἡρόδωρος δὲ φρύγας. κόσμης δὲ ἐν πρώτῳ αἰγυπτιακῶν, καὶ λέων ἐν πρώτῳ τῶν πρὸς τὴν μητέρα, καὶ κνωσὸς ἐν α´. γεωγραφικῶν τῆς ἀσίας, πάντων ἀρχαιοτάτους αἰγυπτίους φασί. καὶ ἐν αἰγύπτῳ πρώτους κτισθῆναι πόλιν θήβας. καὶ νικάνωρ δὲ τούτοις συμφωνεῖ καὶ ἀρχέμαχος ἐν ταῖς μετωνυμίαις. καὶ ξεναγόρας ἐν πρώτῳ χρόνων. ἵππους δὲ τοὺς αἰγυπτίους ἀρχαιοτάτους γεγονέναι λέγει, καὶ πρώτους στοχάσασθαι περὶ τῆς ἀέρος κράσεως. καὶ γονιμώτατον εἶναι τὸ τοῦ νείλου ὕδωρ. γεγονέναι δὲ αὐτούς φησιν ὁ ἀπολλώνιος πρὸ τοῦ πάντα τὰ ἄστρα φανῆναι. καθὸ τήν τε φύσιν κατανοῆσαι αὐτῶν δοκοῦσι καὶ τὰ ὀνόματα θεῖναι. καὶ τὰ μὲν δώδεκα ζώδια θεοὺς βουλαίους προσηγόρευσαν. τοὺς δὲ πλανήτας, ῥαβδοφόρους. ἡρόδωρος δέ φησι φρύγας πρώτους γενέσθαι.

ψαμμίτιχον τὸν τῶν αἰγυπτίων βασιλέα βουλόμενον ἐπιγνῶναι τινὲς τῶν ἀνθρώπων προγενέστεροι, παραδοῦναι ποιμένι δύο βρέφη κελεύσαντα, μὴ λέγειν μηδὲν αὐτοῖς φθέγγεσθαι, μόνον δὲ αὐτοῖς αἶγας θηλάζειν δίδοσθαι. οἱ δὲ δύο ἐτῶν διελθόντων, πρώτην φωνὴν ἀφῆκαν τὸ βέκ. οὕτω δὲ λέγεται παρὰ φρυξὶν ὁ ἄρτος. ἐγνώσθησαν δὲ ἀπὸ τούτου οἱ φρύγες γηγενεῖς. οἱ δέ, φασὶν ὅτι εὐήθης ἐστὶν ὑπολαμβάνειν τοῦτο. ἀκούοντες γὰρ οἱ παῖδες βληχωμένων τῶν προβάτων, ὡς ἂν ὑπὸ τῆς φύσεως ἐνεργούμενοι, πρὸς τὸ ἔνδοθεν τὴν φωνὴν ἀπέξεψαν. οἷοι δ' ἔσαν ἀρκάδες. μόνοι δὲ ἦσαν ἀρκάδες φησὶν τῶν ἑλλήνων ἀρχαιότεροι. ἀπιδανήων δὲ τῶν πελοποννησίων ἀπὸ ἄπιδος τοῦ φορωνέως.

22 Ἀρκάδες οἳ καὶ πρόσθεν. οἱ ἀρκάδες δοκοῦσι πρὸ τῆς σελήνης γενονέναι, ὡς καὶ εὔδοξος ἐν τῇ περιόδῳ. Θεόδωρος δὲ ἐν εἰκοστῷ ἐννάτῳ, ὀλίγῳ πρότερον φησὶ τῆς πρὸς τοὺς γίγαντας πολέμου ἡρακλέους, τὴν σελήνην φανῆναι. καὶ ἀρίστων ὁ χῖος ἐν ταῖς θέσεσι, καὶ διονύσιος ὁ χαλκιδεὺς ἐν πρώτῳ κτίσεως τὰ αὐτά φασι. καὶ ἔθνος δὲ ἀρκαδίας σεληνίτας εἶναι. μνασέας δέ φησι πρὸ σελήνης ἀρκάδας βασιλεῦσαι. ἀριστοτέλης δὲ ἐν τῇ τεγεατῶν πολιτείᾳ φησὶν, ὅτι βάρβαροι τὴν ἀρκαδίαν ᾤκησαν. οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν ἀρκάδων ἐπιθεμένων αὐτοῖς πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην. διὸ κατωνομάσθησαν προσέληνοι. δοῦρις δὲ ἐν πέμπτῳ καὶ δεκάτῳ τῶν μακεδονικῶν ἀρκάδα φησὶν ἀφ' οὗ ἡ ἀρκαδία καλεῖται ὀρχομενοῦ υἱόν. διὸ καὶ πόλιν τῆς ἀρκαδίας ὀρχομενόν. τινὲς δέ φασιν ἐνδυμίωνα

εἰρηκέναι τὰς περιόδους ἐν τοῖς ἀριθμοῖς τῆς σελήνης. ὅθεν καὶ προσελήνους τοὺς ἀρκάδας κληθῆναι. ἀρκὰς δὲ ὁ ἐνδυμίων. ἔνιοι δὲ ὑπὲρ τοῦ τυφῶνος. ὑπὲρ δὲ ἄτλαντος ξεναγόρας εἴρηκεν. Ἀνάσσετο δευκαλίδησιν. οἱ ἀπὸ δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον θεσσαλίας, ὥς φησιν ἑκαταῖος καὶ ἡσίοδος. ἡ θεσσαλία δὲ πελασγία ἐκαλεῖτο, ἀπὸ πελασγοῦ τοῦ βασιλεύσαν-

23 Καὶ ποταμὸς τρίτων. περὶ τῆς τοῦ νείλου (τος. ἀναβάσεως διάφοροι αἰτίαι παρὰ τοῖς παλαιοῖς ἐλέγοντο. ἀναξαγόρας μὲν γάρ φησι διὰ τὴν τῆξιν τῆς χιόνος πληθύειν αὐτόν. ὡς ἕπεται καὶ εὐριπίδης λέγων. εἰλουμένη δὲ καλλιπάρθενος ῥοὴ λευκῆς τακείσης χιόνος ὑγραίνει γύην. καὶ αἰσχύλος δὲ καὶ σοφοκλῆς ὑπέλαβον τοὺς κατ' αἴγυπτον χιονίζεσθαι τόπους καὶ τηκομένης τῆς χιόνος τὴν χύσιν εἰς τὸν νεῖλον ἐκδίδοσθαι. νικαγόρας δέ φησιν ἀπὸ τῶν αὐρίκων αὐτὸν ῥεῖν. δημόκριτος δὲ ὁ φυσικὸς, ἀπὸ τῶν κατὰ μεσημβρίαν ὑποκειμένου πελάγους λαμβάνειν τὸν νεῖλον τὴν ἐπίχυσιν. ἀπογλυκαίνεσθαι δὲ τὸ ὕδωρ διὰ τὸ διάστημα καὶ τὸ μῆκος τοῦ πόρου, καὶ ὑπὸ τοῦ καύματος ἀφεψόμενον, δι' ὃ καὶ ἐναντίαν φησὶν ἔχειν τὴν γεῦσιν. ἀρίστων δὲ ὁ χῖος ὅτι χειμῶνος ὢν ὑπὸ γῆν ὁ ἥλιος εἰσπέμπει τὸ ὕδωρ. τοῦ δὲ θέρους γινόμενος ὑπὲρ γῆν, οὐκέτι διὰ τὸ μᾶλλον θερμαίνεσθαι αὐτήν. διὸ καὶ χαλωμένη ἡ γῆ πλέον ὕδωρ ἀναδίδωσιν. Ἔφορος δὲ ποταμόχωστον εἶναι φησὶ τὴν αἴγυπτον. ξηραινομένης δὲ τῆς γῆς ὑπὸ τοῦ ἡλίου τῷ ἔαρι ἀναπιδᾶν τὸ ὕδωρ καὶ ἐπαύξεσθαι τὸ ῥεῦμα. θαλῆς δὲ ὁ μι

λήσιος

λήσιος φησὶν ὑπὸ τῶν ἐτησίων συνελαυνόμενα τὰ νέφη κατὰ τὰ ὄρη τῆς αἰθιοπίας, αὐτόθι ῥήγνυσθαι. ὅταν γὰρ τοῦ ποταμοῦ ἐξεναντίας συστῶσιν αἱ πνοαὶ προσπίπτουσι τῇ θαλάσσῃ ἐκ τῆς ἀποπιμπραμένης πλήμμης τὰς ὑπερχύσεις ἀναδέχεσθαι τὸν νεῖλον. Διογένης δὲ ὁ ἀπολλωνιάτης ὑπὸ ἡλίου ἁρπάζεσθαι τὸ ὕδωρ τῆς θαλάσσης, ὃ τότε εἰς τὸν νεῖλον καταφέρεσθαι. οἴεται γὰρ πληροῦσθαι τὸν νεῖλον ἐν τῷ θέρει, διὰ τὸ τὸν ἥλιον εἰς τοῦτον τὰς ὑπὸ γῆς ἰκμάδας τρέπειν. ὁ δὲ νεῖλος οὗτος τὸ πρότερον ἐκαλεῖτο τρίτων. μετωνομάσθη δὲ ἀπὸ νείλου τοῦ κύκλωπος τοῦ ταντάλου βασιλεύσαντος τῆς χώρας, ὡς ἑρμιππός φησιν. Ὄμβρος ἅλις. ἀμφιβολία περὶ τὴν σύνταξιν. σημαίνει γὰρ ἤτοι ἅλις ἀνασταχυόντων. ἢ ὅτι οὐ δεύει ὄμβρος ἅλις. ἐπεὶ οὐ βρέχει συνεχῶς κατ' αἴγυπτον. Ἔνθεν δή τινα. σεσόγχωσις αἰγύπτου πάσης βασιλεὺς, μετ' ὦρον τὸν ἴσιδος καὶ ὀσίριδος παῖδα, τὴν μὲν ἀσίαν ὁρμήσας πᾶσαν κατεστρέψατο. ὁμοίως καὶ τὰ πλεῖστα τῆς εὐρώπης. ἀκριβέστερον δέ ἐστι τὰ περὶ αὐτοῦ παρὰ ἡροδότῳ. θεόπομπος δὲ ἐν τρίτῳ σέσωστριν αὐτὸν καλεῖ. ἡρόδοτος δὲ προστίθησιν, ὅτι εἰ μέν τινας πολέμῳ κατέστρεψεν, στήλας ἐτίθει πῶς ἐνίκησεν. εἰ δὲ παρεχώρουν, γυναικεῖον ταῖς στήλαις αἰδοῖον προσετίθει σύμβολον τῆς μαλακίας. περὶ δὲ τῶν χρόνων καθ' οὓς ἐγένετο σεσόγχωσις, ὁ μὲν ἀπολλώνιος τοσοῦτο μόνον φησὶ, πολὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών. φησὶ δὲ Δικαίαρχος ἐν δευτέρῳ, καὶ ἑλληνικοῦ βίου σεσογχώσιδι μεμεληκέναι, καὶ νόμους αὐτὸν θέσθαι λέγει, ὥστε μη-

δεῖν καταλιπεῖν τὴν πατρῴαν τέχνην. οὗτος γὰρ ὥσπερ
ἀρχὴν τῆς πλεονεξίας. καὶ πρῶτον φασὶν αὐτὸν εὑρηκέ-
ναι ἵππων ἀνθρώπους ἐπιβαίνειν. οἱ δὲ ταῦτα εἰς ὦρον
ἀναφέρουσιν. Ηὲ καὶ οὔ. ἢ ὅτι ἐκλελοίπασι τινὲς τῶν πό-
λεων, ἢ μετωνομάσθησαν ἀγνοοῦνται ὑφ' οὗ τυγχά-
νουσιν ἐκτισμέναι. τοῦτον δὲ τὸν χρόνον αἴτιον γεγενῆ-
σθαι Δικαίαρχος ἐν πρώτῳ μετὰ τὸν ἴσιδος καὶ ὀσίρι-
δος ὦρον, βασιλέα γεγενῆσθαι σεσόγχωσιν λέγει. ὥσ-
τε γίγνεσθαι ἀπὸ τῆς σεσογχώσιδος βασιλείας μέχρι
τῆς νείλου ἔτη δισχίλια, φ. ἀπὸ δὲ τῆς νείλου βασιλεί-
ας μέχρι τῆς πρώτης ὀλυμπιάδος ἔτη, υ. λϛ. ὡς εἶναι
τὰ πάντα ὁμοῦ ἔτη δισχίλια ἐννακόσια, λϛ. Αἶ-
αν γε μήν. τὴν αἶαν φησὶν ἀπὸ τῶν σεσογχώσιδος χρό-
νων μέχρις αὐτοῦ μένειν ἄθραυστον καὶ τοὺς ἐκείνων ἀπο-
γόνους τοὺς ἀπὸ σεσογχώσιδος κατοικισθέντας. τού-
τους δὲ ἐγγόνους εἴρηκε καταχρηστικῶς. ὡς ἡρακλεῖδαι
λέγονται οὐ μόνον οἱ ἡρακλέους παῖδες. ἀλλὰ καὶ οἱ
ἐκείνων ἀπόγονοι. ὅτι δὲ κόλχοι αἰγυπτίων ἄποικοι
ὥς φησιν ἀπολλώνιος, καὶ σκύμνος ἐν τοῖς περὶ ἀσί-
ας λέγει καὶ ἡρόδοτος ξιβᾶοι, ὅς γε καὶ αὐτῶν τῶν αἰ-
δοίων τῆς περιτομῆς μέμνηται καὶ τῶν λίνων ὑφῆς
καὶ νόμοις αὐτοὺς χρῆσθαι τοῖς αἰγυπτίων λέγει.

24 Οἱ δή ῥι γράπτους. γράπτους τοὺς νόμους λέγει. εἰ-
σὶ δέ φησι καὶ νόμοι παρ' αὐτοῖς τῶν προγόνων καὶ
στῆλαι, ἐν αἷς γῆς καὶ θαλάσσης ἀναγραφαί εἰσι. Κύρ-
βιας. στήλας. λέγει δὲ τοὺς ἄξονας ἐν οἷς οἱ νόμοι γρά-
φονται. ὡς ἀριστοφάνης ὁ κωμικός. ἀπολλόδωρος δέ
φησι πᾶσαν δημοσίαν γραφὴν καὶ νόμους, κύρβιν κα-
λεῖ

λέσθαι. ὅτι οἱ ἀρχαῖοι λίθους ἱστάντες εἰώθεσαν τὰ δόξαντα ἐν αὐτοῖς ἀναγράφειν. κύρβεις οἱονεὶ κορύφεις, κατὰ συγκοπὴν καὶ μεταθέσει καὶ τροπῇ τοῦ, φ. εἰς, β. κύρβεις. ὕστερον δὲ ξύλα λελευκωμένα γράφοντες, κύρβεις ὁμοίως ἐκάλεσαν καὶ αὐτά. κύρβεις μὲν οὖν αἱ περιέχουσαι τὰς ἱστορίας ἀναγραφάς. κύρβεις λέγουσιν ὡς ἐρατοσθένης φησὶ καὶ τοὺς ἄξονας καλουμένους ἀθήνησιν, ἐν οἷς οἱ νόμοι περιέχονται. οἱ δὲ ἀκριβέστεροι ἄξονας μὲν τετραγώνους λίθους. κύρβεις δὲ τριγώνους. ἐν ἀμφοτέροις δὲ νόμοι ἦσαν γεγραμμένοι ἀθήνησι. Κέρας. κέρατα γὰρ λέγουσι τοῦ ὠκεανοῦ πάντας τοὺς ποταμοὺς τοὺς ἀπ' αὐτοῦ καταφερομένους. ὁ δὲ ἴστρος ποταμὸς σκυθίας. ὁ δὲ λόγος. μακρόθεν ὄντα διετεκμήραντο τὸν ποταμὸν καὶ ἔγνωσαν.

25 Ἴστρον μιν καλέοντες. τὸν ἴστρον φησὶν ἐκ τῶν ὑπερβορέων καταφέρεσθαι καὶ τῶν ῥιπαίων ὀρῶν. οὕτω δὲ εἶπεν ἀκολουθῶν αἰσχύλῳ ἐν λυομένῳ προμηθεῖ, λέγοντι αὐτόν. γενόμενον δὲ μεταξὺ σκυθῶν καὶ θρακῶν σχίζεσθαι. καὶ τὸ μὲν, εἰς τὴν καθ' ἡμᾶς θάλασσαν ἐκβάλλειν ῥεῖθρον. τὸ δὲ, εἰς τὴν ποντικὴν θάλασσαν ἐκπίπτειν. τὸ δὲ, εἰς τὸν ἀδριατικὸν κόλπον. σκύμνος δὲ ἐν τῇ ἑκκαιδεκάτῃ περὶ εὐρώπης, αὐτὸν μόνον φησὶν ἀπὸ ἐρήμου φέρεσθαι τὸν ἴστρον. ῥίπαια δὲ ὄρη ἐν ταῖς ἀνατολαῖς ὡς καλλίμαχος. Ῥιπαίου πέμπουσιν ἀπ' οὔρεος ἧχι μάλιστα ἐρατοσθένης δὲ ἐν τρίτῳ γεωγραφικῶν ἐξ ἐρήμων τόπων ῥεῖν, περιβάλλειν δὲ νῆσον πεύκην. οὐδεὶς δὲ ἱστορεῖ διὰ τούτου τοὺς ἀργοναύτας εἰσπεπλευκέναι εἰς τὴν ἡμετέραν

θάλασσαν ἔξω τι μαγήρου, ᾧ ἠκολούθησεν ἀπολλώνιος. ὁ μὲν γὰρ σκύμνος αὐτοὺς διὰ ταναΐδος πεπλευκέναι ἐπὶ τὴν μεγάλην θάλασσαν, ἐκεῖθεν δὲ εἰς τὴν ἡμετέραν θάλασσαν ἐληλυθέναι, καὶ παρεκβολεύεται ὡς ἄρα ἐλθόντες ἐπὶ τὴν ἤπειρον οἱ ἀργοναῦται ἐπὶ σαυρωτήρων ἐκόμιζον τὴν ἀργὼ μέχρις οὗ ἐπὶ θάλασσαν περιεγένοντο. ἡσίοδος δέ φησι διὰ φάσιδος αὐτοὺς πεπλευκέναι. ἑκαταῖος δὲ ἐλέγχων αὐτὸν, ἱστορεῖ μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν φάσιν. οὐδ᾽ ὡς διὰ ταναΐδος ἔπλευσαν. ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν, καθ᾽ ὃν καὶ πρότερον, ὡς σοφοκλῆς ἐν σκύθαις ἱστορεῖ καὶ καλλίμαχος. ὅθεν καὶ τῶν σκυθῶν τοὺς μὲν εἰς τὸν ἀδρίαν πεπλευκότας μὴ εὑρεῖν τοὺς ἀργοναύτας. τοὺς δὲ διὰ τῶν κυανέων εὑρεῖν ἐπὶ τὴν κέρκυραν καταπεπλευκότας. ὁ δὲ ἴστρος καταφερόμενος ἐξ ὑπερβορέων, ὅταν φθάσῃ ἐπὶ τὸν μεταξὺ σκυθίας καὶ θρᾴκης τόπον σχίζεται εἰς δύο. καὶ τὸ μὲν αὐτοῦ εἰς τὸν εὔξεινον πόντον βάλλει. τὸ δὲ ἕτερον εἰς τὴν τυῤῥηνικὴν θάλασσαν. Τρινακρίης. τὸ τυῤῥηνικὸν πέλαγος παράκειται τῇ σικελίᾳ. ἐκαλεῖτο δὲ θρινακρία τὸ πρότερον διὰ τὸ τρεῖς ἄκρας ἔχειν, παχῦνον, λιλύβαιον, πέλωρον. βουλόμενος δὲ ὁ ἀπολλώνιος καινότερόν τι περὶ τοῦ ἴστρου εἰπεῖν, τὸ εἰς τὸν ἀδρίαν καταφερόμενον ῥεῦμα αὐτοῦ, ὑποδιαιρεῖ αὖθις εἰς δύο. καὶ τὸ μὲν εἰς τὸν ἀδρίαν φέρεσθαι. τὸ δὲ εἰς τυῤῥηνικὸν πέλαγος λέγει, ὅπερ καταχρώμενος, θρινάκειον εἶπε. Γαίης ὑμετέρης ἐὰν μὲν οὕτω γράφηται, γαίης ὅσον ὑμετέρης, ἔσται περὶ ἑλλάδος. ἐὰν δὲ ἡμετέρης, ἔσται τοῦ ἴστρου.

ἴστρου. παράκειται γὰρ τοῖς κόλχοις οὗτος. Ὑμετέρης γαίης. ὁ ἀχελῶος τῶν τῆς ἑλλάδος ποταμῶν τῶν ἄλλων διαπρεπέστατος. τὸ δὲ φινάκειον πέλαγος παράκειται τῇ τῶν ἑλλήνων γῇ. εἰ τοίνυν ἐστὶν ὁ ἀχελῶος, παρ' ὑμῖν ἐστίν. τὸ δὲ ὄνομα ἀκούομεν. ἀγνοεῖ δὲ ὁ ἄργος ὡς αὐτοῦ ἐκ τῆς χώρας ἀναπηδύει. φησὶν οὖν τὸν ἴστρον εἰς τὸν ἀχελῶον εἰσβάλλειν διὰ τὰς πηγὰς αὐτῷ παρέχεσθαι. Αἴπου. τὸ καθῆκον. Ὁλκὸν, τὴν διαδρομὴν τοῦ ἀστέρος. Ἐπὶ πνοιαί τε. ἐπέμενον δὲ αἱ αὐταὶ τῶν ἀνέμων πνοαί. Ἢ ἡ φανεῖσα αὐγῆς οὐρανία λαμπαδὼν ἡ τὸν ἐπὶ τὸν ἴστρον διάπλουν σημαίνουσα. διαφωνοῦσι δὲ οἱ περὶ τοῦ ἔκπλου τῶν ἀργοναυτῶν καὶ τῶν κόλχων γεγραφότες. Κόλχοι δ' αὖτ' ἄλλοι. τῶν κόλχων οἱ μὲν, διὰ τῶν κυανέων πετρῶν ἔπλευσαν, ὡς καὶ καλλίμαχος. φησὶ δὲ ἀπολλώνιος ἀποστρέψαι αὐτοὺς, ἐναντίως καλλιμάχῳ. οἱ δὲ εἰς τὸν ἴστρον μετὰ ἀψύρτου ἦλθον.

26 Καλὸν διὰ στόμα. τρία στόματα ἔχει ὁ ἴστρος. ὧν ἓν λέγεται καλὸν στόμα, ὥς φησι τιμάγητος ἐν τῷ περὶ λιμένων. εἰς ὅ φησι πλεῦσαι τὸν ἄψυρτον. Πανέσχατον ἰονίοιο. τὸ ἰόνιον πέλαγος τῆς ἰταλίας, εἰς ὃ ἐκδίδωσιν ὁ ἀδρίας. διὸ καί τινες αὐτὸ ἀδρίαν ὀνομάζουσι κατὰ μετάδοσιν τοῦ ὀνόματος. ἐπεὶ γὰρ συνάπτει ὁ ἀδρίας τῷ ἰονίῳ, διὰ τοῦτο ποτὲ μὲν τὸν ἀδρίαν ἰόνιον, ποτὲ δὲ τὸν ἰόνιον ἀδρίαν καλοῦσιν. ὠνομάσθη δὲ ἀπὸ ἰονίου τὸ γένος ἰλλυρίου. ὥς φησι θεόπομπος ἐν εἰκοστῷ πρώτῳ, ἰόνιον πέλαγος πρὸς τῇ ἰταλίᾳ οὕτω καλούμενον, ἀπὸ ἰονίου ἀνδρὸς ἰλλυρικοῦ. τινὲς δὲ ἀ-

περὶ τῆς γινομένης πλάνης τῇ ἰοῖ. Τριγλῶχιν. ἐρατοσθένης ἐν .γ. γεωγραφικῶν, νῆσον εἶναι ἐν τῷ ἴστρῳ φησὶ τρίγωνον ἴσην τῇ ῥόδῳ ἣν πεύκην λέγει διὰ τὸ πολλὰς ἔχειν πεύκας. Καὶ τὴν μὲν κορυφὴν τοῦ τριγώνου αὐτῆς πρὸς τὸ ῥεῦμα οὖσαν τοῦ ποταμοῦ ἀγκῶνα ἐκάλεσε. τὴν δὲ βάσιν τὴν πρὸς τὴν θάλασσαν, εὖρος. Ἀμφὶ δὲ διαί. περὶ τὸν περὶ τὴν πεύκην ἀγκῶνα δύο εἶναι φησὶ στόματα τοῦ ἴστρου. ὧν τὸ μὲν καλεῖται ἄρηκος. τὸ δὲ καλὸν στόμα, ἐν ᾧ τάχιον οἱ κόλχοι σὺν ἀψύρτῳ ἔπλευσαν. Οἱ δ᾽ ὑψοῦ νήσοιο. οἱ περὶ τὸν ἰάσονα ἄνωθεν τῆς νήσου διὰ τοῦ ἄρηκος στόματος ἔπλευσαν. οἱ δὲ νομεῖς πάντας ἀκούσαντες δόξαντες τὰς ναῦς θαλάσσια θηρία εἶναι, δείσαντες εἰς φυγὴν ἐτράπησαν. Εἰαμεναί. οἱ καθυγροι τόποι καὶ στεγανώδεις. δεῖ δὲ ἀκούειν ἑκατέρωθεν τοὺς νομεῖς πεφευγότας.

27 Οὔτ᾽ οὖν θρήϊξι. τοῖς περὶ τὴν εὐρώπης θραξὶν ὅμοροι εἰσὶν οἱ σκύθαι. Οὔθ᾽ οἱ περὶ λαύρειον. λαύρειον πεδίον τῆς σκυθίας. τῆς δὲ σκυθίας ἔθνη πεντήκοντα. Τιμώναξ ἀναγράφει ἐν πρώτῳ περὶ σκυθῶν. κατὰ δὲ τὸ τῶν σινδῶν πεδίον σχίζεται ὁ ποταμὸς ἴστρος. καὶ τὸ μὲν αὐτοῦ ῥεῦμα εἰς τὸν ἀδρίαν. τὸ δὲ εἰς τὸν εὔξεινον πόντον εἰσβάλλει. τὸ δὲ σίνδοι ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου βαρύνειν φησὶ δεῖν. τινὲς δὲ ὀξύνουσιν οὐκ εὖ. καὶ ἱππῶναξ δὲ μνημονεύει πρὸς τὸ σινδικὸν διάσφαγμα. ἑλλάνικος δὲ ἐν τῷ περὶ ἐθνῶν φησι. βόσπορον δὲ παραπλεύσαντι σινδοί. ἄνω δὲ τούτων μαλιῶται σκύθαι. ἔστι δὲ καὶ σίγυννος εἶδος δόρατος παρώνυμον τῷ ἔθνει.

Ἀγχοῦ

Ἀγγούρου ὄρεος. πλησίον ἴστρου τοῦ ποταμοῦ. μνημονεύει δὲ αὐτοῦ τιμάγητος ἐν λιμέσιν. ὁ δὲ καυλιακὸς σκόπελος τῆς σκυθίας πλησίον τοῦ ἴστρου, οὗ μνημονεύει πολέμων ἐν κτίσει ἰταλικῶν καὶ σικελικῶν. πολλοὶ γράφουσιν ἄγγουρον ὄρος ἢ ἄγγυρον ὄρος. ἢ ἀγγύρου ὄρεος. ἀντὶ δὲ τοῦ καυκασίοιο, καυλιακοῖο. φησὶ δὲ κατὰ τοῦτο τὸ ὄρος τὸν ἴστρον διασχιζόμενον, τῇ μὲν, εἰς τὴν ἀδρίαν, τῇ δὲ, εἰς τὸν εὔξεινον εἰσβάλλειν. Κρονίην ἅλα. τὴν ἀδρίαν φησί. ἐνταῦθα γὰρ τὸν κρόνον κατῳκηκέναι. Κατ' ἐκεῖνον τὸν τόπον φησὶ τοὺς ἀργοναύτας τὸ πλῆθος τῶν κόλχων φοβηθέντας, εἴκειν αὐτοῖς. καὶ βούλεσθαι μὲν τὰ κῶας ἔχειν καὶ μὴ παρασχεῖν. τὴν δὲ μήδειαν ἣν γὰρ τὸ καθ' αὑτὴν δίκαιον ἀμφήριστον, παραθέσθαι τῇ ἀρτέμιδι ἐν τῷ αὐτῆς ἱερῷ, ἕως τις δικάσῃ πότερον αὐτὴν ἀποδοτέον τῷ πατρὶ ἢ τοῖς ἀργοναύταις. Ονειδίζουσα τῷ ἰάσονι φησὶ ξίφει αὐτὸν αὐτὴν διαχειρίσασθαι, ἵνα ἀξίαν ἀπολάβῃ χάριν τοῦ πρὸς αὐτὸν ἔρωτος. ἐν ἤθει δὲ τοῦτο εἶπεν.

28 Στρευγόμενος, ἀντὶ τοῦ καταπονούμενος καὶ στρεβλούμενος. Ἀτροπίῃ. τῇ σῇ κακοτροπίᾳ ἢ ἀβουλίᾳ ὅτι ἐπιώρκησας.

29 Ἀεικελίοισιν. τοῖς γὰρ τοῖς κακοῖς φησι κακὰ δεῖ βουλεύεσθαι. προείρηται τὸ ἢ τὸν ἄψυρτον ἀνελεῖν ἐπὶ τοῖς προειρημένοις ἁμαρτήμασιν ὑπ' αὐτῶν.

30 Εἴκεν πως. εἴπως φησὶ πείσαιμι τὸν ἄψυρτον μόνην ἥκειν φιλίαν πρὸς αὐτὸν συνθεμένη. Δίῃ. ἐν τῇ νάξῳ. καλλίμαχος. ἐν δίῃ. τὸ γὰρ ἔσκε παλαιότερον οὔνομα νάξῳ. Γλήνεσι. ποικίλμασιν. Οὐ μὴν ἀ-

φάεσιν. οὐδαμῶς ἂν τὸ πέπλον ἐκεῖνον ψηλαφῶν, ἢ καθορῶν, τὴν ἐπιθυμίαν πληρώσειας. Ἀκρο-χάλιξ. ἄκρως μεθύων, ἀκράτῳ ἢ νέκταρι. Μινωΐδος, τῆς ἀριάδνης.

31 Μέγα στύγος. τὸν ἔρωτα ἐστὶν μέγα στύγημα τοῖς ἀνθρώποις λέγει.

32 Οἰόθι δ' ἀντικρύ. μόνος δὲ πρὸς τὴν μήδειαν μετιὼν ὁ ἄψυρτος πεῖραν ἐλάμβανεν, ὡς ἔτι ὢν ἁπαλὸς καὶ δόλων ἄπειρος, εἰ βουληθείη προδοῦναι τοὺς ἀργοναύτας τὸν κατ' αὐτοῦ δόλον οὐκ ἐπιστάμενος. Ἔμπαλιν ὄμματ' ἔνεικεν. ἡ μήδεια ἀπεστράφη τοῦ ἀψύρτου ἀναιρουμένου, ἵνα μὴ τὸν φόνον αὐτοῦ ἴδῃ. τὸν δὲ ἄψυρτον ὁ ἰάσων ἔπληξεν, ὥσπερ βοῦς καταβάλλων. Βρυγοὶ ἔθνος ἰλλυρίας. Καταχρηστικῶς πρόδομον εἶπε τὸν πρόναον. Τῆς δὲ μηδείας ὁ ἄψυρτος ἀποθνήσκων τὴν καλύπτραν καὶ τὸν πέπλον ἐρύθαινε τῷ ἑαυτοῦ αἵματι.

33 Ἐξάργματα τάμνε. τῶν ἀποθανόντων οἱ δολοφονοῦντες ἀρχαίως ἀκρωτηριάσματά τινα ἐποίουν τοῦ ἀναιρουμένου. καὶ ταῦτα λαβόντες ἐξήρτων τοῦ τραχήλου αὐτοῦ. τῶν δὲ καλουμένων ἀκρωτηριασμάτων ἄπειρα καὶ πολλὰ ἐξάργματα, ἔπειτα τοῦ αἵματος αὐτοῦ λαβόντες τρὶς εἰς τὸ στόμα ἔπτυον. τοῦτο δὲ ἐποίουν πρὸς τὸ ἐξιλάσασθαι τὴν δολοφονίαν. Ἀψυρτεῦσιν. ἔθνος ἀπὸ ἀψύρτου εἰρημένον. Ο πλεῖν ξυμβουλεύει μετὰ τὸν ἀψύρτου θάνατον ἀποπλεῖν. οὐδεὶς γὰρ λόγος φησὶ πείσει τοὺς κόλχους διώξαι ἡμᾶς, ἰδόντας τὸ πεπραγμένον.

34 Ἠλεκτρίδα. αὕτη ἡ ἠλεκτρὶς ἐγγύς ἐστι τοῦ ἠριδανοῦ ποταμοῦ. οἱ κόλχοι ἀφορμηθέντες τοὺς ἀργῴους οὐκ ἐπανῆλθον φοβούμενοι τὸν αἰήτην. ἀλλ' οἱ μὲν αὐτοῦ ᾤκησαν ὅπου ὁ ἄψυρτος ἐδολοφονήθη μετὰ τῶν κληθέντων ἀπ' αὐτοῦ ἀψυρτέων. οἱ δὲ, ἐν ἰλλυρίᾳ, ὅπου οἱ ἐγχέλυες περὶ τὰ κεραύνια ὄρη.

35 Ὑλλήων. ἔθνος περὶ τὴν ἰλλυρίαν ἀπὸ ὕλλου τοῦ ἡρακλέους καὶ μελίτης ὠνομασμένον. Πευσόμενος. πεῦσιν χρησμὸν αἰτησόμενος παρὰ τοῦ ἀπόλλωνος. Ὅπῃ χθονός. οἱ ὑλλῆες λαβόντες μισθὸν παρὰ ἰάσονος τρίποδα διὰ μηνύσεως τῆς ὁδοῦ, ἔκρυψαν ὑπὸ γῆν. ἐπεὶ ὁ χρησμὸς ἐκέλευσεν ἔνθα ἂν ὁ τρίπους ᾖ, ἀπόρθητον εἶναι τὴν πόλιν. τὸ δὲ ὃν ὁ δὲ κεύθεται πρὸς τὸν τρίποδα. Μάκριν τ' εἰσαφίκανε. μάκρις τὸ παλαιὸν ἐλέγετο ἡ σχερία. ὠνομασμένη ἀπὸ τῆς διονύσου τροφοῦ. ἔνθα φησὶ τὸν ἡρακλέα παραγενόμενον τὸν τῶν παίδων αὐτοῦ φόνον καθαρθησόμενον, μελίτην τὴν αἰγαίου τοῦ ποταμοῦ θυγατέρα γεγαμηκέναι, ἐξ ἧς ἔσχε τὸν ὕλλον. ὃς ἀκμάσας οὐκ ἠθέλησε τῷ ναυσιθόῳ ὑποταγῆναι. ἀλλὰ τινὰς τῶν φαιάκων συναγαγὼν, εἰς τὴν κρονίαν θάλασσαν κατῴκησε.

36 Ἀλλὰ θεαὶ πῶς. πυνθάνεται τῆς μούσης ὁ ποιητὴς, πῶς τὸν πλοῦν ἐποίησαν οἱ ἀργοναῦται μετὰ τὸν ἀψύρτου θάνατον, καὶ πῶς εἰς θάλασσαν ἦλθον. μέμφονται δέ τινες τὸν ἀπολλώνιον, ὡς παρὰ τρόπους τοὺς χρόνους εἰρηκότα τὴν ἰταλίαν αὐσονίαν. ὑστέροις γὰρ χρόνοις τῶν ἀργοναυτῶν οὕτω κέκληται ἀπὸ αὔσονος τοῦ ὀδυσσέως καὶ καλυψοῦς. ἐροῦμεν δὲ ὅτι εἰ

ἢ μὴ κατὰ τοὺς χρόνους ἐκείνους αὔσονες ὠνομάζοντο· ἀλλὰ τοῖς τοῦ πρὶν τοῦ χρόνοις ἐκαλοῦντο οὕτως. Νῆσοί τε λιγυστίδες. περὶ τὴν ἰταλίαν εἰσὶ τρεῖς λιγυστίδες καλούμεναι στοιχάδες διὰ τὸ στοίχῳ τετάχθαι. αἳ ζηνῶν οἰκοῦνται ὑπὸ τῶν λιγύων. Αὐτόν που. μετὰ τὴν ποῦ σιν ἐμπνευσθεὶς ἐντεῦθεν ἄρχεται τοῦ διηγήματος. Ἐξείης παλήθοντο. λίβυρνοι ἔθνος οἰκοῦντες ταύτας τὰς νήσους. Ἴσσαν τε δυσκέλαδον καὶ πιτύειαν. μεθ' ἃς εἰς κόρκυραν ἦλθον. τὴν δὲ πιτυοῦσαν καλουμένην πιτύειαν εἶπεν ὁμήρῳ ἑπόμενος.

37 Δοιάζοντο. ἐστοχάζοντο. Χόλον ἐφράσαθ' ἥρη. ἡ ἥρα φησὶ τὴν διὸς ὀργὴν ἐπισταμένη πρὸς τοὺς ἀργοναύτας σφοδροὺς ἀνέμους ἔπνευσε κατ' ἐκείνους τοὺς τόπους. ὅπως ἀποστῶσιν μὲν αὐτῶν, φέρονται δὲ εἰς τὴν ἠλεκτρίδα νῆσον.

38 Ἡ στεῖρα τῆς ἀργοῦς φησι φωνὴν ἔχουσα ξύλον μετὰ δέδωκεν αὐτοῖς τὸν διὸς χόλον φεύγειν καὶ πρὸς κίρκην ἀφικέσθαι τὸν ἀψύρτου θάνατον καθαρθησομένους. εἰς δὲ τὸν ἠριδανὸν εἰσέβαλλον, ὅς ἐστι τῆς κελτικῆς ποταμός. εἰς ὃν λέγουσι πεπτωκέναι τὸν φαέθοντα. Δήουσιν. εὑρήσουσιν. ἀεὶ γὰρ τὸ μέλλον προκεῖται. Λέγεται τῶν ἡλιάδων θρηνουσῶν τὸν φαέθοντα καὶ εἰς αἰγείρους μεταβεβλημένων, τὸ ἀποστάζον δάκρυον εἶναι ἤλεκτρον.

39 Κελτοὶ δ' ἔπι. οἱ κελτοὶ ἐφήμισαν τὸ ἤλεκτρον εἶναι μὴ τῶν ἡλιάδων ἀλλὰ δάκρυον τοῦ ἀπόλλωνος, ἡνίκα διὰ τὸν ἀσκληπιοῦ θάνατον ἀνιαθεὶς εἰς τοὺς ὑπερβορέους ἀφίκετο διὰ τὴν τοῦ πατρὸς ἐπιτίμησιν. ἢ ὅτε ἐκελεύσθη θητεύειν ἐπὶ τῷ φόνῳ τῶν κυκλώπων.

Θρηνουσῶν δὲ τῶν ἡλιάδων τὸ δάκρυον ἀναμίσγεται τοῖς ὕδασιν ὥσπερ σταγόνες ἐλαίου. σταγὼν ὡς ἀπὸ τοῦ στάξ σταγός.

40 Ῥοδανὸς ποταμὸς τῆς κελτικῆς, ὅστις ἠριδανῷ συμμιγνύμενος καὶ σχιζόμενος τῇ μὲν εἰς ὠκεανὸν φέρεται. τῇ δὲ, εἰς τὸν ἰόνιον κόλπον. τῇ δὲ, εἰς τὸ σαρδόνιον πέλαγος. Ἑρκυνίου. ἑρκύνιον ὄρος κελτῶν ἢ δρυμός. Ἀδήϊοι. ἄγνωστοι. ἀζήτητοι. ἀνενόχλητοι. Τῶν διοσκούρων οἵτινες ηὔξαντο ὑπὲρ αὐτῶν. Πόρε νῆας. σώζειν δηλονότι ὁ στόλος ἔπλει τις.

41 Αἰαίης λιμένα. ἔοικεν ἀπολλώνιος ἐκδεδέχθαι τὴν ὀδυσσέως πλάνην περὶ τυρρηνίαν καὶ ἰταλίαν. ἐκεῖ γὰρ ὑποτίθεται τὴν κίρκην οἰκεῖν. Ἡ κίρκη φησὶ κατελήφθη ἐπὶ θαλάσσης ἡμέρας γενομένης ἀποτετραμμένη φοβερὸν ὄναρ ὃ νυκτὸς εἶδεν αἵματι τὸν οἶκον αὐτῆς μεμολυσμένον.

42 Ἡ τε δίκη λυγροῖς. ὡς νόμος ἐστὶ τοῖς ἱκέταις ὥστε αὐτοὺς ἐπὶ τῆς ἑστίας καθημένους μὴ φθέγγεσθαι. Φύξιος μὲν ζεύς, ὁ βοηθῶν τοῖς φυγάσι καὶ πρὸς ὃν καταφεύγουσι. φύξιος δὲ οἶτος ἐνταῦθα ὁ θάνατος. δι' ὃν καταφεύγουσιν. ἔγνω δέ φησιν ἡ κίρκη τὸν ἰάσονα φόνον δεδρακότα.

43 Λυτήριον. τὸ καθάρσιον λέγει. ὅ ἐστι χοιρίδιον μικρόν, ὅπερ οἱ ἀγνίζοντες θύσαντες τὰς χεῖρας τοῦ ἀγνιζομένου, τῷ αἵματι αὐτοῦ βρέχουσιν. Ἀγκαλέουσα. ἐπικαλουμένη. Παλαμναῖος λέγεται ὁ φόνον εἰργασμένος. ἐνταῦθα δὲ παλαμναίας ἱκεσίας λέγει τὰς ὑπὲρ φόνου γινομένας. ὧν τὸν δία τιμήορον ἤγουν τιμη τὴν φησιν. Ἡ δὲ κίρκη πέμματά τινα ἐπέχουσα ὕδωρ

ἐπιχέοντος κατὰ τὸν νόμον. Ἐνωπαδίς. κατ' ὄψιν ἐξ ἐναντίας. ὅτι ἀντιθέτως αὐτοὺς ἐκάθισεν ἐπὶ θρόνων, ὥστε αὐτὴν ἐναντίον αὐτῶν ἐκαθέσθη. Ἵετο δ' ἄρ' ἀκοῦσαι προὐθυμεῖτο. φωνὴν ἀκοῦσαι συμβαλοῦσα, ὅτι ἀπὸ Ἡλίου ἐστὶν ἀπὸ τῆς τῶν ὀφθαλμῶν διαυγίας.

44 Ἐπὶ βλεφάρων. ἐπὶ πάνυ πόῤῥω ἀπὸ τῶν ὀμμάτων ἔλαμπον ταῖς λαμπηδόσιν. Ἐπλάσατο ἡ μήδεια λέγουσα δὲ αὐτὴν πεφευγέναι διὰ τὸ φοβεῖσθαι τὸν πατέρα. ὅτι ἐβοήθησε τῷ ἰάσονι κατ' ἔλεον διὰ ἀδελφῆς χαλκιόπης. Ἄϊστον. ἀφανῆ, ἄγνωστον. ἐφέστιον, ἐπὶ τῇ ἑστίᾳ ὄντα.

45 Ἐλθεῖν εἰς ἀκτάς. ἀγαθοκλῆς ἐν τοῖς ὑπομνήμασι περὶ τῶν χαλκείων τοῦ ἡφαίστου ἱστορῶν, φησὶ κατὰ σικελίαν δύο εἶναι νήσους. ὧν ἡ μὲν καλεῖται ἱέρα, ἡ δὲ στρογγύλη. αἳ τινὰς ἡμέρας καὶ νύκτας πῦρ ἀφιᾶσιν. ὁ δὲ αὐτός φησιν ἐν ἑβδόμῳ ἐν σικελίᾳ νῆσοι ὑπάρχουσι. τούτων δύο πῦρ ἀφιᾶσι. καλεῖται δὲ ἡ μὲν αἰόλου. ἡ δὲ ἡφαίστου, ἐν ᾗ πυρὸς ποταμούς φασιν ἀνιέναι. Ὅθι τ' ἄκμονες ἡφαίστοιο. ἐν τῇ λιπάρᾳ καὶ στρογγύλῃ, τῶν αἰόλου δὲ νήσων αὗται, δοκεῖ ὁ ἥφαιστος διατρίβειν. διὸ καὶ πυρὸς βρόμον ἀκούεσθαι καὶ ἦχον σφοδρόν. τὸ δὲ παλαιὸν ἐλέγετο τὸν βουλόμενον ἀργὸν σίδηρον ἀποφέρειν καὶ ἐπὶ τὴν αὔριον ἐλθόντα λαμβάνειν ἢ ξίφος, ἢ εἴ τι ἄλλο ἤθελε κατασκευάσαι καταβαλόντα μισθόν. ταῦτα φησὶ πυθέας ἐν γῆς περιόδῳ, λέγων καὶ τὴν θάλασσαν ἐκεῖ ζεῖν. Αἰθρηγενέεσσιν ἀήταις. τοῖς αἴθραν καὶ ψῦχος ποιοῦσιν. ὅτι δὲ αἴολος ἐξουσίαν εἶχεν ἀνέ-

μων,

μων, καὶ ὅμηρος φησί. κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε κρονίων. ὅτι δὲ αἴθραν τὸ ψῦχος λέγουσιν ὁ αὐτός φησι ποιητής. αἴθρῃ καὶ καμάτῳ δεδμημένον. Ἐπεὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμὲν ὕπαιθρα, τὰ ὑπὸ ἀνέμου καταπνεόμενα.

46 Πλαγκταὶ πέτραι ἐν τῷ πορθμῷ εἰσιν, ὡς τίμαιος καὶ πεισίστρατος ὁ λιπαραῖος. νῦν δὲ τὰς κυανέας λέγει. ἐν ὑπερβατῷ ἡ ἀναγνωστέον. ἔστι γὰρ διεξιόντας. Περιβλύει. περικλύζει. κατὰ μίμησιν ἤχου. ἀπλάδες ἢ αἱ πέτραι ἀπὸ τοῦ συμπεπλῆχθαι. Φυτῆσαι. φυτεῦσαι. βλαστῆσαι.

47 Αὐτὴ ἡ σέλας. ὅτι τὸ παλαιὸν τὰς μητέρας τῶν γαμούντων ἐν τοῖς γάμοις δᾳδουχεῖν ἔθος ἦν, καὶ εὐριπίδης ἐν φοινίσσαις φησίν. Ἐγὼ δὲ οὔτε σοι πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις ὡς πρέπει μητρὶ μακαρίᾳ. ἥρα τὸν φησι δᾳδουχῆσαι τῇ θέτιδι διὰ τὴν πρὸς αὐτὴν εὔνοιαν, μητρὸς ἔργον ἐπιτελοῦσα. Νηϊάδεσσι κομέοιτο. τὴν χαρικλὼ λέγει καὶ τὴν φιλύραν. ὑφ' ὧν ἐτράφη ὁ ἀχιλλεύς. ὧν ἡ μὲν χαρικλὼ γυνὴ χείρωνος. φιλύρα ἡ μήτηρ. Λίποντα. ἀθυμοῦντα. Ἀρήγειν. βοηθεῖν. Χρειώ μιν. Ἀραξαγόρας φησὶν ὅτι ταῖς ἀληθείαις ἀχιλλέα τιμῶσι, τοῖς περὶ λακωνικὴν ταῦτα πέπλασται. οἱ δέ φασιν ὅτι συμπαθήσαντες οἱ θεοὶ τῇ θέτιδι ἀπεθανάτισαν αὐτόν. ὅτι δὲ ἀχιλλεὺς εἰς τὸ ἠλύσιον πεδίον παραγενόμενος ἔγημε μήδειαν, πρῶτος ἴβυκος εἴρηκε. μεθ' ὃν σιμωνίδης.

48 Ἠδ' αὐτῷ πηλῆϊ. ὁ τὸν αἰγίμιον ποιήσας ἐν δευ-

τέρῳ φησὶν ὅτι ἡ Θέτις εἰς λέβητα ὕδατος ζέοντα ἐνέβαλλε τοὺς ἐκ Πηλέως γενομένους αὐτῇ παῖδας, βουλομένη εἰδέναι εἰ θνητοί εἰσιν. ἑτέροις δὲ εἰς πῦρ ὡς Ἀπολλώνιός φησι. καὶ δὴ πολλῶν διαφθαρέντων ἀγανακτῆσαι τὸν Πηλέα, καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φησὶν ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν. Στάφυλος δὲ ἐν τρίτῳ τῶν περὶ Θεσσαλίαν ἱστορεῖ Χείρωνα σοφὸν ὄντα καὶ ἀστρονομίας ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον ποιῆσαι, μεταπέμψασθαι τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος, καὶ λόγους διασπεῖραι ὅτι μέλλει γαμεῖν τὴν Θέτιν ὁ Πηλεύς, Διὸς διδόντος αὐτῷ, οἱ δὲ θεοὶ μετ' ὄμβρου καὶ χειμῶνος ἥξουσιν εἰς τὸν γάμον. ταῦτα φημίσας τηρεῖ τὸν χρόνον ἐν ᾧ ὑδάτων ἔμελλεν ἔσεσθαι ἐπομβρία καὶ πνεύματα ἐξαίσια καὶ δίδωσι Πηλεῖ Φιλομήλαν. καὶ οὕτως ἐπεκράτησεν ἡ φήμη, ὅτι τὴν Θέτιν ἔγημε. Ἀΐκας. ἀΐκαι αἱ ἐν τῷ πολέμῳ ἐφ' ἑκάτερα κινήσεις καὶ ὁρμαί. ὁ δὲ Ἀπολλώνιος τὰς ἀντιπνοὰς τῶν ἀνέμων εἴρηκεν.

49 Μὴ δὲ σύγ' ἠὲ Χάρυβδιν. ἡ Σικελία ἀντικρὺ κεῖται τῆς Ἰταλίας. ἔστι δὲ τούτων μέσον πορθμός, διέχων σταδίους ἑπτὰ ἀπὸ Σικελίας εἰς Ἰταλίαν. τῶν δὲ τριῶν αὐτῆς ἀκρωτηρίων, ἀφορᾷ πρὸς Ἰταλίαν ἡ Πελωρίς. ὑπόκειται δὲ αὐτῇ Χάρυβδις. ἡ δὲ Σκύλλα ἐν τῇ Ἰταλίᾳ ἀντικρὺ ταύτης. ἀκρωτήριον δέ ἐστιν ἡ Σκύλλα ἐξέχον εἰς θάλασσαν, ὁμοίωμα καὶ πρόσωπον ἔχον γυναικός. κάτω δὲ τοῦ ἀκρωτηρίου εἰσὶ

πέτραι

πέτραι παλαιαὶ καὶ μεγάλαι ἔχουσι κοίλους τόπους καὶ σπήλαια, ἐν οἷς θαλάσσια θηρία μένουσιν. ὅσα μὲν οὖν τῶν πλοίων τὰς πέτρας ἐκκλίνοντα ὑπὸ τοῦ κλύδωνος εἰς τὴν χάρυβδιν ἀπωθῶσιν ἀναῤῥοφοῦνται ὑπ' αὐτῆς συγκαταφερόμενα τῇ θαλάσσῃ. ὅσα δ' αὖ ὑπὸ τῆς ἐν χαρύβδει θαλάσσης εἰς τὰς πέτρας τῆς σκύλλης ὑφάλους καὶ τραχείας οὔσας ἀπωθῶσι συγκατακλᾶται καὶ διαφθείρεται. εἶτα διεξιόντες θαλάσσιοι κύνες καὶ ἕτερα διάφορα θηρία ἐσθίουσι τοὺς ἐκ τῶν νεῶν ἄνδρας. δοκεῖ δὲ ἡ σκύλλα λέγεσθαι παρὰ τοῖς ποιηταῖς ἔχειν κύνας διέχοντας ἀπὸ τῶν πλευρῶν, καὶ τοῦ στήθους, καὶ ἀναιρεῖν τοὺς δι' αὐτοῦ πλέοντας. ἐπεὶ κάτωθεν ἐκ τῶν κοίλων μερῶν τῶν πετρῶν ἐφ' ὧν μένουσιν ἄνω ἀνιόντες ὑπονοοῦνται καὶ ὁρῶνται, ὡς διεξιόντες ἐκ τοῦ στήθους αὐτῆς ἔσωθεν καὶ τῶν πλευρῶν. καὶ τὴν ἐν τῷ μινωταύρῳ δὲ κατάβασιν χάρυβδιν ἤδη τινὲς τῶν ποιητῶν ὠνομάκασι. Σκύλλης αὐσονίης. τὸ σπήλαιον τῆς σκύλλης ἐλέγετο περὶ τὴν ἰταλίαν, ὅ ἐστιν ἐν τῷ πορθμῷ. Ἥν τέκε Φόρκῳ. Ἀκουσίλαος φόρκυνος καὶ ἑκάτης τὴν σκύλλαν λέγει. ὅμηρος δὲ τὴν σκύλλης μητέρα κράταιϊν καλεῖ. ἀμφοτέροις οὖν ἀπολλώνιος κατηκολούθησεν. ἐν δὲ ταῖς μεγάλαις ἠοίαις φόρβαντος καὶ ἑκάτης ἡ σκύλλα. στησίχορος δὲ ἐν τῇ σκύλλῃ λαμίας τὴν σκύλλαν φησὶ θυγατέρα εἶναι.

50 Εἰ μὲν δὴ μαλεροῖο. περὶ τὸν πορθμὸν ἐν τῇ θαλάσσῃ πυρὸς ἀναφυσήματα γίνεται. ὥστε καὶ τὴν θάλασσαν θερμαίνεσθαι, ὥς φησι καὶ μητρόδωρος ἐν πρώτῳ

περὶ ἱστορίας. καὶ Θεόφραστος ἐν ἱστορικοῖς ὑπομνήμασι φησὶ τὸν βρόμον τοῦ πυρὸς τὸν ἀπὸ τῶν τοῦ αἰόλου νήσων ἀκούεσθαι ἕως χίλια στάδια. περὶ ταυρομένιον τὸν ἀκούεσθαι βροντῇ παραπλήσιον ψόφον. Ἀλλ' ὥρη δολιχήν. ἀπέρχομαι, ὅπου τὰ ἀπόγεια σχοινία τοῦ ἀργοῦς λέλυται, ὅπως ἑωθινοὶ τῆς ἐπανόδου μνήμην ποιήσονται, ὅπως αὐτοὺς ἕωθεν ποιήσω ἀποπλεῦσαι ἐκ τῆς γῆς τῶν τυρσηνῶν. Ὑπηῶοι δέ, κατὰ τὸν καιρὸν τῆς ἠοῦς. ἤγουν ἕωθεν, ὄνομα αὐτὶ ῥήματος.

51 Αὐτὴ δ' ὠκυτέρη. ὑπερβολικῶς. οὐδεὶς γὰρ ἀκτίνων βολὴν ὑπερβαλέσθαι δύναται, οὔτε τὴν λεγομένην μαρμαρυγήν, ἥτις ἐστὶ λαμπηδόνος συνεχοῦς ὅρμησις, ἢ ἀμάρυγμα λεγομένη. τυρσηνίαν δ' εἴρηκε τὴν τῆς κίρκης νῆσον διὰ τὸ πρόχωρον αὐτῇ εἶναι. Ορέξαμένη. ἐκβαλλομένη. εἰσιοῦσα. ἐφάνη. αὐτίκα ποσίν.

52 Μηκέτι νῦν ἀκταῖς. μηκέτι καθέζεσθε ἐν ταῖς ἀκταῖς τῆς αἰαίης νήσου ταῖς οὔσαις πλησίον τῶν τυρσηνῶν, περιμένοντες καὶ ὑπερτιθέμενοι τὸν πλοῦν ὑμῶν. Πανσυδίη κοῦραι, πᾶσαι ὁμοῦ ἀπαιτῶσι τὴν ναῦν φυλάξουσαι ἐκ τῶν πετρῶν, αἵ τινες καλοῦνται πλαγκταί. Κείνη γὰρ ἐναίσιμος. ἐκεῖνος γὰρ ὑμῖν ὁ πλοῦς αἴσιμος καὶ καθήκων ἐστί. ὁ διὰ τῶν πλαγκτῶν πετρῶν. Ἀλλὰ σὺ μή τῳ. μήνυε τῶν ἀργοναυτῶν ἀποδείξῃς με ἡνίκα με ἴδῃς σὺν ταῖς νηρηΐσιν, ὑπαντήσασάν σοι. Ἀπηλεγέως. ἀναμφιλέκτως. Αἴδηλος. ἀφανὴς γενομένη. κατέδυ εἰς τὸ βάθος τῆς θαλάσσης. τὸν δὲ πηλέα δεινῶς ἡ λύπη ἐπλήξεν. Νηπιάχειν τὸ νηπιάζειν. Αμβροσίῃ χρίεσκεν.

θυο-

θειοτάτῳ ἐλαίῳ περιέχριεν δ' ἁπαλὸν αὐτοῦ σῶμα. Καί οἱ στυγερόν. ἢ αὐτῷ δ' μισητὴν γῆρας ἀπὸ τοῦ σώματος ἀποσοβήσει. Ἀλάλκειν. ἐκβάλλειν. Σπαίροντα διὰ φλογός. ἀλλόμενον ἢ σαλεύοντα ὑπὸ τοῦ πυρός.

53 Τὸν μὲν ἄρ ἁρπάγδην. ἀπὸ τοῦ πυρὸς ἀναρπάξασ ἔρριψεν ἐπὶ τοῦ ἐδάφους κράζοντα. Ἀμηχανία. ἀπορία. λύπη. Παλίσσυτος μὲν δὲ ταῦτα οὐκέτι δὲ ἀποστραφεὶς περιεγένετο πρὸς τὴν πηλέα, ὅθεν τὰς φρένας αὐτοῦ κατέδησεν ἡ ὀλιγωρία. Λέξαν. ἐκοιμήθησαν.

54 Τῆς ἔνι δυσάμενοι. ἐν ταύταις δὲ συνοχηθέντες καὶ δειπνήσαντες, ἐκοιμήθησαν τὴν νύκτα ὡς καὶ πρότερον. οἷον ὡς τὴν ἑτέραν νύκτα. Βαῖνον ἐπὶ κληῖδας. ἀνέβαινον ἐπὶ τὰ σανιδώματα τῆς νηὸς καὶ τὰς ἑαυτῶν καθέδρας. Καταπλυσίη. καθόλῳ. Ἐκ δὲ βυθοῖο συναίας. ἐκ δὲ τοῦ βυθοῦ ἀνέφερον ἢ ἀνεῖλκον τὰ σίδηρα, χαίροντες τῇ ἐλεύσει τοῦ ζεφύρου. καὶ τὰ ἄρμενα δὲ ὡς ἔδει ἐστόρνυον ἢ συνέπιζον. Τανύσαντες ἐν ἱμάντεσι. ἀπλώσαντες τοῖς ἱμᾶσι δ' κέρας καὶ ἀναπαγόντες αὐτῶν σὺν τῶν ἁρμενίῳ. Καλὴν ἀνθεμόεσσαν. ἠκολούθησεν ἡ πόλῳ οὕτως ὀνομάζοντι τὴν νῆσον τῶν σειρήνων. Νῆσον ἐς ἀνθεμόεσσαν ἵνα σφίσι δῶκε κρονίων. ὀνόματα δὲ αὐτῶν θελξιόπη ἢ θελξινόη. μολπῇ. ἀγλαόφωνος. Πορσύνεσκον. ἔτρεπον. ἐπιμελείας ἠξίουν καὶ ηὔξανον περιθένον ἔτι οὖσαν ἢ ἄζευκτον. Αἰεὶ δ' εὐόρμου. αἰεὶ δὲ περιβλεπομένῃ καὶ θεωροῦσαι ἀπὸ τοῦ ὑψηλοῦ ἢ εὐόρμητου τό-

τῶν τῶν ἄλλων πλεόντων τὴν ἤδη τὴν ἐπάνοδον ἤρ-
παζον τῇ ταχεῖ δόνει φθάνειν ποιοῦσαι.

55 Εὐρ ροχάλοιο, τοῦ ῥοχαλῆς ὡς ἁλῆς τὸ μέλος ἐκί-
νησεν. Κανάχησε. ἦσεν, ἐκίνησε. Κρεμβῷ. τῇ κρούσει, ἀπὸ τοῦ κρούματος. κρέκειν γὰρ τὸ κρούειν. Ερυκος μελέουσα. ἔρυξ ὄνομα πόλεως ἔνθα τιμᾶται ἡ ἀφροδίτη. οἱ δὲ τὴν σικελίαν.

56 Μιξολίησιν ἁλόσ. μιξολίαν καλεῖ τὸν τόπον καθ' ὃν ἦν ἡ σκύλλα καὶ ἡ χάρυβδις. διὰ τὸ ἀντικρὺ εἶναι ἀλλήλων. Αμοτον. ἀκατάπαυστον. Πυρειθαλπῆ πέτραν λέγει τὴν ἀπὸ πυρὸς καιομένην. Παρβολάδην, παραβεβλημένως οἱονεὶ παραπλέοντες. Επήτριμοι. ἐκ πλαγίων ἢ ὁμοῦ πρὸς ἀλλήλους κατανυσσόμεναι ἑκατέρωθεν.

57 Αὐτίκ' ἀναχόμεναι. εὐθέως ἀνελκύσασαι ἀπὸ τῶν λευκῶν γονάτων τὰ ἱμάτια ἄνωθεν τῆς ζώνας εἰς καὶ ἀνασύρασαι αὐτὰ ἐῤῥωμένως ἄνωθεν τῶν πετρῶν καὶ τοῦ τῆς κύματος ἀνακλάσεως ἐκινοῦντο. Τὴν δὲ παρηορίην. μετέωρον, ἐβάσταζον γὰρ αὐτὴν αἱ νηρεΐδες ἄνωθεν τῶν πετρῶν ἀλλήλαις ὡς σφαῖραν ἀκοντίζουσαι. Ηερέθοντο. ἐπλησίαζον καὶ ἐδαίζοντο. Ορθὸς ἐπὶ στελεῇ. τῇ λαβῇ. τυπίδος δὲ τῆς σφύρας. ἐπὶ τῆς τοῦ ξύλου ἐπιτεθεὶς σφύρας.

58 Οσση δ' εἰαρινοῦ. ὅσον ἐστὶ διάστημα ἡμέρας ἐαρινῆς ἤγουν δώδεκα ὡρῶν δὶς ὡς ἤματος μοῖρα, ἐαρινὴν δὲ εἴρηκεν ἡμέραν τὴν τῆς ἰσημερίας. Θρινακίας λειμῶνα. Τίμαιος θρινακίαν φησὶ καλεῖσθαι τὴν σικελίαν ὅτι τρεῖς ἄκρας ἔχει. οἱ δὲ ἱστορικοὶ θρίνακον

φασὶν

φασὶν ἄρξαι τῆς σικελίας. μύλας δὲ χερρόνησος σικελίας. ἐν ἧ αἱ τοῦ ἡλίου βόες ἐνέμοντο. Ἀργύρεον χαῖον. χαῖον ἐστὶ καμπύλη βακτηρία, ἧ οἱ ποιμένες χρῶνται. ἀμειβίας δὲ φιλὴν ἀπέδωκε ῥάβδον. καλλίμαχος. ἔπρεπε τοι προέχοντος κάρης εὐρεῖα καλύπτρη ποιμενικὸν πίλημα καὶ ἐν χειρὶ χαῖον ἔχοντος καὶ τὸ παρ' ἀλκμᾶνι δὲ, λεγόμενον ἐρυσίχαιον, τοιοῦτόν ἐστι. σημαίνει γὰρ τοὺς χαίῳ ἐρύοντας ἤγουν ποιμαίνοντας. Πηχύνουσα δὲ ἀντὶ τοῦ τῷ πήχει τῆς χειρὸς προσηρτηκυῖα. Ὀρειχάλκοιο. ὀρείχαλκος εἶδος χαλκοῦ ἀπὸ ὀρείου τινὸς γενομένου εὑρετοῦ ὠνομασμένος. ἀριστοτέλης δὲ ἐν τελεταῖς φησὶ μὴ δὲ ὑπάρχειν τὸ ὄνομα μὴ δὲ τὸ τούτου εἶδος. τὸ δὲ ὀρείχαλκον ἔνιοι ὑπολαμβάνουσι λέγεσθαι μὲν, μὴ εἶναι δέ. τὸ δὲ εἰκῆ διαδεδομένων καὶ τοῦτο. οἱ γὰρ πολυπραγμονέστεροι φασὶν αὐτὸν ὑπάρχειν. μνημονεύει καὶ στησίχορος καὶ βακχυλίδης. καὶ ἀριστοφάνης δὲ ὁ γραμματικὸς σεσημείωται τοῦτο. ἄλλοι δὲ ἀνδριαντοποιοῦ λέγουσιν ὄνομα, ὡς σωκράτης, καὶ θεόπομπος ἐν εἰκοστῷ πέμπτῳ. οὕτως ἦν ἐν τῇ κωμικῇ λέξει τῇ συμμίκτῳ.

59 Καλαύροπα δὲ, οἱονεὶ καλὴν ῥάβδον. ἔστι δὲ καλαῦροψ ἡ βουκολικὴ ῥάβδος. ὅμηρος. καλαῦροπα βουκόλος. Παροιτέρη δὲ ἀντὶ τοῦ ἔμπροσθεν. ὄνομα ἀντὶ ἐπιρρήματος. Ἔστι δέ τις πορθμοῖο. τούτων ὁ νοῦς οὗτός ἐστιν. εἰς τὸν ἰόνιον κόλπον εἰσπλέουσι, νῆσος εὐλίμενος καὶ λιπαρὰ, ὑφ' ἣν κεῖσθαι τὸ δρέπανον τοῦ κρόνου φασὶν, ᾧ τὰ τοῦ πατρὸς αἰδοῖα ἀπέτεμεν. οἱ δὲ φασι δήμητρος εἶναι τοῦτο. ᾧ τοὺς τιτᾶνας

ἐδίδαξε σταχυορμεῖν. κατῴκησε δὲ ἡ θεὸς περὶ τὴν νῆσον ἐκείνην, ἀγαπήσασα μάκριν τὴν τοῦ διονύσου τροφόν. ταύτην φαίακες κατῴκουν ἀπὸ θεῶν ὄντες τὸ γένος.

60 Ἀμφιλαφής. ἀμφοτέρωθεν ἐπιτηδείως πρὸς ὅρμον ἔχουσα. καλλίμαχος δὲ ἀμφίδυμον εἶπε τὸν ἀμφιλαφῆ λιμένα. ἱστορικῶς δὲ ἀπολλώνιος ἀμφιλαφῆ τὸν λιμένα φησίν. ἱστορεῖ δὲ περὶ τοῦ λιμένος τῶν φαιάκων ἀπολλωνίδης ἐν τῷ περίπλῳ τῆς εὐρώπης. τινὲς δὲ τὸ ἀμφιλαφὴς ἀντὶ τοῦ ξυλώδης ἀπέδωκαν. ὃ οἰκείως ἐπισυνάπτει. τὸ πίειρα δηλονότι λιπαρὰ καὶ εὔδιος. Ἡ δὲ κέρκυρα πρότερον μὲν δρεπάνη ἐκαλεῖτο. εἶτα σχερία. ἀποδίδωσι δὲ τὴν αἰτίαν ἀριστοτέλης ἐν τῇ κορκυραίων πολιτείᾳ. φησὶ γὰρ τὴν δήμητρα φοβουμένην, μὴ οἱ ἐκ τῆς ἠπείρου ἐρχόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι ποσειδῶνος, ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα. ἐπισχεθέντων δὲ τῶν ῥύτων ἀντὶ δρεπάνης σχερίαν ὀνομασθῆναι. δρεπάνη δὲ ἐκαλεῖτο διὰ τὸ τὴν δήμητρα αἰτησαμένην δρέπανον παρ' ἡφαίστου, τοὺς τιτᾶνας διδάξαι θερίζειν. εἶτα αὐτὸ κρύψαι εἰς τὸ παραθαλάσσιον μέρος τῆς νήσου. προσκλυζούσης δὲ τῆς θαλάσσης, ἐξομοιωθῆναι τὴν θέσιν τῆς γῆς δρεπάνῃ. Τίμαιος δὲ ἐκ τοῦ δρεπάνου, ᾧ ἐξέτεμεν τοῦ οὐρανοῦ τὰ αἰδοῖα ὁ κρόνος, ἢ ὁ ζεὺς τὰ τοῦ κρόνου. ὅπερ γὰρ αὐτοῦ κεκρύφθαι φησί. μάκρις δὲ ὠνομάσθη ἀπὸ μάκριδος τῆς διονύσου τροφοῦ. κέρκυρα ἀπὸ κορκύρας τῆς ἀσωποῦ θυγατρός.

61

61 Στάχυν ὄμπνιον. πολὺν. δαψιλῆ. Φιλητᾶς ἐν ἀτάκτοις γλώσσαις ἀπέδωκε ὄμπνιον στάχυν, τὸν εὔχυλον καὶ τρόφιμον. Κυρηναίων δέ τινες τὸν πλούσιον καὶ εὐδαίμονα ὄμπνιον καλοῦσιν. ἄμεινον δὲ τὸν φερέσβιον εἰπεῖν. οἱονεὶ ἔμπονόν τινα ὄντα καὶ ὄμπνιον. Ἐκλήϊσται. πεφήμισται. νενόμισται. Αἵματος οὐρανίοιο. Ἀκουσίλαος ἐν τῇ τρίτῃ φησὶν ὅτι ἐκ τῆς ἐκτομῆς τοῦ οὐρανοῦ ῥανίδας ἐνεχθῆναι συνέπεσεν. τουτέστι σταγόνας κατὰ τῆς γῆς ἐξ ὧν γεννηθῆναι τοὺς Φαίακας. οἱ δὲ, τοὺς γίγαντας. καὶ Ἀλκαῖος δὲ κατὰ τὰ αὐτὰ Ἀκουσιλάῳ λέγει τοὺς Φαίακας ἔχειν τὸ γένος ἐκ τῶν σταγόνων τοῦ οὐρανοῦ. Ὅμηρος δὲ οἰκείους τοὺς Φαίακας τοῖς θεοῖς φησι, διὰ τὴν ἀπὸ Ποσειδῶνος γένεσιν. Τοὺς Ἀργὼ πλέεσιν. ἡ Ἀργώ φησι πολλὰ κακοπαθήσασα κατηνέχθη ἐκ τοῦ Σικελικοῦ πελάγους.

62 Κόλχων οἱ πόντιοι. τῶν Κόλχων οἱ μετ' Ἀψύρτου ὄντες κατῴκησαν ἐν ταῖς Βρυγηΐσιν, αἵτινές εἰσι τῆς Ἰλλυρίδος. οἱ δὲ διὰ τῶν Κυανέων πετρῶν ἐξελθόντες, ᾤκησαν Κέρκυραν. τῶν γὰρ διωκόντων τοὺς ἀριστεῖς Κόλχων, οὐ κατὰ ταὐτὸν τὸν πλοῦν στειλαμένων, οἱ μὲν διὰ τοῦ Ἴστρου καθάπερ προείρηται τὸν πλοῦν ἐποιήσαντο, ὧν ἦρχεν Ἄψυρτος διὰ τοῦ κάτωθεν ἐμβαλόντες εἰς τὸν δεδηλωμένον ποταμόν. καὶ κατέλαβον τοὺς ἥρωας περὶ τὰς καλουμένας Βρυγηΐδας νήσους. οἱ δὲ διὰ τῶν Κυανέων νήσων τὸν ἔκπλουν ποιησάμενοι Κόλχοι, κατηνέχθησαν εἰς τὴν Κέρκυραν νῆσον, ἐν ᾗ καὶ οἱ Ἀργοναῦται ἔτυχον ὄντες. Μαστῆρες. ζητηταί. Ἐξαι

τῶν. ἐξαίρετον. κατὰ συγκοπήν. Απροφάτως. χωρὶς προφάσεως. ἀντιῤῥήσεως.

63 Εἴνυ καὶ αὐτή. περὶ ἀρήτης ἡ μήδεια. καὶ σὺ ἄνθρωπος εἶ. οἷς τὸ ἁμαρτάνειν γίνεται ῥαδίως. Ορκος παρὰ κόλχοις ἡ ἑκάτη ταῖς φαρμακίσι. εὑρέτις γὰρ τῶν φαρμακιῶν ἡ θεός. Τούτοις δὲ σφόδρα πρὸς συμπάθειαν ἕλκει τὴν ἀρήτην ἡ μήδεια. καὶ ἡ διὰ τὸ ταὐτὸν ἡμᾶς τῆς φύσεως, ἀλλήλους ἐλεεῖν χρή. καὶ δὴ τοῦτο ὀξυῤῥεπεῖς εἰσὶν πρὸς τὰ πάθη.

64 Ενεκα τῶν ὑμῶν ἄθλων ἐγὼ ὦ φέρτατοι ἐν μεγάλῃ ταραχῇ εἰμί. τῇ δὲ ἐμῇ γνώμῃ, τούς τε ταύρους ἐζεύξατε. καὶ τοὺς γηγενεῖς διεθερίσατε. ἀλλὰ νῦν τὸ δέρος εἰς θετταλίαν ἀποίσετε. Η δὲ περὶ, καὶ ἀμφὶ ἐκ παραλλήλου. Νέμεσίν τε θεῶν. τὴν ἰοῦσαν εἰς χεῖρας τῶν θεῶν νέμεσιν τοῦτ' ἔστι τὸ νεμεσητόν. τοῦτο δὲ λέγει ἐπειδὴ ἐνώπιον τῶν θεῶν ἱστάμενοι ἱκετεύομεν. διὸ καὶ αἰδούμεθα τοὺς ἱκετεύοντας. Οὐ νηούς. οὐ γὰρ ναός μοι ἐστὶ βοηθὸς, οὔτε πύργος, οὔτε ἄλλη τὶς βοήθεια. ἀλλ' ὑμεῖς μοι ἀσφάλεια πᾶσα.

65 Οἰόθι προὐβάλλομαι. μόνη οὖσα προβάλλομαι ὑμᾶς βοηθούς. Σχέτλιοι. χαλεποὶ καὶ ἀνηλεεῖς οὐ μεταστρέπεσθε. ὁρῶντές με γουνουμένην τῇ βασιλείᾳ. Ο λόγος ὅτε τὸ κώδιον λαβεῖν ἠθέλετε καὶ πᾶσι τοῖς κόλχοις ἕτοιμοι ἦτε μάχεσθαι. νῦν δὲ ὀλίγους παραπενομένους διὰ τὴν ἀπαίτησιν τὴν ἐμὴν φοβεῖσθε. Στρευγομένοις. φθειρομένοις καὶ κατατρυομένοις ἢ καὶ προσδιατρίβουσιν. ὅθεν καὶ στράγξ ἡ κατὰ βραχὺ πρόθεσις τοῦ ὕδατος, οὕτω Δίδυμος. Εντεῦθεν καὶ ἡ στραγγουρία ἀ-

ρία ἀ

ρία ἀπὸ τοῦ κατὰ στράγγα οὐρεῖν. Κατευκήλησε. κα-
τέπαυσε, εἰς ἡσυχίαν ἤγαγε. Κλωστῆρα. τὸν ἄτρακ-
τον. σταλάει. στάζει. ὅθεν καὶ σταλαγμός.

66 Ικμαίνοντο. ὑγραίνοντο. ἐμφαίνει δὲ τὸ πολὺ δά-
κρυ καταλείβειν. Προσπτύσσετο. ἐλιπάρει. παρεκάλει.

67 Ῥέζομεν ἀμπλακίῃσιν. ἀντὶ τοῦ ἁμαρτίαις. ἐ-
ὰν δὲ γράφηται ἀφροσίῃσιν ἀμεταφροσίαις ἢ κακοβου-
λίαις. ὁ δὲ νοῦς. ἁμαρτάνουσα δὲ ὑπερῷον ἡ Μήδεια, προ-
έδωκε τοὺς ἰδίους καὶ ἐξημάρτησε φυγοῦσα. ἃ πολλά-
κις ποιοῦμεν δι' ἄνοιαν. Ἀκειομένη. ῥωννυμένη ἢ θε-
ραπεύουσα καὶ ἰωμένη. Οἷα μὲν Ἀντιόπην. Ἀντιό-
πη Νυκτέως ἦν θυγάτηρ, ἣν ὁ Ζεὺς σατύρῳ ὁμοιωθεὶς
φθείρει. καὶ φεύγουσα τὰς τοῦ Νυκτέως ἀπειλάς, κα-
ταφεύγει εἰς Σικυῶνα πρὸς Ἐπωπέα. τεκοῦσα δὲ
Ἀμφίονα, καὶ Ζῆθον, ἐξέθηκεν ἐν τῷ Κιθαιρῶνι παρὰ
βουκόλῳ τινί. ὁ δὲ Νυκτεὺς διὰ τὴν τόλμαν τῆς παιδὸς
λυπηθεὶς, τελευτᾷ, τοῦ ἀδελφοῦ Λύκου δεηθεὶς μὴ πε-
ριϊδεῖν τὴν παῖδα, ἀλλ' ἑλεῖν ἀπελθόντα εἰς Σικυῶ-
να. στρατεύει δὲ ἐπὶ τὴν πόλιν Λύκος, καὶ κτείνει τὸν Ἐπω-
πέα. καὶ λαβὼν τὴν Ἀντιόπην αἰχμάλωτον, παραδί-
δωσι φυλάττειν Δίρκῃ τῇ ἑαυτοῦ γαμετῇ. ἡ δὲ φεύγει. καὶ
ληφθεῖσα πάλιν, τοῖς ἑαυτῆς παισὶν ἐκδίδοται Ἀμ-
φίονι καὶ Ζήθῳ. ἐνταῦθα δὲ ἐκκαλύπτει ὁ τροφεὺς βουκό-
λος τὸ γένος. οἱ δὲ, τὴν μὲν Ἀντιόπην σώζουσι, τὴν δὲ
Δίρκην ἐξ ἀγρίου ταύρου προσδήσαντες διαφθείρουσι.
μεταπεμψάμενοι δὲ τὸν Λύκον ὡς ἐκδώσοντες τὴν
Ἀντιόπην, σφάττειν ἔμελλον. ἑρμῆς δὲ ἐκώλυσε. τῷ Λύ-
κῳ δὲ προσέταξε παραχωρῆσαι τῆς βασιλείας αὐτοῖς,

68 Οἷα δὲ καὶ δανάη. Φερεκύδης ἐν δωδεκάτῳ ἱστορεῖ, ὡς ἀκρίσιος γαμεῖ εὐρυδίκην τὴν λακεδαίμονος. τῶν δὲ, γίνεται δανάη. χρωμένῳ δὲ αὐτῷ περὶ ἄρσενος παιδὸς ἔχρησεν ὁ θεὸς ἐν πυθοῖ, ὅτι αὐτῷ μὲν οὐκ ἔσται παῖς ἄρσην. ἐκ δὲ τῆς θυγατρὸς, πρὸς οὗ αὐτὸν δεῖ ἀπολέσθαι. ὁ δὲ ἐπανελθὼν εἰς ἄργος, θάλαμον ποιεῖ χαλκοῦν ἐν τῇ αὐλῇ τῆς οἰκίας κατὰ γῆς ἔνθα τὴν δανάην εἰσάγει μετὰ τῆς τροφοῦ. ἐν ᾧ αὐτὴν ἐφύλασσεν ὅπως ἐξ αὐτῆς παῖς μὴ γένηται. ἐρασθεὶς δὲ ζεὺς τῆς παιδὸς, ἐκ τοῦ ὀρόφου χρυσῷ παραπλήσιος ῥεῖ. ἡ δὲ ὑποδέχεται τῷ κόλπῳ, καὶ ἐκφήνας αὐτὸν ὁ ζεὺς, τῇ παιδὶ μίγνυται. τῶν δὲ γίνεται περσεύς. καὶ ἐκτρέφει αὐτὸν ἡ δανάη καὶ ἡ τροφὸς κρύπτουσαι ἀκρίσιον. ὅτε δὲ περσεὺς τριέτης ἢ τετραέτης ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος. καὶ διὰ τῶν θεραπόντων μετακαλεσάμενος τὴν δανάην σὺν τῇ τροφῷ, τὴν μὲν ἀναιρεῖ. δανάην δὲ κατάγει σὺν τῷ παιδὶ ἐπὶ τὸν ὑπὲρ τοῦ ἑρκίου διὸς βωμόν. μόνος δὲ αὐτὴν ἐρωτᾷ πόθεν εἴη αὐτῇ γεγονὼς ὁ παῖς. ἡ δὲ ἔφη ἐκ διός. ὁ δὲ οὐ πείθεται, ἀλλ' εἰς λάρνακα ἐμβιβάζει αὐτὴν μετὰ τοῦ παιδὸς, καὶ κλείσας καταποντοῖ. καὶ φερόμενοι ἀφικνοῦνται εἰς σέριφον τὴν νῆσον. καὶ αὐτοὺς ἐξέλκει δίκτυς ὁ περισθένους δικτύῳ ἁλιεύων, εἶτα ἡ δανάη ἀνοῖξαι ἱκετεύει τὴν λάρνακα. ὁ δὲ ἀνοίξας καὶ μαθὼν οἵ τινές εἰσιν, ἄγει εἰς τὸν οἶκον καὶ τρέφει ὡς ἂν συγγενεῖς αὐτοῦ ὄντας, ἦσαν γὰρ ὁ δίκτυς καὶ ὁ πολυδέκτης ἀνδροθόης τῆς κάστορος, καὶ περισθένους τοῦ δαμάστορος τοῦ ναυπλίου τοῦ ποσειδῶνος, καὶ ἀμυμώνης, ὡς

ὡς Φερεκύδης ἐν πρώτῳ. ἐν δὲ τοῖς ἑξῆς καὶ περὶ τοῦ θανάτου προστίθησι Φερεκύδης τοῦ ἀκρισίου, ὅτι μετὰ τὴν ἀπολίθωσιν Πολυδέκτου τῶν σὺν αὐτῷ ἐκ τῆς κεφαλῆς τῆς γοργόνος ἐν σερίφῳ. δίκτυν μὲν περσεὺς ἀπολείπει ἐν τῇ σερίφῳ βασιλεύειν τῶν λελειμμένων σεριφίων. αὐτὸς δὲ ἔβη πλέον εἰς ἄργος σὺν τοῖς κύκλωψι καὶ τῇ δανάῃ καὶ τῇ ἀνδρομέδᾳ, καὶ ἐλθὼν, ἀκρίσιον οὐχ εὑρίσκει ἐν ἄργει. ὑπεχώρει γὰρ αὐτὸν δείσας εἰς τοὺς πελασγοὺς εἰς λάρισσαν. μὴ καταλαβὼν δὲ αὐτὸν, τὴν μὲν δανάην καταλείπει παρὰ τῇ μητρὶ εὐρυδίκῃ, καὶ τὴν ἀνδρομέδαν, καὶ τοὺς κύκλωπας, αὐτὸς δὲ ἔβη εἰς λάρισσαν. καὶ ἀφικόμενος, ἀκρίσιον ἀναγνωρίζει. καὶ σὺν αὐτῷ ἕπεσθαι εἰς ἄργος πείθει. καὶ ὅτε δὴ ἔμελλον ἰέναι, συντυγχάνει ἀγῶνι νέων ἐν τῇ λαρίσσῃ. καὶ ὁ περσεὺς ἀποδύεται εἰς τὸν ἀγῶνα. καὶ λαβὼν τὸν δίσκον δισκεύει. τὸ δὲ πένταθλον οὔπω ἦν. ἀλλ᾽ ἰδίᾳ ἕνα ἕκαστον τῶν ἄθλων ἤθλουν. ὁ δὲ δίσκος ζοχαλισθεὶς ἐπὶ τὸν πόδα τοῦ ἀκρισίου, τιτρώσκει αὐτόν. καμὼν δὲ ἐκ τούτου ἀκρίσιος, ἀποθνήσκει αὐτοῦ ἐν λαρίσσῃ. καὶ αὐτὸν κατατίθεται περσεὺς καὶ οἱ λαρισσαῖοι πρόσθεν τῆς πόλεως. καὶ αὐτοῦ ποιοῦσιν ἡρῷον οἱ ἐπιχώριοι. περσεὺς δὲ ἀναχωρεῖ τοῦ ἄργους.

69 ὑβριστῆς ἔχετος. τοῦ ἐχέτου ὅμηρος ὡς ὠμοτάτου μέμνηται. ἡ δὲ ἀρήτη ὡς κατ᾽ αὐτὴν τῶν πραγμάτων γεγενημένου λέγει. Νέον γε μὲν οὐδ᾽ ἀπὸ τηλοῦ. εὕρομεν δὲ τὸν μῦθον ἐν τῷ ἐπιγραφομένῳ λυσίππου ἠπειρώτου ἀσεβῶν καταλόγῳ. Ὀρφναίη

ἔνι χαλκόν. τὸ ἑξῆς, ἐν ὀρφναίῃ καλιῇ. Χαλκὸν ἀλιζεύοντα, γράφεται καὶ χαλκὸν ἀλιτεύοντα. Ατίσαι, ἀτιμάσαι, παραβῆναι.

70 Ὑλλικῷ. ὑλλικὸς λιμὴν ἀπὸ ὕλλου τοῦ μελίτης καὶ ἡρακλέους. Ἄντρῳ ἐν ἠγαθέῳ, ἐν τῷ μεγάλῳ καὶ θείῳ ἐν ᾧ μάκρις κατῴκει. ἐν τούτῳ τῷ ἄντρῳ τὸν διόνυσον ἔθρεψεν, ὃ καλεῖται διθυρίτης. διὰ τοῦτο διθύραμβος ὁ διόνυσος ἐκλήθη διὰ τὸ δύο θύρας ἔχειν τὸ ἄντρον. Καί ἑ χολωσαμένη. ἡ ἥρα τὴν μάκριν τῆς εὐβοίας ἐξέβαλε. διὰ τὸ δέξασθαι παρὰ τοῦ ἑρμοῦ τὸν διόνυσον καὶ θρέψαι. ἡ δὲ εὔβοια ἱερὰ ἐστὶ τῆς ἥρας.

71 Ἔνθα τότ' ἐστόρεσαν. ἐν τῷ ἄντρῳ μάκριδος φησὶ τὸν γάμον πεπρᾶχθαι μηδείας καὶ ἰάσονος. Φιλητᾶς δὲ ἐν Τηλέφῳ ἐν τῇ ἀλκινόου οἰκίᾳ. Ἴσχε δ' ἑκάστην αἰδώς. διὰ τοῦτο τὰς νύμφας φησὶν ἐπιθυμούσας ἅψασθαι τοῦ μαλλοῦ διὰ τὸ κάλλος ὅμως αἰδουμένας ἀπέχεσθαι. διὰ τὸ ἐπ' αὐτοῦ μέλλειν γίνεσθαι τὴν μίξιν. περὶ δὲ τοῦ δέρους, ὅτι ἦν χρυσοῦν, οἱ πλεῖστοι ἱστοροῦσιν. ἀκουσίλαος δὲ ἐν τῷ περὶ γενεαλογιῶν, πορφυρευθῆναι φησὶν ἀπὸ τῆς θαλάσσης. Αἱ μέν τ' αἰγαίου. αἰγαῖος ποταμὸς περὶ κέρκυραν. τούτου θυγάτηρ μελίτη. ἧς καὶ ἡρακλέους ὕλλος. ἀφ' οὗ ἔθνος ὑλλιεῖς. καὶ ὑλλικὸς λιμὴν παρὰ φαίαξι. Πανύασις δέ φησιν ἐν λυδίᾳ νοσήσαντα ἡρακλέα τυχεῖν ἰάσεως ὑπὸ ὕλλου τοῦ ποταμοῦ. ὅς ἐστι τῆς λυδίας. διὸ καὶ τοὺς δύο υἱοὺς αὐτοῦ ὕλλους ὠνομάσθηναι. Μελιτηΐου. ὄρος κέρκυρας τὸ μελίτειον.

72 Κεῖνο καὶ εἰσέτι. τὸ μάκριδος ὃ νῦν ἱερὸν μηδείας καλεῖται. ἰστέον ὅτι Τιμαίου λέγοντος ἐν κερκύρᾳ

τοὺς γάμους ἀχθῆναι. Διονύσιος ὁ μιλήσιος ἐν δευτέρῳ τῶν ἀργοναυτικῶν, ἐν βυζαντίῳ φησίν. ἀντίμαχος ἐν λυδῇ πλησίον τοῦ ποταμοῦ μιγῆναι αὐτῇ φησι τὸν ἰάσονα. Περιμέμβλωκε. πάρεστι. Προμολῆσι. προμολὰς εἴρηκε τοὺς ἐκβατοὺς τοῦ ἄντρου τόπους. Φαρέεσσιν. αὐτοῖς τοῖς φωτισμοῖς. φύσει γὰρ ὄντα σκοτεινὸν τὸν ἀέρα, τοῖς φωτισμοῖς ἐλάμπρυνε. γράφεται φαέεσσιν.

73 Ἀνὰ πτόλιν. ἡ τῶν κορκυραίων ὑπὸ τῆς χερσονήσου κεῖται. φησὶν οὖν ὁ ἱστορικὸς ὅτι μακρὰν τῆς πόλεως ἐστὶ τοῦ αἰγιαλοῦ περὶ χερρόννησον ἦσαν. ἐν ᾗ ἐστιν ἡ πόλις ὡς ἀπολλωνίδης ἐν τῷ περίπλῳ περὶ εὐρώπης. Χερνήσοιο. τὴν χερόνησον χέρνησον εἴρηκεν. ὡς ἐν τῷ πρώτῳ. τὴν δὲ αὐτικρὺ τῆς κερκύρας χώραν εἴρηκε μακριδίαν. ἴσως διὰ τὸ ᾠκηκέναι ἐκεῖ τοὺς εὐβοεῖς. ἡ δὲ εὔβοια, μάκρις ἐκαλεῖτο τὸ πρότερον. ταύτην οὖν οἱ κατοικήσαντες μετὰ ἰλίου ἅλωσιν, ἄβαντες μάκριν ὠνόμασαν. Ἄλλοι δ' ἀμφιφορῆας. θεόπομπος ἀμφιφορεῖς λέγεσθαί φησι τοὺς ὑπ' ἐνίων μετρητάς. παυσανίας δέ φησι τὸν ἀμφιφορέα ὑπὸ ἀθηναίων, ἀμφορέα καλεῖσθαι.

74 Λιγνύς. ἡ καπνώδης ἀναφορά. ἢ τὸ τοῦ φωτὸς ἄκρον, ἄμεινον δὲ τὸ πρῶτον. Ἀγλαΐην. κόσμια. Εἴδεα καὶ μορφάς. τὸ μὲν εἶδος κυρίως ἐπὶ προσώπου τέτακεν ὁ ἀπολλώνιος. μορφὴ δὲ τὸ σχῆμα. Εὔκρεκτος. εὔηχος κιθάρα.

75 Συνήμονας. τοὺς συνήθεις καὶ ἑταίρους. ἀπὸ τοῦ συνεῖναι. Εἰσότε βακχιάδαι. βάκχος ἐγένετο υἱὸς διονύσου. ἐν κορίνθῳ δὲ διέτριβεν. ἦσαν δὲ συγγενεῖ

σταροι οἱ ἀπ' αὐτοῦ τὸ γένος ἔχοντες. οἵτινες ἐξεβλήθησαν ἐκ Κορίνθου διὰ τὸν Ἀκταίωνος θάνατον. ἡ δὲ ἱστορία ἐστὶν ἥδε. Μέλισσος εὐεργετήσας τοὺς Κορινθίους, μέλλοντας ὑπὸ Φείδωνος τοῦ τῶν Ἀργείων βασιλέως διαφθαρῆναι, ἐρρύσατο, τιμῆς ἠξιώθη παρ' αὐτοῖς. καὶ ποτε οἱ Βακχιάδαι νυκτὸς ἐπελθόντες τῇ οἰκίᾳ τούτου ἐβούλοντο ἁρπάσαι τὸν παῖδα Ἀκταίωνα. τῶν δὲ γονέων ἀντεχόντων συνέβη διασπασθῆναι αὐτόν. μελλόντων δὲ τῶν Ἰσθμίων ἀποστὰς ἐπὶ τοῦ βωμοῦ ὁ Μέλισσος, πολλὰ τοῖς Κορινθίοις κατηράσατο, ἢν μὴ τὸν τοῦ παιδὸς ἐκδικήσωσι θάνατον. ταῦτα εἰπὼν εἰς τὸν ὑποκείμενον κρημνὸν ἑαυτὸν ἔβαλλεν. οἱ δὲ Κορίνθιοι εὐλαβούμενοι ἀνεκδίκητον λιπεῖν τὸν τοῦ Ἀκταίωνος θάνατον, ἅμα μὲν καὶ τοῦ θείου κελεύοντος ἐξέβαλον τοὺς Βακχιάδας. Χερσικράτης δὲ εἷς τῶν Βακχιαδῶν ᾤκισε Κέρκυραν ἐκβαλὼν τοὺς ἐνοικοῦντας Κόλχους. οἱ δὲ ἐκβληθέντες, εἰς τὴν ἤπειρον παρεγένοντο. Ἐφυρηθεν. Ἐφύρα ἡ Κόρινθος, ἀπὸ Ἐφύρας τῆς Ἐπιμηθέως θυγατρός. Εὔμηλος δὲ ἀπὸ Ἐφύρας τῆς Ὠκεανοῦ καὶ Τηθύος. γυναικὸς δὲ γενομένης Ἐπιμηθέως. Νεσταῖοί τε. τοὺς Νεσταίους Σκύλαξ φησὶν ἔθνος Ἰλλυρικόν. ἀπὸ τούτων περίπλους ἐστὶν εἰς τὸν κόλπον *. καὶ Ἐρατοσθένης ἐν γ. Γεωγραφουμένων φησὶ μετὰ Ἰλλυριοὺς Νεσταῖοι. καθ' οὓς νῆσος Φάρος, Παρίων ἄποικος. Ἀλλὰ τὰ μὲν στίχοντος, ἀντὶ τοῦ μετὰ πολὺν χρόνον. Τίμαιος δέ φησι μετὰ ἔτη ἑξακόσια τῶν Τρωϊκῶν, Χερσικράτη ἀπόγονον τῶν Βακχιαδῶν, εἴτε ἐκπεσόντα τῆς Κορίνθου, εἴτε

καὶ

καὶ ἑκόντας ἀπελθεῖν διὰ ἀτιμίαν καὶ κατῳκηκέναι τὴν νῆσον. Κόλχοι δὲ διαβάντες εἰς τὴν πλησίον νῆσον, μετὰ ταῦτα εἰς τὰ Κεραύνια ὄρη ὁρμήσαντες εἴς τε τοὺς Ἄβαντας καὶ Νεσταίους καὶ Ὤρικον ἀπῳκίσθησαν. Μοιράων δ' ἐπικεῖσε. Τιμῶναξ ἐν πρώτῳ τῶν Σκελικῶν, ἐν Κόλχοις φησὶν Ἰάσονα Μήδειαν γῆμαι αὐτοῦ αὐτῶν ἐγγυήσαντος. ὁ δὲ αὐτός φησι. δείκνυται περὶ τὸν περίπλουν ἔνδον τοῦ πόντου κῆποι τινὲς Ἰασόνιοι καλούμενοι, καθ' ὧν τὴν ἀπόβασιν ἐποιήσατο. καὶ κατὰ τὴν Αἶαν γυμνάσια καὶ δίσκοι καὶ τῆς Μηδείας θάλαμος, καθ' ὃν τότε ἐνυμφεύθη. καὶ πρὸς τῇ πόλει ἱερὸν ἱδρυμένον Ἰάσονος. καὶ πρὸς τούτοις ἱερὰ πολλά. Τίμαιος δὲ ἐν Κερκύρᾳ λέγων γενέσθαι τοὺς γάμους, καὶ περὶ τῆς θυσίας ἱστορεῖ. ἔτι καὶ νῦν λέγων ἄγεσθαι αὐτὴν κατ' ἐνιαυτὸν Μηδείας πρῶτον θυσάσης ἐν τῷ Ἀπόλλωνος ἱερῷ. καὶ βωμοὺς δέ φησι μνημεῖα τῶν γάμων ἱδρύσασθαι. σύνεγγυς μὲν τῆς θαλάσσης, οὐ μακρὰν δὲ τῆς πόλεως. ὀνομάζονται δὲ τὸν μὲν, Νυμφῶν. τὸν δὲ, Νηρηίδων. ὁ γε μὴν Ἀπολλώνιος τὸν μέν φησι Νυμφῶν εἶναι τὸν βωμόν, τὸν δὲ τῶν Μοιρῶν. θύη δὲ ἐπέτεια λέγει τὰς ἐνιαυσιαίους θυσίας.

76 Νομίοιο καθ' ἱερόν. νομίοιο διὰ τὸ κατὰ νόμον γενέσθαι τὴν κρίσιν τοῦ Ἀλκινόου. διὰ τοῦτο Νομίου Ἀπόλλωνος ἱερὸν ἱδρύσατο τὴν Μήδειαν. Σύρτιν. δύο εἰσὶν ἐν τῇ Λιβύῃ σύρτεις. εἰσὶ δὲ πηλώδεις. γίνονται δὲ ἀμπώτεις εἰς αὐτάς. καὶ ἐν τῷ ὠκεανῷ εἰσὶ τόποι, ὅπου κατασύρονται οἱ πλέοντες καὶ ἀπόλλυνται.

77 Τέναγος. ὁ πηλώδης τόπος. Μυιόεντα. σύμ-

φοιτᾷ. Ἠερίη. πᾶν τὸ πολὺ καὶ δασιλὲς ἠερόεν λέγεται. Ἐνέωσεν. ὤθησε. Τάχιστα. γράφεται ἄγχιστα.

78 Ἀρδμόν. ποτισμόν. Παῦρον. περίπαυρον. Διωλυγίης. ἀντὶ τοῦ σκοτεινῆς. ἢ ἀντὶ τοῦ ἐπὶ πολὺ διηκούσης. Ἰθυντήρ. κυβερνήτης. Τεναγώδεα. πηλώδη. τέναγος δέ ἐστι κυρίως γῆ ἐπιπόλαιον ὕδωρ ἔχουσα. ἢ πηλῶδες ὕδωρ.

79 Παχνώθη. ἀντὶ τοῦ ἐπάγη. ἐλυπήθη. ὁ τρόπος εἴληπται ἀπὸ τῆς πάχνης. Ἢ ὅταν αὐτόματα ξόανα. ὅταν μέλλῃ τι συμβαίνειν χαλεπὸν, εἰώθει τὰ ἀγάλματα ἱδροῦν. ὥσπερ καὶ ἐν Θήβαις συνέβη, ὅτε συνίστατο ὁ περὶ Χαιρώνειαν πόλεμος Φιλίππῳ πρὸς Ἀθηναίους. Καὶ μυκαὶ σηκοῖς. καὶ ἦχοι ἐν τοῖς ναοῖς φαντασίαν ποιήσωσιν. ἢ ὅταν μυκήσεις δοκῶσι γίνεσθαι παρὰ τὰ ἀγάλματα. Τῷ θυμαρεῖ τὸ αὐτίκα συνάπτε.

80 Χηραμός. κατάδυσις. Ἀπτῆνες. οἱ μὴ ἵπτασθαι δυνάμενοι. Πακτωλοῖο. Πακτωλὸς ποταμὸς Λυδίας, ὁ νῦν χρυσορρόας λεγόμενος. Ἰήλεμον. ἀντὶ τοῦ θρῆνον. εἴρηται ἀπὸ Ἰαλέμου τοῦ Μούσης παιδός. Ἐλίασθεν. ἀντὶ τοῦ ἀπέθανον ἐνταῦθα. Ἡρῷσσαι. προσπεπλασμένως Ἡρωδιανὸς ἐν δεκάτῳ φησίν. ἐκ συναλοιφῆς τοῦ ἡρωΐσσαι. τοῦ ἥρως δὲ τὸ θηλυκὸν γίνεται ἥρωσσα. ἢ ἀντὶ τοῦ ἡρωΐνας. Τιμήωροι δὲ ἔκδικοι καὶ ἔφοροι τῆς Λιβύης. ἢ ἐν Λιβύῃ τιμώμεναι ἡρωΐναι.

81 Ἦμος ὅτ' ἐκ πατρός. πρῶτος Στησίχορος ἔφη σὺν ὅπλοις ἐκ τῆς τοῦ Διὸς κεφαλῆς ἀναπηδῆσαι τὴν Ἀθηνᾶν. Τρίτωνος. Τρίτων πόλις Λιβύης. ἔστι δὲ καὶ Βοιωτίας. δοκεῖ δὲ ἡ Ἀθηνᾶ παρὰ θατέρᾳ αὐτῶν γεννηθῆναι.

θῆ. ἀφ' οὗ καὶ τριτογένεια λέγεται. οὕτω τινές. οἱ δὲ ἐκ τοῦ τρεῖν, ἤγουν τὸ φοβεῖσθαι, τοῖς ἐναντίοις ποιοῦσα. Εθαιρον. ἐθέρμαινον, καὶ ἔχαιον. Πέπλος. κυρίως ἐσθὴς γυναικῶν. Παλιμπετές. παλιγκινές. εἰς τοὐπίσω. παλικαμπές. Ατυζόμενον. ἀτύζω παρὰ τὴν ἄτην γίνεται ῥῆμα ἀτῶ, οὗ παράγωγον ἀτύω. ὡς ὀλῶ ὀλύω καὶ ὀχλύω. πλεονάσαντος δὲ τοῦ ζ. ἀτύζω. ὡς καὶ παρὰ τὸ ἀτίω, ἀτίζω. Αμηχανίᾳ. ἀπορίᾳ.

82 Οἰοπόλοι. περὶ τὰς οἶς πολοῦσαι. χθονίας δὲ αὐτὰς εἶπε, διὰ τὸ θυγατέρας εἶναι τῆς λιβύης. εἰσὶ δὲ αἱ ἐπιμηλίδες. ἢ χθόνιοι, αἱ ἐνθέως. αὐδήεσσαι δὲ, αἱ εἰς λόγον ἀνθρώποις ἐρχόμεναι. περὶ δὲ τῶν νυμφῶν, μέμνηται καλλίμαχος οὕτω λέγων. Δέσποιναι λιβύης ἡρωΐδες. αἳ νασαμώνων αὖλιν καὶ δολιχὰς θῖνας ἐπιβλέπετε, μητέρα μοι ζώουσαν ὀφέλλετε. Σφετέρη. ἀντὶ τοῦ μητέρι. ἔδει εἰπεῖν ὑμετέρᾳ. λέγει δὲ τῇ νηΐ. φέρει γὰρ αὐτοὺς ἐν τῷ κύτει, ὡς ἐν γαστρὶ μήτηρ. Αχαιΐδα. ἀχαιΐδα λέγει ἢ τὴν θεσσαλίαν, ἢ τὴν ἑλλάδα, βέλτιον δὲ τὴν θεσσαλίαν. οἱ δὲ οἰκοῦντες, ἀχαιοὶ λέγονται, ὅμηρος. Νῦν δ' αὖ τοὺς ὅσσοι τὸ πελασγικὸν ἄργος ἔναιον. εἶτα. μυρμιδόνες δὲ καλεῦντο, καὶ ἕλληνες, καὶ ἀχαιοί.

82 Ιλατ' ἐρημονόμοι. ἱλάσθητε αἱ νεμόμεναι ἐν τῇ ἐρήμῳ. Ωρύεται. ἀντὶ τοῦ βοᾷ. ἔστι δὲ τὸ τῶν λεόντων φωνῆς. Βουπλάται. οἱ βουκόλοι. εἴρηται ἀπὸ τοῦ π, πλεονάσαντος. βουελάται γάρ εἰσιν. ἢ παρὰ τὸ ἐλᾶς τῶν βοῶν εἶναι, ὃ καὶ βέλτιον.

84 Στρέφεσιν αἰγείοις, ἤτοι δέρμασιν. ἔνθεν καὶ

στερφῶσι. ἴβυκος δὲ στερφωτῆρα στρατὸν εἴρηκε, τὸν ἔχοντα δέρματα. ὅθεν καὶ παρ' αἰσχύλῳ ἀξιοῦσι γράφειν μελανοστέρφων γένος, οὐχ ὡς τινὲς μελανοστέρνων. οὐ γὰρ μόνα τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα. ὅθεν καὶ τὸ κεράμιον στέρφος λέγεται.

85 Ἀμφιλαφής. ἀντὶ τοῦ ποικίλος, ἢ μέγας, ἢ ἀμφοτέρωθεν θριξὶ στεγαζόμενος. Νήχυρος. πολύχυρος. Ἐπήβολος. ἐπιβάλλουσα, ἐπιτυχής. Μυσάων ὅδε μῦθος. καθὰ πέπλασται φησίν. μυσάων ὅδε μῦθος. ἐγὼ δ' ὑπηρέτης τῶν μουσῶν. ἐμπέπνευμαι γὰρ πρὸς αὐτῶν, ὥστε διηγεῖσθαι. Οἴνας τοὺς τῆς ψάμμου σπορούς.

86 Ὦ ἔνι λάδων. τὸν δράκοντα λάδωνα ἐκάλουν. τοῦτον δὲ πείσανδρος ὑπείληφεν ἀπὸ τῆς γῆς γεννηθῆναι. ἡσίοδος δὲ ἐκ τυφῶνος φησίν. ἀγροίτας δὲ ἐν γ. λιβυκῶν φησί, μὴ μῆλα εἶναι, ἀλλὰ πρόβατα κάλλιστα, ἃ χρυσᾶ ὠνομάσθη. ἔχειν δὲ ταῦτα ποιμένα ἄγριον, ὃν διὰ τὸ ἀνήμερον δράκοντα ὠνομάσθη. φερεκύδης ἐν δεκάτῳ τῆς ἥρας γαμουμένης φησὶ τὴν γῆν ἀναδοῦναι ἐν τῷ ὠκεανῷ μῆλα χρυσᾶ, ἢ μηλέας χρυσοῦν κάρπον φερούσας. φυλάττειν δὲ αὐτὰ δράκοντα τὸν τυφῶνος καὶ ἐχίδνης, ἔχοντα κεφαλὰς ἑκατὸν, καὶ φωνὰς παντοίας, καὶ ὅτι αἱ νύμφαι αἱ διὸς καὶ θέμιδος οἰκοῦσι ἐν σπηλαίῳ περὶ τὸν ἠριδανὸν, ὑπέθεντο ἡρακλεῖ ἀπειροῦντι, μαθεῖν παρὰ νηρέως ποῦ ἂν εἴη τὰ χρύσεα μῆλα. λαβεῖν δὲ αὐτὸν βίᾳ. πρῶτον μὲν μεταμορφούμενον εἰς ὕδωρ καὶ πῦρ. εἶτα ἐς τὴν παλαιὰν ὄψιν καταστάντα δηλῶσαι τὸν τόπον. ὁ δὲ ἔρχεται

οὕτως

ὄντως ἐπὶ τὰ χρυσᾶ μῆλα. ἀφικόμενος δὲ εἰς ταρ-
τησσὸν πορεύεται εἰς λιβύην, ἔνθα ἀναιρεῖ ἀνταῖον
τὸν ποσειδῶνος ὑβριστὴν ὄντα. εἶτα ἀφικνεῖται ἐπὶ τὸν
νεῖλον εἰς μέμφιν παρὰ βούσιριν τὸν ποσειδῶνος, ὃν
κτείνει, καὶ τὸν παῖδα αὐτοῦ ἰφιδάμαντα, καὶ τὸν κήρυ-
κα χάλβην, καὶ τοὺς ὀπάονας πρὸς τῷ βωμῷ τοῦ δι-
ὸς ἔνθα ἐξενοκτόνουν. ἀφικόμενος δὲ εἰς θήβας, καὶ
διὰ τῶν ὀρῶν εἰς τὴν ἔξω λιβύην, ἧς ἐν τοῖς ἐρήμοις
πολλὰ τῶν θηρείων τοξεύων ἀναιρεῖ. καθήρας δὲ τὴν λι-
βύην κατέβη ἐπὶ τὴν θάλασσαν τὴν ἔξω κειμένην.
καὶ λαβὼν χρυσοῦν δέπας παρὰ ἡλίου, διαβαίνει ἐν
αὐτῷ εἰς πέραν δή τε τῆς ἔξω τῆς γῆς θαλάσσης, καὶ διὰ
τοῦ ὠκεανοῦ πλέων. ἐπελθὼν δὲ παρὰ προμηθέα, καὶ ὀφ-
θεὶς ὑπ᾽ αὐτοῦ, οἰκτείρει αὐτὸν ἱκετεύοντα. καὶ κτείνει τὸν
ἀετὸν, ὃς αὐτοῦ τὸ ἧπαρ ἤσθιε τοξεύσας περιπετώμενον.
ἀντὶ δὲ τούτου προμηθεὺς μὴ ἀπιέναι ἐπὶ τὰ μῆλα ὑ-
ποτίθεται. ἐλθόντα δὲ πρὸς ἄτλαντα κελεύειν ἐνέγ-
και αὐτῷ. καὶ ἀντὶ ἄτλαντος αὐτὸν ἀνέχειν τὸν οὐρα-
νὸν, ἕως ἂν ἐνέγκῃ τὰ μῆλα παρὰ τῶν ἑσπερίδων. ἡρα-
κλῆς δὲ ἀκούσας ἔρχεται πρὸς ἄτλαντα, καὶ κελεύει
αὐτὸν ἐνεγκεῖν τὰ μῆλα παρὰ τῶν ἑσπερίδων, τρία λα-
βόντα διηγησάμενος τὸν ἆθλον. δοὺς δὲ ἄτλας ἐπὶ
τῶν ὤμων ἡρακλεῖ τὸν οὐρανὸν, καὶ ἐλθὼν πρὸς τὰς
ἑσπερίδας, δεξάμενος παρ᾽ αὐτῶν τὰ μῆλα. ἐλθών τε
πρὸς τὸν ἡρακλέα, τὰ μὲν μῆλα αὐτός φησιν ἀποί-
σειν εὐρυσθεῖ, τὸν δ᾽ οὐρανὸν ἐκέλευσεν ἐκεῖνον ἔχειν
ἀντ᾽ αὐτοῦ. ὁ δὲ ἡρακλῆς ὑποσχόμενος δόλῳ ἀντε-
πέθηκεν αὐτὸν τῷ ἄτλαντι. ἦν γὰρ εἰπὼν αὐτῷ,

ὁ προμηθεὺς ὑποθέμενος, κελεύειν δέξασθαι τὸν οὐρανὸν, ἕως οὗ πήραν ἐλθὼν τὴν κεφαλὴν περιήσεται. ὁ δὲ καταθεὶς τὰ μῆλα εἰς τὴν γῆν, ὑποδέχεται τὸν οὐρανόν. ἡρακλῆς δὲ λαβὼν τὰ μῆλα χαίρειν εἰπὼν τῷ ἄτλαντι, ἀπέρχεται εἰς μυκήνας πρὸς εὐρυσθέα, καὶ δείκνυσι αὐτῷ ταῦτα.

87 Ἑσπερίδων κήπιον. ἀπὸ τοῦ ἑσπέρας ὑφαίνεσθαι, ἢ ἀπὸ τοῦ ἐν τῇ ἑσπερίᾳ κατοικεῖν. ἦσαν δὲ φόρκου καὶ κητοῦς αἱ ἑσπερίδες. ἀπὸ μιᾶς δὲ αὐτῶν εἴρηται ἡ νῆσος, ἣν κατῴκει γηρυονεὺς ἔχων κύνα ὄρθον ἀδελφὸν κερβέρου. ὃν ἡρακλῆς ἀπέκτεινεν. οἱ δὲ, ἄτλαντος λέγουσιν εἶναι τὸν κύνα. Στύπος. τὸ στέλεχος. Χόλον. ἀντὶ τὴν χολὴν. ὅμηρος. χόλον ἄρα σ' ἔτρεφε. Πυθομένοις. ἀντὶ τοῦ σηπομένοις, καὶ τὸ πύον ἐντεῦθε φησὶ λέγεσθαι μύκλος ὁ νεαπολίτης. ἔστι γὰρ τοῦτο σεσηπὸς αἷμα καὶ ἡ πυθὼ δὲ κατά τινας. ἢ ἀπὸ τοῦ πυθυστικοὺς ἔχοντας ἐλθεῖν τοὺς χρησμοὺς ἔρχεσθαι. ἢ καὶ ἀπὸ παιδὸς τινὸς πυθικοῦ. ἢ ὄνομα πυθὶς, θυγατρὸς δελφοῦ. Ἐσσυμένως ἐγένοντο. δηλοῖ τύπου σημαίνει, ὅπως ἀφανεῖς ἐγένοντο.

88 Εἴτ' ἐν οὐρανίαις. τοῦτο φησὶν ἐπεὶ τῶν νυμφῶν, αἱ μὲν εἰσὶν οὐράνιαι, αἱ δὲ ἐπίγειοι, αἱ δὲ ποτάμιοι, αἱ δὲ λιμναῖαι, αἱ δὲ θαλάσσιαι. καὶ καθόλου δὲ τὸ τῶν νυμφῶν γένος εἰς πολλὰ διήρηται ὥς φησι μνησίμαχος ὁ φασηλίτης ἐν διακόσμοις. Ἐνωπαδίς. κατ' ὄψιν, φανερῶς. Λωφήσομεν. ἀντὶ τοῦ παυσόμεθα. κυρίως δὲ λέγεται λωφῆσαι, τὸ βάρος ἀπὸ τοῦ τραχήλου ἀποβαλέσθαι. λόφος γὰρ ὁ τράχηλος. Εἰλαπίνας. τὰς θυσίας λέγει.

89

89 Ἀμνήμονα. τὴν ἀσθενῆ διὰ τὴν δίψαν. Κύντατος. ὁ χείριστος, ἢ ἔσχατος.

90 Παίφασσεν. ἐψηλάφα. ἢ ἀντὶ τοῦ ἐνθουσιωδῶς ἐφέρετο. Χηραμός. ἡ τῶν μυρμήκων κατάδυσις. Γειομόροι. οἱ περὶ τὴν γῆν κακοπαθοῦντες. Λίβα. λέγει τὴν σταγόνα. ἡ εὐθεῖα λὶψ ἀρσενικῶς. Δήοιμεν. εὕροιμεν.

91 Ἐπιλίνδετο. ἐκεκάλυπτο.

92 Εἰλατίδην Πολύφημον. Πολύφημος ἐν Μυσίᾳ καταλειφθεὶς ἔκτισε πόλιν Κίον, τὴν οὕτως ὠνομασθεῖσαν ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ μαχόμενος πρὸς Χάλυβας. οὗτος ἐτελεύτησεν ὥς φησι Νυμφόδωρος. ὅτι δὲ τὴν Κίον ἔκτισεν, εἴρηκεν αὐτὸς Χάραξ ἐν πρώτῳ Χρόνων. Οὗ ἕθεν. ἑαυτοῦ.

93 Αὐλείτης. ὁ ἀπὸ τῆς ἐπαύλεως. ὁ ἄγροικος. ἔστι δὲ παρὰ τὴν αὖλιν τὸ ὄνομα.

94 Λυκωρείοιο. ἀντὶ τοῦ Δελφικοῦ. οἱ γὰρ Δελφοὶ τὸ πρῶτον Λυκωρεῖς ἐκαλοῦντο. ἀπό τινος κώμης Λυκωρείας. Κῦμα. ἀντὶ τοῦ κύημα κατὰ συγκοπήν. Ἀλέξανδρος δὲ ἐν πρώτῳ Κρητικῶν τῇ Ἀκακαλλίδι συνελθεῖν φησὶ τὸν Ἑρμῆν καὶ τὸν Ἀπόλλωνα, καὶ ἐκ μὲν Ἀπόλλωνος γενέσθαι Νάξον, ἐκ δὲ Ἑρμοῦ Κύδωνα. ἀφ᾽ οὗ ἡ πόλις Κυδωνία καλεῖται ἐν Κρήτῃ. τὸν δὲ Ἀκακαλλίδος υἱὸν Ἀμφίθεμιν καὶ Γαράμαντα κληθῆναι φησίν. ἄδηλον δὲ πότερον ἀπὸ τοῦ Γαράμαντος τούτου οἱ ἐν τῇ Λιβύῃ Γαράμαντες ὠνομάσθησαν, ἢ οὗτος ἀπὸ τοῦ ἔθνους. ἔστι δὲ καὶ ναὸς παρ᾽ αὐτοῖς, καὶ Γαράμας μνημονεύει τοῦ ἔθνους.

95 Γοργόνος ἀρτίτομον. Περσέως ἐν σείφῳ μετὰ

τῆς μητρὸς Δανάης παρὰ Δίκτυϊ καὶ ἡβήσαντος, Πολυδέκτης ὁ Δίκτυος ὁμομήτριος ἀδελφὸς, βασιλεὺς Σερίφου τυγχάνων, ἰδὼν τὴν Δανάην ἠράσθη αὐτῆς, ἠπόρει δὲ συγκοιμηθῆναι. καὶ παρασκευάσας ἄριστον ἐκάλει ἄλλους τε πολλοὺς καὶ αὐτὸν Περσέα. Περσέως δὲ πυθομένου ἐπὶ τίνι ὁ ἔρανος εὐωχεῖται; τοῦ δὲ φήσαντος ἐπὶ ἵππῳ, Περσεὺς εἶπεν ἐπὶ τῇ τῆς Γοργόνος κεφαλῇ. μετὰ δὲ τὸν ἔρανον τῇ ἑξῆς ἡμέρᾳ, ὅτε οἱ ἄλλοι ἐρανισταὶ τὸν ἵππον ἀπεκόμιζον, καὶ ὁ Περσεύς. ὁ δὲ οὐκ ἐδέχετο. ἀπῄτει δὲ τὴν τῆς Γοργόνος κεφαλὴν κατὰ τὴν ὑπόσχεσιν. ἐὰν δὲ μὴ κομίσῃ, τὴν μητέρα αὐτοῦ λήψεσθαι ἔφη. ὁ δὲ ἀνιαθεὶς ἀπέρχεται ὀλοφυρόμενος τὴν συμφορὰν εἰς τὸ ἔσχατον τῆς νήσου. Ἑρμῆς δὲ αὐτῷ ὀφθεὶς καὶ πεῦσιν αὐτῷ προσαγαγὼν, μανθάνει τὴν αἰτίαν τοῦ θρήνου. ὁ δὲ ἡγεῖσθαι θαῤῥεῖν εἰπών. καὶ πρῶτον μὲν ἡγεῖται αὐτῷ πρὸς τὰς τοῦ Φόρκου γραίας, Πεμφηδὼ καὶ Ἐντὼ καὶ Ἰαινὼ, Ἀθηνᾶς φασάσης, καὶ αὐτῶν μὲν ὑφαιρεῖται τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα ὀρεγουσῶν ἀλλήλαις. αἱ δὲ αἰσθανόμεναι βοῶσι καὶ ἱκετεύουσι τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα ἀποδοῦναι. ἑνὶ γὰρ αἱ τρεῖς ἐκ διαδοχῆς ἐκέχρηντο. ὁ δὲ Περσεὺς αὐτὸν ἔχειν ἔφη καὶ ἀποδώσειν, ἐὰν αὐτῷ ὑποδείξωσι τὰς νύμφας, αἳ ἔχουσι τὴν ἄϊδος κυνῆν, καὶ τὰ πέδιλα τὰ ὑπόπτερα, καὶ τὴν κίβησιν. αἱ δὲ αὐτῷ φράζουσι. καὶ ὁ Περσεὺς ἀποδίδωσι, καὶ ἀπελθὼν πρὸς τὰς νύμφας σὺν Ἑρμῇ, αἰτήσας τε καὶ λαβὼν ὑποδεσμεῖται τὰ ὑπόπτερα πέδιλα. καὶ τὴν κίβησιν περιβάλλει κατὰ τῶν ὤμων καὶ τὴν ἄ-

ιδος

ἄϊδος κυνῆν τῇ κεφαλῇ περιτίθησιν. εἶτα ἔρχεται πετώμενος κατὰ τὸν ὠκεανὸν καὶ τὰς γοργόνας, συνεπομένων αὐτῷ ἑρμοῦ τε καὶ ἀθηνᾶς. ταύτας δὲ κοιμωμένας εὑρίσκει. ὑποτίθενται δὲ αὐτῷ οὗτοι οἱ θεοί, ὅπως χρὴ τὴν κεφαλὴν ἀποτεμεῖν ἀπεστραμμένον. καὶ δεικνύουσιν ἐν τῷ κατόπτρῳ τὴν μέδουσαν, ἣ μόνη ἦν θνητὴ τῶν γοργόνων. ὁ δὲ πλησίον γενόμενος ἀποτέμνει τῇ ἅρπῃ τὴν κεφαλήν, καὶ ἐνθεὶς εἰς τὴν κίβισιν φεύγει. αἱ δὲ αἰσθόμεναι διώκουσιν. οὐχ ὁρῶσι μέντοι αὐτὸν διὰ τὴν ἄϊδος κυνῆν. περσεὺς δὲ εἰς σέριφον γενόμενος, ἔρχεται παρὰ πολυδέκτην, καὶ κελεύει συναθροῖσαι τὸν λαόν, ὅπως δείξῃ αὐτοῖς τὴν τῆς γοργόνος κεφαλήν. εἰδὼς ὅτι ἰδόντες ἀπολιθωθήσονται. ὁ δὲ Πολυδέκτης ἀθροίσας τὸν ὄχλον, κελεύει αὐτὸν δεικνύειν. ὁ δὲ ἀποστρεφόμενος ἐξαίρει ἐκ τῆς κιβίσεως, καὶ δείκνυσιν. οἱ δὲ ἰδόντες, λίθοι ἐγένοντο. ἡ δὲ ἀθηνᾶ παρὰ περσέως λαβοῦσα τὴν κεφαλήν, ἐντίθησιν εἰς τὴν ἑαυτῆς αἰγίδα. τὴν δὲ κίβισιν ἑρμῆς ἀποδίδωσι καὶ τὰ πέδιλα καὶ τὴν κυνῆν ταῖς νύμφαις. ἱστορεῖ Φερεκύδης ἐν τῇ δευτέρᾳ. ἄλλοι δέ φασι τὸν περσέα καρατομήσαντα τὴν γοργόνα ὑπὲρ τῆς λιβύης πετασθῆναι. ἐκ δὲ τῶν κατενεχθέντων σταγόνων τοῦ αἵματος γενέσθαι θηρία. διὸ καὶ τὴν λιβύην πολύθηρον εἶπε. τὸ αὐτό φησι καὶ ἀλέξανδρος.

Χαλκείῃσι. τοῖς χαλκείοις σκαφίοις ἐλάχαινον, ὅ ἐστιν ἔσκαπτον. Μάκελλα. δίκελλα. Εὐκτερέων ἴσχοντα. ἀντὶ τοῦ λαβόντα. Χθονὴν δὲ ὁμηρικῶς τὴν ἐπὶ τοῖς νεκροῖς χεομένην γῆν.

96 Πρήωσονται. φυσῶνται. Ροίζῳ. ἀντὶ τοῦ μετὰ συριγμοῦ. Σπινθάρυγες. αἱ λαμπηδόνες. Ρωχμοῖο. ῥωχμοί εἰσιν αἱ κατὰ τὴν γῆν ῥήξεις. Μείλια. τὰ ἐκμειλίξασθαι δυνάμενα δῶρα. τὰ ἱλαστήρια. Τρίτωνι δ' αἰζηῷ. καὶ πίνδαρος ἐν πυθιονίκαις ἐν τῇ εἰς ἀρκεσίλαον ᾠδῇ τὴν τοῦ τρίτωνος ἐπιφάνειαν λέγει. ἔστι δὲ παρὰ τοῖς συγγραφεῦσι τὰ περὶ κύπρον καὶ λιβύης.

97 Επίστορα. ἀντὶ τοῦ κατὰ τὴν ἐπιμελητὴν ἐπίσκοπον. ὅταν δὲ ὅμηρος περὶ ἀγαμέμνονος λέγῃ. Ιστορα δ' ἀτρείδην ἀγαμέμνονα. ἀντὶ τοῦ μάρτυρα συνθηκοφύλακα. Εὐρύπυλον λιβύης. εὐρύπυλος ποσειδῶνος υἱὸς καὶ κελαινοῦς τοῦ ἄτλαντος, βασιλεὺς δὲ κυρήνης. φύλαρχος δὲ ἐν ἑβδόμῳ εὐρύπυλον αὐτὸν καλεῖ. καὶ ἀδελφὸν αὐτοῦ ἀναγράφει λυκάονα. Ακέσανδρος δὲ ἐν πρώτῳ περὶ κυρήνης τῆς ὑψέως, μετ' αὐτὸν βασιλεῦσαι φησὶ λιβύης κυρήνην τὴν ὑψέως. μνημονεύει τοῦ εὐρυπύλου καὶ καλλίμαχος λέγων. βοῶν σίνιν εὐρυπύλοιο, περὶ κυρήνης ποιούμενος τὸν λόγον. Πρόφρων δ' ὑπορέξεται. τὸν εὔφημον ἐποίησε δεχόμενον τὴν βῶλον δι' οἰκειότητα. ἐπεὶ ποσειδῶνος καὶ εὐρώπης τῆς τιτυοῦ. καὶ εὐρύπυλος δὲ οὗτος, οὗ εἰς τὴν χώραν παρεγένοντο ποσειδῶνος ἐστὶν υἱός. λέγεται δὲ καὶ παρὰ πινδάρῳ ὅτι ἐδέξατο τὴν βῶλον ὁ εὔφημος. Παραβλήδην. παλαμήδης ἐξ ἀντιβολῆς. ἢ παραλογιστικῶς. νῦν δὲ ἐξ ἀποκρίσεως. Ατθίδα. γράφεται ἀπίδα καὶ πέλαγος μινώϊον. Απις νῆσος κειμένη πρὸ τῆς κρήτης. μινώϊον δὲ πέλαγος πρὸ τῆς κρήτης. αὕτη γὰρ μίνωος ἦν βασίλεια.

σίλφα. ἢ ἐπὶ θαλαττοκρατῶν, ὑφ' αὑτὸν τὰς νήσους ἐποίησε. μετὰ δὲ τὸν κρητικὸν τὸν αἰγύπτιον.

98 Χεῦμα δ' ἠπείρου βεβαρημένοι. ἄδηλον πότερον κατὰ τὸ κοινὸν ἤπειρον εἴρηκε τὴν γῆν, ἢ ὅτι πᾶσα ἡ οἰκουμένη εἰς ἠπείρους τρεῖς διῄρηται, ἀσίαν, εὐρώπην, λιβύην. ἡ δὲ αἴγυπτος, κατὰ μέν τινας τῆς ἀσίας ἐστί. κατὰ δέ τινας τῆς λιβύης. Ἄπωθεν. ἀπὸ διαστήματος. Διήλυσις. ἡ διεξέλευσις, ἡ ἔξοδος. Φείσοιο. ἀντὶ τοῦ εἰς ὕψος αἴρονται. Περιηγήδην. τὸ κατὰ περιφέρειαν δηλοῖ. Εἴσεφρ. ὥρμησεν. Ἀλοσύδναι. θαλάσσιαι. ἀπὸ τοῦ ἐν ἁλὶ δύνειν. ὅ ἐστιν ἐν τῇ θαλάσσῃ ὁρμᾶν.

99 Ὀδακτάζοντι. δάκνοντι. Ὁλκήϊον ἀργοῦς. τὸ κάτω τοῦ πλοίου ξύλον τὸ πρὸς τῇ τρόπιδι. οὗ ἡ ναῦς ἕλκεται. ὃ πήγνυται πρῶτον τῆς γῆς κατασκευαζομένου πλοίου. Δικραίρα οἱ. διπλῆ. τοιαύτη γὰρ ἡ τοῦ τρίτωνος οὐρὰ διῃρημένη εἰς δύο. ἔτεμνε δὲ τὸ ἄκρον τοῦ ὕδατος ταῖς ἀκάνθαις. αἵ τινες κάτωθεν ὑπὸ τοῖς κέντροις τοῖς σκαμβοῖς ἐδιχάζοντο. ὅμοιαι οὖσαι ταῖς τῆς σελήνης κέρασιν. ἅτινα ἡμικύκλιά ἐστι. τοιούτῳ δὲ σχήματι καὶ τὰ ἄκρα τῆς οὐρᾶς τῶν ἰχθύων ἐστὶν ἡμικυκλίῳ. Κήτεος ἀλκαίη. ἀλκαίη λέγεται κυρίως ἡ τοῦ λέοντος οὐρὰ ἀπὸ τοῦ δι' αὐτῆς εἰς ἀλκὴν τρέπεσθαι. καὶ ὁ ποιητής. Οὐρῇ μὲν πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται. καλλίμαχος δὲ κακῶς ἐπὶ τῶν μυῶν τέθεικεν. ἀλκαίας ἀφύασα. ἢ ἀπὸ τοῦ ἀλκεῖν, ὅ ἐστι βοηθεῖν. ἡ εἰς ἀλκὴν παρορμῶσα, ὥσπερ ἡ οὐρὰ παρὰ τὸ οὐρεῖν, ὅ ἐστι-

φυλάττειν. ἢ διὰ τὸ σείειν ἑαυτὰ τὰ ζῶα τῇ οὐρᾷ, ὡς ὁ λέων, καὶ ὁ ταῦρος, καὶ ὁ κύων, καὶ τὰ λοιπά. κυρίως δὲ ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία λέγεται. ἐν δὲ τῷ κωμικῷ λεξικῷ οὐ μόνον ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία, ἀλλὰ καὶ ἵππου, καὶ βοὸς, καὶ τῶν ἐμφόρων, ὅσα ὥσπερ ἀλεξητηρίῳ τῇ οὐρᾷ χρῆται. Τέρας. τὸν Τρίτωνα λέγει τέρας. ἐπεὶ τὰ μὲν ἀνδρὸς ἔχει, τὰ δὲ, κήτους.

100 Ἀργῷός τε λιμήν. παρὰ τὴν Τριτωνίδα λίμνην ἐστὶν Ἀργῷος καλούμενος. Αὔλιον ἀστέρα τὸν ἕσπερον λέγει. ἢ παρὰ τὸ αὐλίζεσθαι, ὅ ἐστι κοιμᾶσθαι. ἢ παρὰ τὸ ἐν αὐλαῖς διατρίβειν, καθ' ἣν ὥραν ὁ ἕσπερος ἀνατέλλει.

101 Ἐπερρώοντο. ἐρρωμένως ἤλαυνον. Κάρπαθος νῆσός ἐστι τῶν σποράδων, πλησίον τῆς Κῶ, περὶ ἧς Ὅμηρος εἴρηκε, Κάρπαθόν τε Κάσον τε καὶ Κῶν. ἄλλοι πλησίον Κρήτης αὐτὴν εἶναι λέγουσιν. Ἐπιωγήν. σκέπην. ὑφ' ἧς ὁ ἄνεμος ἄγνυται. Τάλως. ὁ Τάλως ἦν τοῦ γένους ἐκείνου τοῦ χαλκοῦ. ὅλος δὲ ὢν χαλκοῦς, ὑπὸ τοῦ σφυροῦ σύριγγα εἶχεν ὑμένι περιεχομένην. σύριγξ δὲ λέγεται ἡ περόνη. ὅτι δὲ εἵμαρτο αὐτὸν τελευτῆσαι ῥαγείσης τῆς σύριγγος, λέγει καὶ Σοφοκλῆς ἐν Τάλῳ.

102 Ὑπ' ἐκ βελέων. ἤγουν τῶν πετρῶν. καὶ γὰρ Ὅμηρος βέλος εἴρηκε τὴν πέτραν τὴν ὑπὸ τοῦ Κύκλωπος βληθεῖσαν. καὶ πᾶν τὸ πεμπόμενόν φησιν. Ἀνωΐστως. ἀγνώστως. ἢ ἐξαίφνης. Ἐπὶ ζωοῖσι. διὰ τῶν φαρμάκων τοῖς ζωοῖσιν ἐπάγονται.

103 Δείκηλα, εἴδωλα, φαντάσματα. Ἄηται. φέρεται, κεκίνηται. Βρίμη. τῇ ἰσχύϊ. παρὰ τὸ, βρι, πέπτωκε ῥῆμα τὸ βρίθω. οὗ ὁ μέλλων βρίσω. ἐκ ῥηματικὸν ὄνομα βρίμη. τὰ γὰρ εἰς μη, λήγοντα ὀνόματα, ἑνὶ φωνήεντι παραληγόμενα βαρύνεται, οἷον κρήνη, φήμη, κνήμη, πλὴν τοῦ τιμή. τὰ δὲ ἔχοντα πρὸ τοῦ μ, ἕτερον σύμφωνον, ὀξύνεται, οἷον γραμμή. Πεζαίῳ ὄνυχι. ὄνυξ ἐστὶ κυρίως τὸ ἄκρον τοῦ δόρατος. καταχρηστικῶς δὲ πᾶν τὸ εἰς ὀξὺ λῆγον. Σαλμωνίς, καὶ Σαλμώνιον. ἀκρωτήριον κρήτης. Καρυλάδα, σκοτεινὴ νὺξ καρυλὰξ καλεῖται, παρὰ τὸ ἀλαόν. σοφοκλῆς ἐν ναυπάκτῳ, νυκτὶ καρυλάδι.

104 Μυχάτων. ἐσχάτων. Ηείδειν. αὐτὶ τοῦ εἰδέναι. Αἰήκοος. λίαν ἐπήκοος. Μελάντιοι δὲ εἰσι δύο σκόπελοι πρὸς τῇ θύρᾳ οὕτως ὀνομαζόμενοι ἀπὸ μέλαντος τοῦ κατασχόντος τὴν χώραν τὴν προσηγορίαν ἔχοντες.

105 Σποράδων βαιή. νῆσος βαιή. ἡ ἀνάφη καλεῖται πλησίον θήρας. Νῆσος ἰδεῖν. νῆσος ἡ ἱππουρὶς πλησίον θήρας. μνημονεύει δὲ αὐτῆς ἡ τιμοσθένης καὶ πυθαίνετος ἐν πρώτῳ περὶ αἰγίνης.

106 Ἐπισοβέεσκον ἔπεσιν. ἐλοιδόρουν, ὕβριζον. τὸν ἑρμῆν φησὶν ἱλάσασθαι τὸν εὔφημον διὰ τὸ θεάσασθαι ὄνειρον. οὗτος γὰρ ἐστὶ τῶν ὀνείρων ὁ θεός. διὸ καὶ ὀνείροις ἑρμῇ ἀνατιθέασιν. Ἡ τοῦ τρίτωνος βῶλος ἀπὸ τῶν μαστῶν. δαίμονα γὰρ αὐτὴν εἶπεν. Εὔφημος ᾤκει τὴν λακωνικὴν παρὰ τὸν αἰγιαλόν. εἷς δέ τις αὐτοῦ τῶν ἀπογόνων σήσαμος ἀπῴκησε θήραν. οὗ ἀπὸ

γονος γέγονεν ἀριστοτέλης, ὃς τὴν περὶ κυρήνην ἀποικίαν ἡγήσατο. ἱστορεῖται ταῦτα παρὰ πινδάρῳ ἐν πυθιονίκαις. τὸ μελέσαγρον δὲ παρὰ θεοχρήστῳ ἐν πρώτῳ λιβυκῶν. καὶ παρὰ ἀκεσάνδρῳ ἐν πρώτῳ κυρήνης. λέγει δὲ τὴν θήραν, ὡς ἐκ τῆς τότε ῥιφείσης βώλου γεγενημένης ἐν αὐξήσει καὶ ἀναπεφυκυίας ἐν τῇ θαλάσσῃ. καὶ πίνδαρος μὲν τακῆναι φησὶ τὴν βῶλον καὶ περὶ τὴν νῦν καλουμένην θήραν νῆσον διαῤῥυῆναι, ἐπιλαθομένων τῶν θεραπόντων. ὁ δὲ ἀπολλώνιος ἑκουσίως φησὶ τὸν εὔφημον εἰς τὴν θάλασσαν τὴν βῶλον βαλεῖν συμβουλίᾳ ἰάσονος.

107 Καλλίστην εἰς νῆσον. ἤλλαξε δὲ τὸ ὄνομα, ἡ καλλίστη νῆσος. καὶ ὠνομάσθη θήρα, ἀπὸ θήρα υἱοῦ αὐτεσίωνος, ἐκεῖ ἀπὸ σπάρτης ἀποικίαν ποιήσαντος καὶ μείναντος. Ἐξελασθέντες. ἐκβληθέντες ὑπὸ τυρσηνῶν ἀπῆλθον εἰς σπάρτην ἔποικοι. Ἐξ ἔθεν. ἀπὸ εὐφήμου γενόμενος καὶ αὐτὸς καὶ ἀριστοτέλης εἰς λιβύην τὴν ἀποικίαν ἤγαγον. ἦν δὲ ὁ θήρας ἀπὸ οἰδίποδος ἔχων τὸ γένος. αὐτεσίωνος γὰρ ἦν τοῦ τισαμενοῦ τοῦ θερσάνδρου τοῦ πολυνείκους τοῦ οἰδίποδος. Συνηκολούθησαν δὲ εἰς τὴν ἀποικίαν μετὰ θήρα καὶ λήμνιοι ἐκβληθέντες ὑπὸ τυρρηνῶν ἐκ τῆς λήμνου. Ἀπορέως. τάχιστα. Χρείαν. τὴν ὕδρευσιν. Φθαίη. προφθάσοι δηλονότι πρῶτος λάβοι, ἢ ὑδρεύσει.

108 Ἐπεὶ οὔ νύ πως ὔμμιν ἄεθλος. ἐπεὶ οὐδεὶς ὑμῖν ἕτερος ἄθλος καὶ ἀγὼν ἀναχωρήσασιν ἀπὸ τῆς αἰγίνης γέγονε, ἕως οὗ ἐπανήλθετε. ἀλλ' οὔτε σφοδροὶ ἄνεμοι ἐκινήθησαν καὶ ἔπνευσαν, ἀλλ' ἥσυχοι

παρα-

παραπλεύσαντος, τήν τε ἀττικὴν καὶ τὴν αὐλίδα, τὴν εὔβοιαν, καὶ τὰς πόλεις τῶν λοκρῶν, χαρέντως καὶ εὐγαλήνως εἰς τοὺς λιμένας τῶν παγασῶν εἰσήλθετε. ὅθεν καὶ ἀπεπλεύσατε ἀπιόντες εἰς σκυθίαν διὰ τὸ χρυσοῦν δέρας. Εειωλαί. αἱ τῶν μεγάλων ἀνέμων καταιγίδες καὶ συστροφαί. Ἡ αὐλὶς πόλις βοιωτίας κατ' ἀντικρὺ τῆς εὐβοίας κειμένη. Ὀπούντιά τ' ἄστεα. τὰ ὑπὸ τοῦ ὀποῦντος ποτὲ ἐχόμενα τοῦ διὸς υἱοῦ καὶ πρωτογενείας. οὗ καὶ ἡ πόλις ἐπώνυμος. ὀποῦς δὲ καὶ ποταμὸς λοκρίδος. Ἀσπασίως ἀκτὰς παγασηΐδας, εἰς τοὺς αἰγιαλοὺς τῶν παγασῶν εἰσήλθετε, ὅθεν καὶ τὴν ἀρχὴν ἀπεπλεύσατε.

ΤΕΛΟΣ ΤΩΝ ΕΙΣ ΤΟ ΤΕΤΑΡΤΟΝ ΑΡΓΟΝΑΥΤΙΚΩΝ, ΣΧΟΛΙΩΝ.

BIBLIOTHÈQUE PUBLIQUE ORLÉANS